# ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΑΒΒΑ ΗΣΑΪΟΥ

## ΛΟΓΟΙ ΚΘ΄.

***Ἐξ Ἱεροσολυμιτικοῦ χειρογράφου ΙΖ΄. αἰῶνος.***

Παραβληθέντες καὶ πρὸς ἑτέρους χειρογράφους κώδικας
τῆς Ἱεροσολυμιτικῆς καὶ Σιναϊτικῆς Βιβλιοθήκης,
καὶ πρὸς τὸ λατινικὸν κείμενον, μεταφρασθὲν
ἐξ ἑλληνικοῦ παλαιοῦ χειρογράφου.

Μετ᾽ ἀποσπασμάτων τινῶν καὶ διηγημάτων
ἐκ χειρογράφων τῆς Ἱεροσολυμιτικῆς Βιβλιοθήκης
καὶ ἑξήκοντα ὀκτὼ κανόνων.

***Νῦν τὸ πρῶτον ἐκδίδονται***


ΥΠΟ

**ΑΥΓΟΥΣΤΙΝΟΥ ΜΟΝΑΧΟΥ**

***Ἰορδανίτου.***



**ΕΝ ΙΕΡΟΣΟΛΥΜΟΙΣ**

ΤΥΠΟΙΣ ΙΕΡΟΥ ΚΟΙΝΟΥ ΤΟΥ ΠΑΝΑΓΙΟΥ ΤΑΦΟΥ

**1911**

ΤΗι

ΓΕΡΑΡΑι ΚΑΙ ΑΓΗΡΩι ΜΝΗΜΗι

ΤΗΣ

ΠΑΛΑΙ ΑΚΜΑΣΑΣΗΣ ΙΕΡΑΣ ΚΑΙ ΣΕΠΤΗΣ ΛΑΥΡΑΣ

ΤΟΥ

# ΑΒΒΑ ΓΕΡΑΣΙΜΟΥ ΕΝ ΙΟΡΔΑΝΗι

*σεβασμοῦ καὶ εὐγνωμοσύνης ἕνεκεν*

*ἀνατιθέασιν*

***Οἱ παρὰ τὰ ἐρείπια αὐτῆς οἰκοῦντες***

ΑΥΓΟΥΣΤΙΝΟΣ
ΙΛΑΡΙΩΝ
ΜΟΝΑΧΟΙ

Ἐν τῇ ἐρήμῳ τοῦ Ἰορδάνου, παρὰ τῇ θέσει «ἁγίασμα», εἰς ἀπόστασιν ὀλιγώτερον τῆς ὥρας τῶν τοῦ Ἰορδάνου ρείθρων, ἐπὶ ἐξέχοντός τινος γηλόφου, ὁ ἐκ Λυκίας ἀναχωρητὴς Γεράσιμος, ὁ βραδύτερον ἐπικληθεὶς Ἰορδανίτης, περὶ τῷ 457 ἔκτισε ὁμώνυμον αὐτῷ Λαύραν, διατηρηθεῖσαν μέχρι τῆς εἰσβολῆς τῶν Περσῶν (614), ἧς ἐρείπιά τινα σώζονται.

Ἡ Λαύρα αὕτη ἐκτὸς τοῦ ἡγουμένου αὐτῆς Εὐγενίου (481—526), ὅστις μετὰ τοῦ ἡγιασμένου Σάβα εἶχον τὴν ἐποπτείαν πάντων τῶν ἐν Παλαιστίνῃ Λαυρῶν καὶ ἀναχωρητῶν, δὲν παρέσχεν ἑτέρους διαπρεπεῖς ἄνδρας, ὡς ἐκ τοῦ βραχέος βίου αὐτῆς (457—614), οὐδὲ ὑπηρεσίας τῇ ἐκκλησίᾳ, ὡς αἱ Λαῦραι τῶν ἁγ. Εὐθυμίου καὶ Σάβα, ἴσως διότι δὲν ἔτυχε δεξιοῦ βιογράφου ὡς ἐκεῖναι, δὲν ἦτο ὅμως καὶ ὑποδεεστέρα ἐκείνων ἐν τῇ ἐξασκήσει τῆς ἀρετῆς.

Τῇ ἀγήρῳ λοιπὸν μνήμῃ τῆς ἱερᾶς καὶ σεπτῆς ταύτης Λαύρας, τῷ ἐνδόξῳ ἐπ᾽ ἀρετῇ παρελθόντι αὐτῆς, καὶ τῇ ἱερᾷ μνήμῃ τῶν ἐνταῦθα ἀσκησάντων, φόρον σεβασμοῦ καὶ βαθείας εὐγνωμοσύνης ἀποτίοντες, ἀφιεροῦμεν τοὺς παρόντας λόγους τοῦ ἀββᾶ Ἡσαΐου, τοσούτῳ μᾶλλον καθόσον ὁ πόνος αὐτῶν ἐνταῦθα ἐγένετο, ἔνθα καὶ ἀπὸ ὀλίγων ἐτῶν διαμένομεν.

# ΠΡΟΛΟΓΟΣ

Ὡς μέσον πρὸς ἠθικὴν τελειοποίησιν τοῦ ἀνθρώπου, κατὰ τοὺς πρώτους αἰῶνας τοῦ Χριστιανισμοῦ, συνῳδὰ τῷ Εὐαγγελίῳ [1], ἐθεωρήθη ἡ ἀπόρριψις πάσης ἡδονῆς τοῦ κόσμου καὶ ἡ θλῖψις τῆς σαρκός. Πολλοὶ τῶν τότε Χριστιανῶν ὑπὸ ἐνθέου ζήλου κινούμενοι, ὅπως φθάσωσιν εἰς τὴν τελειότητα, ἐπώλουν τὴν οὐσίαν αὐτῶν καὶ ἢ κατέθετον αὐτὴν ἐν τῷ ταμείῳ τῆς κοινότητος ἢ διένεμον αὐτὴν ἰδίαις χερσὶ τοῖς πτωχοῖς· ζῶντες δὲ τοῦ λοιποῦ ἐν ἐγκρατείᾳ καὶ ἁγνείᾳ, ἀφωσιοῦντο ὅλως τῇ προσευχῇ καὶ τῇ μελέτῃ τῶν θείων Γραφῶν. Οἱ οὕτω βιοῦντες ὠνομάζοντο «ἀσκηταὶ» [2]. Ὁ Ὠριγένης († 254) ἔγραφεν, ὅτι οἱ πλεῖστοι τῶν Χριστιανῶν ἠσκοῦντο ἐν διηνεκεῖ παρθενίᾳ [3]. Ὁ Κλήμης († 220) καλεῖ τοὺς ἀνθρώπους τούτους «ἐκλεκτοὺς τῶν ἐκλεκτῶν» [4]. ὁ Εἰρηναῖος [5] († 202), Διονύσιος ὁ Ἀλεξανδρεὺς [6] († 264), ὁ Ἐπιφάνιος [7] († 403), μαρτυροῦσιν, ὅτι ἀνὰ δύο ἢ τρεῖς ἡμέρας ἢ καὶ πλέον, διῆγον ἐν νηστείᾳ καὶ ἠσχολοῦντο περὶ τὴν προσευχήν· ἠσκοῦντο δὲ κατ' ἰδίαν, ἐν ταῖς πόλεσι καὶ κώμαις, καὶ ἐντὸς τῆς κοινότητος, μὴ χωριζόμενοι τῶν οἰκείων αὐτῶν. Ἐν δὲ τοῖς διωγμοῖς, ἢ ἐθερίζοντο ὡς στάχυες κοσμούμενοι τῷ μαρτυρικῷ στεφάνῳ [8], ἢ διε-

1) «Εἰ θέλεις τέλειος εἶναι, ὕπαγε πώλησόν σου τὰ ὑπάρχοντα καὶ δὸς πτωχοῖς, καὶ ἕξεις θησαυρὸν ἐν οὐρανῷ» (Ματθ. ιθ'. 21). Καὶ ἐν τῷ Ἀποστόλῳ: «Ἐνδύσασθε τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, καὶ τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθε εἰς ἐπιθυμίας» (Ρωμ. ιγ'. 14). «Ἀλλ' ὑποπιάζω τὸ σῶμά μου καὶ δουλαγωγῶ, μήπως ἄλλοις κηρύξας αὐτὸς ἀδόκιμος γένωμαι» (Α'. Κορινθ. θ'. 27)· Πρβλ. Γαλάτ. ε'. 17. 24.

2) Εὐσεβ. Ἐκκλ. ἱστορ. βιβλ. β'. 17. Δ. Κυριακ. Ἐκκλ. ἱστορ. τόμ. α'. σελ. 170. ἔκδ. Ἀθηνῶν, 1881.

3) Πρβλ. κατὰ Κέλσου βιβλ. ζ'. 48. σελ. 1492. Πατρολογ. τόμ. 11.

4) Τίς ὁ σωζόμεν. πλούσιος §. 36. Πατρολογ. τόμ. 9.

5) Παρ' Εὐσεβ. Ἐκκλ. ἱστορ. ε'. 24.

6) Ἐν τοῖς κανόσιν αὐτοῦ.

7) Ἔκθεσις τῆς πίστεως §. 22. Πατρολογ. τόμ. 42. σελ. 828.

8) Οἱ ἑξῆς μαρτυρήσαντες ἀσκηταὶ φέρονται παρ' Εὐσεβίῳ. Ὁ Πέτρος, ὁ Πάμφιλος...ἀσκηταί, ὁ Σέλευκος,...ζηλωτὴς τῶν τῆς θεοσεβείας ἀσκητῶν· Ἰου-

σκορπίζοντο ἀπομακρυνόμενοι τῶν διωκτῶν αὐτῶν· παρερχομένου δὲ τοῦ διωγμοῦ, συναθροιζόμενοι «ἕκαστος ἠσκεῖτο κατ' ἰδίαν»[1]. Ἐν τῇ λειτουργίᾳ τῇ ἀποδιδομένῃ τῷ Κλήμεντι ἢ τῷ ἀποστόλῳ Παύλῳ, οἱ ὑπὸ τὸ ὄνομα «ἀσκηταὶ ἐν παρθενίᾳ καὶ ἁγνείᾳ ζῶντες», ἀπετέλουν ἰδίαν τάξιν ἐν τῇ Ἐκκλησίᾳ περὶ τὰ τέλη τοῦ β'. αἰῶνος, καὶ προσήρχοντο τῇ μεταλήψει τῶν ἁγίων μυστηρίων μετὰ τοὺς κληρικούς.

Ὅταν ὅμως βραδύτερον ἔμαθον διὰ τῆς πείρας, ὅτι ἀδύνατος ἀπέβαινεν ἡ κατόρθωσις καὶ ἡ ἐπίτευξις τῆς ἀρετῆς ἐν μέσῳ τοῦ κόσμου καὶ τῶν οἰκείων[2], ἀπεσύρθησαν εἰς τὰς ἐρήμους, ἵνα ἐκεῖ ἀποκλειστικῶς ἀφιερωθῶσι τῇ λατρείᾳ τοῦ Θεοῦ, τότε ὠνομάσθησαν **ἀναχωρηταί**[3], **ἐρημῖται, μοναχοί**. Ἐκ τῶν ἀσκητῶν τῶν ἐν παρθενίᾳ καὶ ἁγνείᾳ ζώντων, τῶν πρώτων αἰώνων τοῦ χριστιανισμοῦ, ὅπερ θεωρεῖται ὡς πρῶτον στάδιον τοῦ μοναχισμοῦ, προῆλθον οἱ ἀσκηταὶ τῆς ἐρήμου κληθέντες **ἀναχωρηταί**[4]· διέφερον δὲ τῶν πρώτων, ὅτι ἐκεῖνοι μὲν ἠσκοῦντο ἐν τῇ πατρίδι καὶ ἐν μέσῳ τῶν οἰκείων αὐτῶν, οὗτοι δὲ ἐν ταῖς ἐρήμοις ἐν αὐστηρᾷ ἀσκήσει, καὶ τοῦτο εἶναι τὸ δεύτερον στάδιον τοῦ μοναχικοῦ βίου. Τέλος ἀναχωρηταί τινες προσῆλθον πρὸς ἐρημίτας διαπρέποντας ἐπ' ἀρετῇ καὶ φρονήσει, καί, ὑποτασσόμενοι ὑπὸ τὸν κανόνα ἐκείνων, ἀπετέλεσαν ὁμάδας ἐξ ὧν συνεστήθη ὁ **σκητιωτικὸς βίος**, ἐξ οὗ βραδύτερον προῆλθεν ὁ **κοινοβιακός**· οὕτω δὲ μετεβλήθη ὁ μοναχικὸς βίος ἀπὸ μοναστικοῦ εἰς κοινόν, καὶ τοῦτο εἶναι τὸ τελευταῖον αὐτοῦ στάδιον.

Περὶ τῆς ἀρχῆς τοῦ μοναχικοῦ βίου ποικίλαι ὑπάρχουσι γνῶμαι·

---

στῖνος ὁ μάρτυς, Λουκιανὸς ὁ μέγας ἀσκητὴς καὶ μάρτυς. (Περὶ τῶν ἐν Παλαιστίνῃ μαρτυρησάντων. κεφ. ι'. 11. Ἀθανάσ. ἐν Συνόψ. σελ. 157. τόμ. β'.

1) «Ἕκαστος τῶν ἀρχαίων μοναχῶν, λέγει ὁ μέγ. Ἀντώνιος, μετὰ τὸ τέλος τοῦ διωγμοῦ ἠσκεῖτο ἰδίᾳ» (Acta SS. 14 Μαΐου.

2) Ἠρώτησεν ὁ ἀββᾶς Ἡσαΐας τὸν ἀββᾶν Μακάριον λέγων, εἰπέ μοι ῥῆμα· καὶ λέγει αὐτῷ φεῦγε τοὺς ἀνθρώπους καὶ σώζῃ (Ἀποφθέγμ. Πατέρ. τόμ. 65 σ. 273) «Ἀρσένιε, φεῦγε τοὺς ἀνθρώπους καὶ σώζῃ (αὐτόθι 88).

3) Ἡ ἐκ τοῦ κόσμου ἀναχώρησις ἐκαλεῖτο καὶ «ξενιτεία», ἥνπερ ὁ ἀββᾶς Ἡσαΐας θεωρεῖ ὡς τὸν πρῶτον ἀγῶνα τοῦ ἀποταξαμένου (Λόγ. ιζ'. σ. 102. πρβλ. Κλίμακ. Ἰωάν. λόγ. γ'). Ὁμοίως καὶ τοὺς Θεραπευτὰς «ἀρχομένους φιλοσοφεῖν.... ἀποταξαμένους ταῖς τοῦ βίου φροντίσιν ἔξω τειχῶν προελθόντας, ἐν μοναγρίοις καὶ κήποις τὰς διατριβὰς ποιεῖσθαι, τὰς ἐκ τῶν ἀνομοίων ἐπιμιξίας ἀλυσιτελεῖς καὶ βλαβερὰς εὖ εἰδότες» (Περὶ βίου Θεωρητικ. σελ. 892 ἔκδ. Φραγκφούρτης).

4) Ὁ μέγ. Ἀθανάσιος τοὺς ἀναχωρητὰς ὀνομάζει καὶ μοναχούς· «ἔστιν ὁ βίος τῶν υἱῶν τῆς καθολικῆς Ἐκκλησίας καὶ μάλιστα τῶν ἐν αὐτῇ ἀναχωρητῶν, ἤτοι μοναχῶν»· (Πατρολ. τόμ. 28. σελ. 856).

τινὲς μὲν λέγουσιν ὅτι ἐκ τοῦ Εὐαγγελίου[1] ἔχει τὴν καταγωγήν, τινὲς δὲ παραδέχονται τὸν Θεσβίτην Ἠλίαν, ὡς πρῶτον δόντα τὸ παράδειγμα τοῦ μοναχικοῦ βίου[2]· ἕτεροι δέ, Ἰωάννην τὸν Βαπτιστὴν[3] καὶ τοὺς Ἀποστόλους[4]· ἄλλοι πάλιν νομίζουσιν αἰτίαν τοῦ μοναχικοῦ βίου τοὺς κατὰ τῶν Χριστιανῶν διωγμοὺς τῶν εἰδωλολατρῶν[5]. Ὑπάρχει ὅμως καὶ ἄλλη γνώμη, ὅτι ὁ μοναχικὸς βίος ἔχει τὴν ἀρχὴν αὐτοῦ ἐκ τῶν πρώτων Χριστιανῶν τῶν Ἱεροσολύμων[6]· Κατὰ τὸν διωγμὸν ὅμως τοῦ Διοκλητιανοῦ (303) ἐπυρπολήθησαν ἴσως τὰ συγγράμματα τῶν ἐκκλησιαστικῶν συγγραφέων ἢ ἀπωλέσθησαν, οὕτω δὲ ἐλλείπουσιν αὐθεντικαὶ καὶ ἀναμφίλεκτοι ἀποδείξεις περὶ τῆς πρὸ τοῦ μεγ. Κωνσταντίνου ὑπάρξεως μοναχῶν. Ἕτεροι θεωροῦσι τοὺς ἐν Αἰγύπτῳ Θεραπευτὰς [7] τοὺς ὑπὲρ τὴν Μάρειαν λίμνην οἰκοῦντας. Οἱ ἀρχαιότεροι χριστιανοὶ μοναχοί, φρονεῖ τις τῶν νεωτέρων [8], εἶναι ἁπλῆ

---

1) «Εἰ θέλεις τέλειος εἶναι, ὕπαγε πώλησόν σου τὰ ὑπάρχοντα καὶ δὸς πτωχοῖς, καὶ ἕξεις θησαυρὸν ἐν οὐρανῷ, καὶ δεῦρο ἀκολούθει μοι» (Ματθ. ιθ'. 21). «Εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτὸν καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ καὶ ἀκολουθήτω μοι» (Ματθ. ιστ'. 24). «Τοῦ Χριστοῦ τοῦ τούτου τὸ σχῆμα (τὸ μοναχικὸν) χαρισαμένου» (Ἰσαὰκ Σύρ. λόγ. ζ'. σελ. 48. ἔκδ. Λειψίας).

2) «Ἕνας ἀββᾶς ἐζήτησεν ἀπὸ πολλοὺς πατέρας νὰ μάθῃ καταλεπτῶς, ποῖος νὰ ἦτον ἡ ἀρχὴ ὅπου ἐκατοίκησεν εἰς τὴν ἔρημον. Καὶ ὡς ἤκουσάν τινες πατέρες, ἀπὸ τοὺς παλαιοὺς ὅπου ἐθημόντουσαν, ἀπὸ τοῦ μακαρίου καὶ προφήτου Ἠλιοὺ, καὶ Ἰωάννου τοῦ Προδρόμου· ὅτι, εἶπον, ἡ ἀρχὴ τῆς ἐρήμου ἡ διαγωγὴ ἦτον Ἠλίας ὁ Προφήτης ὅπου εὑρίσκεται ἕως τὴν σήμερον, ὕστερον δὲ Ἰωάννης ὅπου ἐπροεῖπε τὴν προφητείαν πρὶν γεννηθῇ» (Κατάλοιπα Ἱεροσολυμ. Βιβλιοθ. κώδ. 22, αἰῶν. ιη'. φύλ. 51α).

3) Ταύτης δὲ τῆς ἀρίστης φιλοσοφίας, ἤρξατο, ὥς τινὲς λέγουσιν, Ἰωάννης ὁ Βαπτιστὴς (Σωζομ. Ἐκκλ. ἱστορ. βιβλ. α'. κεφ. 2).

4) Ἴστε δὲ καὶ τοὺς τῆς νέας προθήκης ἀκτήμονας Ἰωάννην τὸν Πρόδρομον τοῦ Χριστοῦ καὶ τὸν χορὸν τῶν Ἀποστόλων ἐξ ὧν ὁ μοναδικὸς ἤρξατο βίος» (Νείλου πρὸς τὴν σεμνοπρεπεστ. Μάγναν διάκον. Ἀγκύρας. Πατρολογ. τόμ. 78 σελ. 996).

5) Ἄλλοι δέ, φασίν, αἰτίᾳ ταύτῃ (=μοναστικῇ πολιτείᾳ) παρασχεῖν τοὺς κατὰ καιρὸν τῇ θρησκείᾳ συμβάντας πειρασμούς· ἐπεὶ γὰρ φεύγοντες ἐν ὄρεσι καὶ νάπαις τὰς διατριβὰς ἐποιοῦντο, ἐθάδες τοῦ τοιούτου βίου ἐγένοντο (Σωζομ. Α'. 12).

6) Νάρκισσος ὁ Ἱεροσολύμων ἐπίσκοπος (185—212) «ἐκ μακροῦ τὸν φιλόσοφον ἀσπαζόμενος βίον, διαδρὰς πᾶν τὸ τῆς Ἐκκλησίας πλῆθος, ἐν ἐρημίαις καὶ ἀφανέσιν ἀγροῖς λανθάνων, πλείστοις ἔτεσι διέτριβεν» (Εὐσεβ. Ἐκκλ. ἱστορ. στ'. 6).

7) Πάντες οἱ μετὰ τὸν Εὐσέβιον γράψαντες περὶ τῶν Θεραπευτῶν, παραδέχονται αὐτοὺς ὡς ἀρχαίους χριστιανοὺς ἀσκητάς, πλὴν τοῦ Φωτίου (Μυριοβιβλ. 104).

8) Ὁ Weingarten παρ. τοῖς Μοναχ. θεσμοῖς σελ. 3. Λειψία 1907.

απομίμησις τῶν ἐγκλείστων ἀσκητῶν εἰδωλολατρῶν, κάτοχοι ἢ ἐγκάτοχοι καλούμενοι, κατοικοῦντες ἐν τῷ ναῷ τοῦ Σαράπιδος καὶ ἐν Μέμφιδι, ἐν κελλίοις ἐγκλείστοις καὶ συγκοινωνοῦντες μετὰ τῶν ἔξω διὰ μιᾶς καὶ μόνης θυρίδος. Ἀλλ' ἡ ἁπλῆ ὁμοιότης ἐν τῷ τρόπῳ τοῦ ζῆν τῶν χριστιανῶν μοναχῶν μετὰ τῶν εἰδωλολατρῶν ἐγκλείστων ἀσκητῶν εἶναι λόγος ἀποχρῶν νὰ παραδεχθῇ τις, ὅτι ὑφίσταται στενὴ καὶ ἀδιάσπαστος γενετικὴ σχέσις μεταξὺ τούτων ἢ ἐκείνων [1]; Ἕτερος φρονεῖ ὅτι ὁ μοναχικὸς βίος ἔχει τὴν ἀρχὴν αὐτοῦ ἐκ τοῦ Βουδδισμοῦ [2]. Καίτοι εἶναι γνωστὸν ὅτι πρὸ τῶν χριστιανῶν μοναχῶν, ὑπῆρχον οὐ μόνον κατ' ἄτομα ζῶντες ἀσκηταὶ τῆς ἐθνικῆς θρησκείας, ἀλλὰ καὶ κατὰ σύστημα συντεταγμένοι, ὡς οἱ Ἐσσαῖοι, οἱ Θεραπευταί, ἀνεγνωρίσθη ὅμως ὑπὸ τῆς ἐπιστήμης, ὅτι ὁ χριστιανικὸς μοναχικὸς βίος προῆλθεν ὅλως ἀνεξαρτήτως τῶν ἀσκητῶν τῆς προχριστιανικῆς ἐποχῆς [3].

Θεμελιωτὴν τοῦ ἀναχωρητικοῦ ἢ ἐρημικοῦ βίου ἡ παράδοσις θεωρεῖ Παῦλον τὸν Θηβαῖον, ὅστις φεύγων τὸν ἐπὶ Δεκίου διωγμὸν (249—251), νέος ἔτι ὤν, ἀπεχώρησεν ἐν τῇ ἐρήμῳ, διατρίψας ἐν αὐτῇ ὑπὲρ τὰ 90 ἔτη, καὶ θεωρεῖται ὁ πρῶτος αὐτῆς οἰκιστής. Ὁ μεταγαγὼν ὅμως τὴν ἄσκησιν ἐκ τῆς κώμης εἰς τὴν ἔρημον καὶ δοὺς τὴν πρώτην ἀρχὴν εἰς τὸν πραγματικὸν μοναχικὸν βίον εἶναι ὁ Ἀντώνιος (285) [4]. Ὅτε δὲ ἀπὸ τοῦ 305, ὁπότε ἐδέχετο, ἵνα μένωσι μετ' αὐτοῦ, πλεῖστοι μοναχοὶ συνήχθησαν περὶ αὐτόν, ὥστε «πλεῖστα γέγονε μοναστήρια, καὶ πάντων αὐτῶν καθηγεῖτο» [5] καὶ οὕτω συνεστήθη ὁ σκητιωτικὸς βίος. Ὁ μοναχικὸς βίος διεδόθη ταχέως ἀνὰ τὴν Αἴγυπτον, ἥτις διὰ τοῦτο κατέστη τόπος περίλαμπρος.

Ἡ ἔρημος τῆς Νιτρίας [6], διὰ τὸ ἄγριον τῆς φύσεως αὐτῆς, ἐνωρὶς ἐφείλκυσε τὴν προσοχὴν τῶν μοναχῶν. Πρῶτος οἰκιστὴς αὐτῆς φέρεται Ἀμμοῦν (334—354), ὁ ἐπικληθεὶς ὕστερον Νιτριώτης· οὗτος κα-

---

1) Ἱστορικ. σημειώσ. Περὶ τῆς Μητροπολ. Θηβῶν σελ. 110.

2) Ὁ Hilgenfield. Μοναχ. θεσμοὶ σελ. 3.

3) Μοναχ. θεσμ. ἔνθ' ἀν.

4) «Ἄλλοι εἶπον ὑστερινοὶ Πατέρες, ὅπου ἐσύναξε καὶ ἐγέμισε τὴν ἔρημον, ἀρχὴ ἦτον ὁ μέγας Ἀντώνιος, καθὼς εἶναι ἡ ἀλήθεια, καὶ περισσότερον ἀπὸ τῶν ἄλλων εἶχε τὸν τρόπον, καὶ ὄχι ὅτι αὐτὸς ἐκατοίκησε πρῶτος εἰς τὴν ἔρημον, ἀλλὰ εἶδον ταῖς ἀρεταῖς αὐτοῦ καὶ τὴν πρὸς Θεὸν εὐλάβειαν ὅπου εἶχεν, ζήλῳ Θεοῦ ἐκινήθησαν πάντες εἰς μεγάλην σπουδήν, καὶ διὰ τοῦτο ὀνομάζεται πρῶτος τῆς ἐρήμου» (Κατάλοιπα Ἱεροσολυμ. Βιβλιοθ. κώδ. 22 φύλ. 51β).

5) Ἀθανάσ. ἐν βίῳ Ἀντωνίου.

6) «Ὑπὲρ δὲ Μωμέμφεως εἰσὶ δύο Νιτρίαι πλεῖστον νίτρον ἔχουσαι» (Στρβ. βιβλ. ιζ'.). «Καλοῦσι δὲ τὸν χῶρον τοῦτον Νιτρίαν καθότι κώμη τις ὅμορος, ἐν ᾗ τὸ νίτρον συλλέγουσι» (Σωζομ. ἐκκλ. ἱστορ. στ. κεφ. 31).

ταλαβὼν ἔρημον τόπον, «ἐνδότερον τοῦ τῆς Νιτρίας ὄρους, οὔπω γὰρ ἦν ἐκεῖ συνεχῆ μοναστήρια»[1] «ἀμφὶ τὴν Σκῆτιν καὶ τὸ καλούμενον ὄρος τῆς Νιτρίας εἴκοσι καὶ δύο ἔτη ἐφιλοσόφησε»[2]. Ὁ τόπος οὗτος βραδύτερον ὠνομάσθη «Κελλία» ἕνεκα τῶν ἐν αὐτῷ διεσπαρμένων κελλίων τῶν ἐρημιτῶν[3]. Εἰς ἀπόστασιν δὲ μιᾶς ἡμέρας καὶ νυκτὸς ἔκειτο ἡ ἔρημος τῆς Σκήτεως, ἔνθα ἐπεκράτει ὁ μοναχικὸς βίος ἐν τῇ ἀγριωτέρᾳ αὐτοῦ ἀπομονώσει. Ἦτο τοσαύτη ἡ ἀγριότης τῆς φύσεως ἐν τῇ Σκήτει, ὥστε ἡ θέα μόνον αὐτῆς ἐβάρυνε τὴν ψυχὴν διὰ θανασίμου μελαγχολίας[4]· τῇ βοηθείᾳ μόνον τῶν ἀστέρων ἐπορεύοντο κατὰ τὰς ψάμμους αὐτῆς. Ὁ μοναχικὸς βίος ταχέως ἐξηπλώθη ἀνὰ τὴν ἔρημον τῆς Νιτρίας[5], βραδύτερον δέ, ὅτε ὁ Οὐάλης (375) βιαίως κατέτασσε τοὺς μοναχοὺς εἰς τὰς τάξεις τοῦ στρατοῦ, μόνον ἐκ τῶν ὀρέων τῆς Νιτρίας ἐστρατολόγησε περὶ τοὺς 5000. Πρῶτος οἰκιστὴς τῆς Σκήτεως φέρεται Μακάριος ὁ Αἰγύπτιος (330—390), βραδύτερον Μακάριος ὁ Ἀλέξανδρεὺς (354—394), ὁ ἀββᾶς Παμβὼ (†374;) καὶ πλεῖστοι ἄλλοι διέπρεψαν ἐπ' ἀρετῇ, ὧν ὁ ἐνάρετος βίος προσείλκυσε πολλοὺς εἰς τὸν μοναχικὸν βίον, ἐν οἷς καὶ τὸν ἀββᾶν Ἡσαΐαν.

Ἄγνωστον εἶναι πότε ἐγεννήθη ὁ ἀββᾶς Ἡσαΐας, πιθανὸν ὅμως νὰ ἦτο Αἰγύπτιος· ἐὰν ἀποδώσωμεν αὐτῷ ἀνεκδοτόν τι διήγημα ἐπιγραφόμενον Ἡσαΐᾳ τῷ Θηβαίῳ[6], κείμενον ὅμως μεταξὺ τεμαχίων λόγων ἀνεκδότων, ὡς ἐπὶ τὸ πλεῖστον, καὶ ἀποδιδομένων τῷ ἀββᾷ Ἡσαΐᾳ, τότε θὰ παραδεχθῶμεν τὰς Θήβας ὡς πατρίδα αὐτοῦ. Ἐξ ἐπιγραφῆς Σαβαϊτικοῦ κώδικος ἐχούσης ἐπὶ λέξει: «Τοῦ ἀββᾶ Ἡσαΐου τοῦ ἀσκητοῦ καὶ οἰκέτου, ἀσώτου τὸ πρότερον, ὕστερον δὲ ἐν ἀσκήσει διαπρέψαντος»[7] μανθάνομεν ὅτι ἦτο δοῦλος. Ἐξ ἐπιστολῆς τοῦ ἐπισκόπου Ἀμμωνίου πρὸς Θεόφιλον Ἀλεξανδρείας[8] βλέπομεν ὅτι ἦτο σύγ-

1) Παλλαδ. Λαυσ. ἱστορ. κεφ. ηʹ. Πατρολογ. τόμ. 34. σελ. 1026.

2) Σωζόμ. αʹ. 14.

3) Σωζόμ. στʹ. 31

4) Ἅγιος Ἱερώνυμος, μετάφρασ. Νικ. Σταματιάδου, Σάμος 1893.

5) «Ἐζήλωσαν οὖν τὸν βίον Ἀμμοῦν πάνυ πολλοί, καὶ κατὰ μέρος ἐπληρώθη τὸ τῆς Νιτρίας ὄρος καὶ τὸ τῆς Σκήτεως ἐκ τοῦ πλήθους τῶν μοναχῶν» (Σωκράτ. ἐκκλ. ἱστορ. βιβλ. δʹ. κεφ. 23).

6) Ὑπ' ἀριθ. 113 Πατριαρχ. συλλογῆς φύλ. 66α.

7) Σαβαϊτικὸς κώδ. 633 φύλ. 63α. Ἡ ἐπιγραφὴ αὕτη δὲν ἐπιβεβαιοῦται δι' ἑτέρου κώδικος. Νικόδημος ὁ Ἁγιορείτης (Ἀόρατ. πόλεμος, σελ. 212 ἔκδ. Ἀθηνῶν 1890), παραδέχεται αὐτὴν ὡς ἀνήκουσαν τῷ ἀββᾷ Ἡσαΐᾳ, ἀλλὰ τὸ «ἀσκητοῦ καὶ οἰκέτου καὶ ἀσώτου τὸ πρότερον» ἀποδίδει Ἰουλιανῷ τῷ ἀσκητῇ, ἐν δὲ τῷ 13ῳ κώδικι συλλογ. Σταυροῦ φύλ. 194β ἐπιγράφεται Ἐφραὶμ τῷ Σύρῳ.

8) Acta SS. τομ. γʹ. σελ. 397.

χρονος τοῦ ἀββᾶ Ὀρσισίου († 376), διαδόχου τοῦ ἁγ. Παχωμίου ἐν τοῖς χρόνοις τοῦ μεγάλου Ἀθανασίου. Ἄγνωστον ἐπίσης εἶναι πότε καὶ ἐν ποίᾳ ἡλικίᾳ προσῆλθε τῷ μοναχικῷ βίῳ, καθὼς καὶ ἄλλα ἐκ τοῦ βίου αὐτοῦ, ἐλλείψει πληροφοριῶν· ἐκ διηγημάτων ὅμως τινῶν διασωθέντων παρὰ τῷ Παλλαδίῳ, καὶ ἐξ ἐπιγραφῶν ἐκ κωδίκων τῆς βιβλιοθήκης τοῦ Ἱεροῦ ἡμῶν Κοινοῦ θὰ προσπαθήσωμεν, ὅπως διαλευκανθῶσι κατά τι τὰ κατὰ τὸν ἀββᾶν Ἡσαΐαν.

Ὁ προσερχόμενος τῷ μοναχικῷ βίῳ ἐν ταῖς σκήτεσιν, ἐνεδύετο τὸ μοναχικὸν σχῆμα ἢ ὑπὸ τοῦ πρεσβυτέρου τῆς σκήτεως, ἢ ὑπὸ τοῦ ἐναρέτου γέροντος εἰς ὃν καὶ ὑπετάσσετο, καὶ παρὰ τοῦ ὁποίου ἐμάνθανε τὸ πρακτικὸν τῶν ἀρετῶν· ἀπήρχοντο δὲ καὶ εἰς τοὺς ἐπ' ἐναρέτῳ βίῳ διαπρέποντας καὶ ἠκροῶντο τῆς διδασκαλίας αὐτῶν, ὧν τὰς συμβουλὰς καὶ τὰς διδασκαλίας μετὰ σεβασμοῦ ἐτήρουν. Τὸ ἀπέρχεσθαι εἰς γέροντας καὶ συμβουλεύεσθαι ἦτο κανὼν τῶν ἀρχαίων πατέρων [1], τινὲς δὲ καὶ δὶς κατὰ μῆνα [2] παρέβαλλον εἰς ἐναρέτους γέροντας, ὠφελούμενοι ἐκ τῶν διδασκαλιῶν αὐτῶν.

Τῷ ἔθει τούτῳ στοιχῶν καὶ ὁ Ἡσαΐας ἀπῆλθε πρὸς τὸν ἀββᾶν Μακάριον καὶ ἠρώτησεν αὐτόν: «Εἰπέ μοι ῥῆμα· καὶ λέγει αὐτῷ ὁ γέρων φεῦγε τοὺς ἀνθρώπους· λέγει αὐτῷ ὁ ἀββᾶς Ἡσαΐας τί ἐστι τὸ φεύγειν τοὺς ἀνθρώπους; ὁ δὲ γέρων εἶπεν αὐτῷ· τὸ καθῖσαι ἐν τῷ κελλίῳ σου καὶ κλαῦσαι τὰς ἁμαρτίας σου» [3]. Ἄλλοτε πάλιν, διηγεῖται αὐτὸς ὁ Ἡσαΐας ὅτι: «Καθεζομένου μού ποτε πλησίον τοῦ ἀββᾶ Μακαρίου, ἦλθον ἑπτὰ ἀδελφοὶ ἐξ Ἀλεξανδρείας, πειράζοντες αὐτόν, καί φασιν, εἰπὲ ἡμῖν Πάτερ πῶς σωθῶμεν. Λαβὼν δὲ ἐγὼ πτυχίον καὶ καθεσθεὶς κατ' ἰδίαν ἔγραφον τὰ ἐκπορευόμενα ἐκ τῶν χειλέων αὐτοῦ» [4]. Καὶ πρὸς τὸν ἀββᾶν Σιλβανὸν τὸν σημειοφόρον ἀπήρχετο ἀκροώμενος τῆς ἐκείνου διδασκαλίας [5]. Ἄλλοτε πολεμούμενος ὑπὸ ῥυ-

---

1) Ἠρώτησεν ἀδελφὸς γέροντα λέγων, καλὸν τὸ παραβάλλειν γέρουσιν ἢ ἡσυχάζειν; λέγει αὐτῷ ὁ γέρων· τὸ παραβάλλειν τοῖς γέρουσιν ἦν ὁ κανὼν τῶν ἀρχαίων πατέρων (Σιναΐτ. μεμβρ. κωδ. 448 φύλ. 295α.

2) Εἶπεν ὁ ἀββᾶς Ποιμὴν ὅτι ἔλεγεν ὁ ἀββᾶς Παφνούτιος εἰς πάσας τὰς ἡμέρας τῆς ζωῆς τῶν γερόντων δὶς κατὰ μῆνα παρέβαλον αὐτοῖς» (Ἀποφθέγ. Πατέρ. σελ. 380).

3) Αὐτόθι σελ· 273.

4) Σιναΐτ. μεμβρ. κώδ. 448. φύλ. 336β.

5) «Εἶπεν ὁ ἀββᾶς Ἡσαΐας ὅτι καθεζομένου μού ποτε μετὰ τοῦ ἀββᾶ Σιλβανοῦ τοῦ σημειοφόρου, ἦλθέ τις ἀπὸ Βερροίας φιλόχριστος» κτλ. (κώδ. 113 Πατριαρχ. συλλογῆς φύλ. 200α. Ὁ Σιλβανὸς οὗτος εἶναι νομίζομεν ὁ Παλαιστινός, ὅστις διατρίψας ἐπί τινα χρόνον ἐν Νιτρίᾳ καὶ τῷ ὄρει Σινᾷ ὕστερον (365) ἵδρυσε τὴν ὁμώνυμον αὐτῷ μονὴν ἐν Γεράροις (Σωζομέν. βιβλ. στ. κεφ. 32) ἐν τῷ

παρῶν λογισμῶν ἀπῆλθε πρὸς τὸν ἐπ' ἀρετῇ διαπρέποντα ἀββᾶν Ποιμένα καὶ ἠρώτησε περὶ αὐτῶν, ὅστις εἶπεν αὐτῷ: «Ὥσπερ κάμπτρα (=θήκη) μεστὴ ἱματίων, καί, ἐὰν ἀφῇ αὐτά τις, τῷ χρόνῳ σήπονται οὕτω καὶ οἱ λογισμοί, ἐὰν μὴ ποιήσωμεν αὐτοὺς σωματικῶς, τῷ χρόνῳ ἀφανίζονται, ἤτοι σήπονται (Ἀποφθέγ. Πατέρ. σ. 328). Ἅπαντες οἱ μοναχοὶ εἰργάζοντο, καὶ διὰ τῶν οἰκείων πόνων ἐτρέφοντο· καί τινες μὲν «ὥρᾳ θέρους ἐπὶ μισθῷ ἀμῶντες, ἀρκοῦντα αὐτοῖς σῖτον ἀπετίθεντο, καὶ ἄλλοις μοναχοῖς μετεδίδουν»[1], ἄλλοι δὲ εἰργάζοντο τὴν «σειράν»[2], ἥτις πλεκομένη ἐκ βαΐων φοινίκων, καὶ ραπτομένη ἀπήρτιζε τὴν σπυρίδα· δὲν ἀπηγορεύοντο ὅμως καὶ ἄλλα εἴδη ἐργοχείρων διότι ἀπαντῶμεν καὶ καλλιγράφους παρὰ τοῖς Ἀποφθέγμασι τῶν Πατέρων, διαμένοντας ἐν τῇ Σκήτει.

Ἕκαστος ἀναχωρητὴς ἀπήρχετο καὶ ἐπώλει τὸ ἐργόχειρον αὐτοῦ εἰς τὰς κώμας καὶ πόλεις, ἐπιστρέφων δὲ ἐκόμιζε μεθ' ἑαυτοῦ τὰ πρὸς τὸ ζῆν ἀναγκαῖα· ὑπῆρχον τινὲς κοσμικοί, οἵτινες ἀναλαμβάνοντες τὴν πώλησιν τοῦ ἐργοχείρου τῶν μοναχῶν, παρεῖχον αὐτοῖς τὰ συμπεφωνημένα καὶ ἀπήλλαττον αὐτοὺς τοῦ περιέρχεσθαι ἀνὰ τὸν κόσμον. Ἐν σχέσει περὶ τοῦ ἐργοχείρου τοῦ Ἡσαΐου, τῆς σκληρᾶς διαίτης τῶν ἐθίμων ἐν τῇ Σκήτει τὸ ἑξῆς διήγημα διεσώθη παρὰ Παλλαδίῳ.

«Ἦλθε ποτὲ ὁ ἀββᾶς Ἀχιλᾶς εἰς τὸ κελλίον τοῦ ἀββᾶ Ἡσαΐου ἐν Σκήτει καὶ εὗρεν αὐτὸν ἐσθίοντα, ἦν δὲ βαλὼν εἰς τὸ πινάκιν ἅλας καὶ ὕδωρ. Ἰδὼν δὲ αὐτὸν ὁ γέρων ὅτι ἔκρυψεν αὐτὸ ὀπίσω τῆς σειρᾶς· λέγει αὐτῷ, εἰπέ μοι, τί ἤσθιες; ὁ δὲ εἶπε συγχώρησόν μοι ἀββᾶ, ὅτι θαλλία ἔκοπτον καὶ ἀνῆλθον εἰς τὸ καῦμα, καὶ ἔβαλον εἰς τὸ στόμα μου ψωμὸν μετὰ ἅλατος[2], καὶ ἐξηράνθη ὁ φάρυγξ μου ἀπὸ τοῦ καύματος, καὶ οὐ κατέβαινεν ὁ ψωμός, διὰ τοῦτο ἠναγκάσθην βαλεῖν μικρὸν ὕδωρ εἰς τὸ ἅλας, ἵνα οὕτω δυνηθῶ γεύσασθαι· ἀλλὰ συγχώρησόν μοι, καὶ λέγει ὁ γέρων, δεῦτε ἴδετε Ἡσαΐαν ζωμὸν ἐσθίοντα ἐν Σκήτει· εἰ ζωμὸν θέλεις ἐσθίειν ὕπαγε εἰς Αἴγυπτον». (Ἀποφθέγμ. Πατέρ. σελ. 124. Ἰωάν. Γεωμέτρ. ΞΔ'. σελ. 881 Πατρολογ. τ. 106.)

---

χειμάρρῳ ἐκείνῳ, ἔνθα κατὰ τὴν ἁγίαν Γραφὴν κατεσκήνωσαν οἱ Πατριάρχαι Ἀβραὰμ καὶ Ἰσαάκ.

1) Σωζομέν. Ἐκκλ. Ἱστορ. βιβλ. στ'. κεφ. 28.

2) Ἔλεγεν Ἰωάννης ὁ Κολοβὸς ὅτι ἐσθίοντες οἱ Πατέρες τῆς Σκήτεως ἄρτον καὶ ἅλας.... ἰσχυροὶ ἦσαν εἰς τὸ ἔργον τοῦ Θεοῦ. (Ἀποφθέγ. Πατέρ. Πατρολογ. τόμ. 65 σελ. 213. Παρέβαλέ ποτέ τις ἐπίσκοπος πρὸς ἀδελφὸν ἐν Σκήτει «ὅστις ἤνεγκεν αὐτὸν εἰς τὸ κελλίον αὐτοῦ καὶ παραθεὶς αὐτῷ ἄρτον καὶ ἅλας ἔλεγε, συγχώρησόν μοι Κῦρι ὅτι οὐδὲν ἄλλο ἔχω παραθεῖναι σοι» (Σιναΐτ. κώδ. μεμβρ. 448 αἰῶν. ΙΑ'. φύλ. 153β.

Πλησίον τοῦ ἀββᾶ Ἀμμώη πιθανῶς κατῴκει ὁ ἀββᾶς Ἡσαΐας, ἐν τῇ ἀρχῇ δὲ τῆς ἐκεῖ ἀφίξεως αὐτοῦ ἠρώτησεν αὐτὸν ὁ Ἀμμώης: «Πῶς με βλέπεις ἄρτι; λέγει αὐτῷ (ὁ Ἡσαΐας) ὡς ἄγγελον, πάτερ». Ἐπειδὴ δὲ ὡς ἀρχαρίῳ θὰ ὑπεδείκνυεν αὐτοῦ τὰς ἐλλείψεις, βραδύτερον πάλιν ἠρώτησεν αὐτὸν ὁ Ἀμμώης: «Πῶς με βλέπεις νῦν»; ὁ δὲ ἔλεγεν ὡς τὸν σατανᾶν, κἂν λόγον μοι λαλήσῃς ἀγαθὸν ὡς ρομφαίαν αὐτὸν ἔχω (Ἀποφθέγμ. Πατέρ. σελ. 125).

Κατὰ τὴν ἐποχὴν ἐκείνην οἱ μοναχοὶ κατεχόμενοι ὑπὸ ἐνθουσιασμοῦ πρὸς τὸν ἐρημικὸν βίον ἀνεχώρουν εἰς ἀπωτάτας ἐρήμους, ὅπως ἐκεῖ ἐν ἡσυχίᾳ καὶ αὐστηρᾷ ἀσκήσει δουλεύσωσι τῷ Θεῷ· συνέτεινον δὲ πρὸς τοῦτο ὁ ὑψηλὸς βίος τινῶν πατέρων, καὶ ἡ ἰδέα ὅτι ἐν τῇ ἐρήμῳ εὐκόλως κατορθοῦται ἡ ἀρετή [1]. Ἐὰν ἀποδώσωμεν τῷ ἡμετέρῳ Ἡσαΐᾳ διήγημά τι ἐπιγραφόμενον Ἡσαΐου τοῦ Θηβαίου, κείμενον μεταξὺ τεμαχίων ἐκ λόγων τοῦ Ἡσαΐου θὰ παραδεχθῶμεν, ὅτι καὶ αὐ-

1) Τινὲς τῶν ἀπερχομένων ἐν ταῖς ἐρήμοις ἀπεδύοντο εἰς ὑπερβολικὰς ἀσκήσεις, στερούμενοι δὲ τῆς ἐσωτερικῆς τοῦ πνεύματος ἰσχύος περιέπιπτον εἰς πλάνας. Οὕτως ἡ ὑπερβολικὴ ἄσκησις τοῦ ἐν Λεοντοπόλει αὐστηροῦ καὶ πεπαιδευμένου ἀσκητοῦ Ἱέρακος (πρὸ τοῦ 305) ἐξ ὑψηλοφροσύνης προερχομένη ἔρριψεν αὐτὸν εἰς πλάνην, καὶ ἠρνεῖτο τὴν ἀνάστασιν, ἐκήρυττε τὸν ἄγαμον βίον, καὶ τὴν ἀποχὴν τοῦ κρέατος ὡς ἀναγκαίαν πρὸς σωτηρίαν. (Ἐπιφαν. αἱρέσ. ξζ. Πατρολογ. τόμ. 42 σελ. 29). Ἄλλοι, λέγει ὁ Νεῖλος (Βιβλ. β' ἐπιστολ. 140), «ξενισθέντες καὶ θορυβηθέντες τὸν νοῦν, ἐξ ἀπροσεξίας καὶ ἀδιακρισίας, ἑαυτοὺς ἔσφαξαν μαχαίρᾳ, τινὲς δὲ κατεκρήμνισαν ἑαυτοὺς ἀφορήτῳ λύπῃ συσχεθέντες, ἕτεροι δὲ αὐτοφονευταὶ ἑαυτῶν τῇ προαιρέσει γεγονότες οἱ τάλανες ὑπέπεσον τῇ ἀποστολικῇ ἀρᾷ». Ἕτεροι περιέπεσον εἰς μανίαν (Ἱερών. ad Rusticum), ἄλλοι κατεφρόνουν τῆς Θείας Κοινωνίας, νομίζοντες ὅτι ἔφθασαν εἰς τὸ ἄκρον τῆς ἀρετῆς (Παλλαδ. Λαυσ. ἱστορ. Κεφ. λα, λβ, λγ). Ἐν τῇ Συρίᾳ πρὸ τοῦ 360 ἀνεφύη αἵρεσις ἕνεκεν τοῦ ὑψηλόφρονος πνεύματος πρὸς τὸν ἀσκητικὸν βίον, ἧς οἱ ὀπαδοὶ καλοῦνται Λαμπετιανοὶ (Φωτίου Μυριοβιβλ. 52. σ. 88), οἵτινες ἐμυκτήριζον τοὺς τὰς ὥρας ψάλλοντας ὡς ἔτι ὑπὸ νόμον τυγχάνοντας, Ἀδελφιανοὶ (Θεοδωρ. ἐκκλ. ἱστορ. λόγ. δ' κεφ. 10), Μασσαλιανοὶ ἢ Εὐχῖται, διὰ τὴν περὶ τῆς ἀδιαλείπτου προσευχῆς δῆθεν θεωρίαν αὐτῶν Χορευταί, διὰ τοὺς μυστικοὺς χοροὺς αὐτῶν, Ἐνθουσιασταί, διότι «δαίμονός τινος ἐνέργειαν εἰσδεχόμενοι καὶ Πνεύματος ἁγίου παρουσίαν ταύτην ὑπολαμβάνοντες.... ἐξαπίνης πηδῶσι καὶ ὑπερπηδηκέναι νεανιεύονται· καὶ τοῖς δακτύλοις τὸ τῆς τοξείας ἐπιτελοῦσι σχῆμα καὶ δαίμονας τοξεύειν ἰσχυριζόμενοι καὶ ἕτερα ἄττα δρῶσι παραπλησίως παραπληξίας μεστά, διὸ δὴ καὶ τῶν ἐνθουσιαστῶν ἐσχήκασιν ὄνομα» (Θεοδώρ. αἱρετ. κακομυθ. βιβλ. δ'. κεφ. ια'. Ἐπιφαν. αἱρέσ. π'). Περὶ τοῦ ἀρχηγοῦ τῆς τῶν Εὐχιτῶν αἱρέσ. ὅρα Ἰσαὰκ Σύρον ἐν ἐπιστολ. δ'. σελ. 579 ἔκδ. Λειψίας. Μεταξὺ Μασσαλιανῶν καὶ Εὐσταθιανῶν καταδικασθέντων ὑπὸ τῆς ἐν Γάγγρᾳ συνόδου (360), φαίνεται ὅτι ὑπῆρχε σχέσις ἐν τοῖς φρονήμασιν. Οἱ δὲ κατὰ τὸν ΙΑ' αἰῶνα αἱρετικοὶ Βογόμυλοι, τὰ πλεῖστα τῆς αἱρέσεως αὐτῶν ἤντλησαν ἐκ τῆς τῶν Μασσαλιανῶν ἢ Εὐχιτῶν, περὶ ὧν ὅρα Ζηγαβηνοῦ Δογματικὴν πανοπλίαν κεφ. ΚΖ. σελ. 1289. Πατρολογ. τόμ. 130.

τὸς ἀπῆλθεν εἰς τὴν ἔρημον· ἐκεῖ δὲ εὑρισκομένου συνέβη αὐτῷ τὸ ἑξῆς, ὅπερ ὕστερον αὐτὸς διηγεῖτο τοῖς ἀδελφοῖς ὠφελείας χάριν.

«Ὁ αὐτὸς (Ἡσαΐας ὁ Θηβαῖος)[1] εἶπεν, ὅτι καθεζομένου μου ἐν τῇ ἐσωτέρᾳ ἐρήμῳ πρὸ ἐτῶν κγ', ἦλθεν ἀδελφός τις πρός με, καὶ νίψας αὐτοῦ τοὺς πόδας ἤρξατο ὁμιλεῖν μοι καὶ λέγειν, θέλω ἀββᾶ κἀγὼ οἰκῆσαι τὴν ἔρημον ταύτην· καὶ λέγω αὐτῷ ἐὰν δύνῃ ὑπομεῖναι ἔχεις προκόψαι. Καὶ ταῦτα μὲν τῇ γλώσσῃ ἔλεγον, τῇ δὲ καρδίᾳ κατέκρινα αὐτόν. Μετὰ δὲ τὸ ἀναχωρῆσαι αὐτὸν ἀνέστην τοῦ εὔξασθαι, καὶ γίνομαι ὡς ἐν ἐκστάσει, καὶ θεωρῶ ἄνδρα φοβερὸν τῷ εἴδει, ἔκλαμπρον τῇ ὄψει, κατέχων ρομφαίαν πύρινον, καὶ λέγοντα πρός με. Εἰπὲ γέρων τίς ἐποίησε τὸν οὐρανόν, καὶ τὴν γῆν, ἐστερέωσε; καὶ λέγω αὐτῷ, ὁ Θεός· καὶ πάλιν λέγει, τίς ἐμέτρησε τὸν οὐρανὸν σπιθαμῇ καὶ τὴν γῆν δρακί; (Ἡσαΐας μ'. 12), τίς ἔστησε τὰ ὄρη σταθμῷ, καὶ τὰς νάπας ζυγῷ; (αὐτόθι), τίς ἐκρέμασε τὸ στερέωμα καὶ ἐπέσφιγξεν αὐτὸ ἀδέσμως; τίς ἐσφράγισε τὴν θάλασσαν, καὶ τὴν ἄβυσσον ἐχαλίνωσε; τίς ἐκρέμασε νεφέλας, καὶ τὰ ὕδατα βαστάζειν ἐκέλευσε; τίς ἐποίησεν ἥλιον καὶ ἥδρασε σελήνην καὶ ἠγλάϊσεν ἀστέρας; τίς ἐλεύκανε χιόνα καὶ κρύσταλλον; τίς δὲ ἐξαντλεῖ τὸν βυθὸν νεφέλαις, καὶ τὰ ὕδατα βαστάζειν, καὶ τοὺς ὄμβρους ρογεύειν ἐπὶ πρόσωπον πάσης τῆς γῆς; τίς ἐθησαύρισεν ἀνέμους καὶ σταθμῷ ἀκραδάντῳ ἀπέκλεισε; τίς ὁ τὰς καρδίας ἐτάζων, καὶ νεφροὺς ἐρευνῶν (ψαλμ. ζ'. 10), καὶ ἐννοίας ἐμβατεύων, καὶ λογισμοὺς διακρίνων, βλέπων ἀβύσσους, θεωρῶν τὰ ἐν τῷ σκότει; καὶ λέγω αὐτῷ, μόνος ὁ Θεός. Καὶ λέγει μοι, οἶδας ὅτι ἐστὶν ὁ Θεὸς δικαιοκρίτης ἀποδιδοὺς ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ; (Ρωμ. β'. 7) καὶ λέγω αὐτῷ, ναὶ ὄντως οἶδα· καὶ λέγει μοι, εἰ οὖν ταῦτα οἶδας, πῶς κατέκρινας τὸν ἀδελφὸν τὸν προσελθόντα, ἐν τῇ καρδίᾳ σου; καὶ λέγω, ἥμαρτον εἰς τὸν οὐρανόν, καὶ ἐνώπιον τοῦ Θεοῦ, καὶ ἐνώπιόν σου καὶ ἰδοὺ δίδωμί σοι ἐγγυητὴν τὴν ἁγίαν καὶ πανύμνητον Θεοτόκον, τοῦ μηκέτι ὀλισθῆσαι τοιούτῳ πτώματι. Καὶ λέγει μοι, πικρίαν ἐν τῇ καρδίᾳ σου ἔσπειρας, δρέπου τὸ δρᾶγμα ἔτη τρία· καὶ εἶδον αὐτὸν ἀπελθόντα εἰς τὴν πηγήν, ἐν ᾗ ἔπινον ἐξ αὐτῆς καὶ ἔκρουσε τῇ πυρίνῃ ρομφαίᾳ τὸ ὕδωρ. Καὶ ἦλθον εἰς ἐμαυτὸν καὶ κλαύσας πικρῶς ἀπῆλθον εἰς τὴν πηγὴν καὶ γευσάμενος εὗρον τὸ ὕδωρ πικρόν. Ὁσάκις δὲ ἔπινον ἐξ αὐτοῦ, ἐνεθυμούμην τὸν λόγον τοῦ ἀγγέλου, καὶ ἔλεγον ἐμαυτῷ: «Ἠσαΐα, πικρίαν ἔσπειρας, δρέπου τὸ δρᾶγμα». Καὶ ἐποίησα τὰ τρία ἔτη πενθῶν καὶ ὀδυρόμενος· καὶ

---

1) Ἐξ ὅσων γνωρίζομεν οὐδεὶς Ἡσαΐας Θηβαῖος ἀπαντᾶται ἐν τοῖς Ἀποφθέγμασι τῶν Πατέρων, καὶ τῇ Λαυσιακῇ ἱστορίᾳ.

μετὰ τὸ τέλος τῶν τριῶν ἐτῶν ἐγλυκάνθη τὸ ὕδωρ, καὶ ἔγνων ὅτι ἐποίησε μετ' ἐμοῦ Κύριος τὸ ἴδιον ἔλεος. Καὶ διὰ τοῦτο λέγω ὑμῖν, ὅτι οὐκ ἔστι χεῖρον τοῦ καταλαλῆσαι καὶ κρῖναι τὸν πλησίον· οἱ γὰρ πορνεύοντες καὶ μοιχεύοντες, οἱ βλέποντες, οἴδασιν ὅτι ἁμαρτάνουσι καὶ πολλάκις ἔρχονται εἰς μετάνοιαν, οἱ δὲ κατακρίνοντες δυσκόλως ἔρχονται εἰς τὸ γνῶναι αὐτούς». (Κῶδιξ 113 Πατριαρχικ. συλλογῆς φύλ. 66β).

Ἄγνωστον ἐπίσης ὑπάρχει πότε προσέλαβε τὸν Πέτρον ὡς μαθητήν· ἐκ τοῦ κε'. Λόγου βλέπομεν, ὅτι ἔγραφε τῷ ἀββᾷ Ἡσαΐᾳ[1] συμβουλευόμενος αὐτὸν τὰ πρὸς σωτηρίαν, πρὸ τοῦ ἐλθεῖν αὐτὸν ἐν τῷ μοναχικῷ βίῳ κατὰ τὰς ἀρχὰς τῆς ἀποταγῆς αὐτοῦ καὶ συνοικήσεως μετὰ τοῦ ἀββᾶ Ἡσαΐου πιθανῶς συνέβη αὐτῷ τὸ ἑξῆς. «Εἶπεν ὁ ἀββᾶς Πέτρος ὁ μαθητὴς τοῦ ἀββᾶ Ἡσαΐου, ὅτι καθημένου μού ποτε ἐπὶ τῆς τραπέζης, μετὰ τοῦ Πατρός μου Ἡσαΐου καὶ ἄλλων τινῶν γερόντων, ἐξ ἐνεργείας τοῦ διαβόλου ἐγέλασα· καὶ περιβλεψάμενός με ὁ ἀββᾶς Ἰσαὰκ[2] ἡγούμενος τῆς Σκήτεως λέγει τῷ ἀββᾷ Ἡσαΐᾳ, παίδευσόν σου τὸν μαθητήν, μέλλει γὰρ εἰς χεῖρας δαιμόνων ἐμπίπτειν· τὸ γὰρ γέλως ἐξ ἀφοβίας τίκτεται, καὶ μάλιστα ἐπὶ τραπέζης, ἡμῶν καθεζομένων ἐνώπιον τῶν τοῦ Θεοῦ ὀφθαλμῶν, καὶ τῶν ἁγίων ἀγγέλων ἱσταμένων καὶ ὑπὲρ ἡμῶν ἀγωνιζομένων, πῶς οὐκ ὀφείλομεν δακρύειν καί στενάζειν καὶ ἐντρέπεσθαι, ἐσθίοντες ἀλόγων τροφὰς λογικοὶ ὑπάρχοντες, καὶ ὀφείλοντες ἐν παραδείσῳ ἐν τρυφῇ διάγειν διὰ τὴν δοθεῖσαν ἡμῖν παρὰ Θεοῦ ἐξουσίαν, νῦν δὲ, διὰ τὴν παρακοὴν παρεβλήθημεν τοῖς κτήνεσι τοῖς ἀνοήτοις καὶ ὡμοιώθημεν αὐτοῖς (Ψαλπ. μη'. 12), τῇ τῆς βοσκηματώδους τροφῆς παραπλησίως ἐσθίοντες. Μοναχὸς ὁ καθεζόμενος, ἐπὶ τραπέζης, καὶ ἐσθίων καὶ πίνων ἀφόβως καὶ μὴ λογιζόμενος, ἅπερ ἐσθίει, καὶ ἑαυτὸν μέμφεται καὶ κατακρίνει τὴν ἑαυτοῦ συνείδησιν, λέγων, πῶς ἐγὼ ὁ ταπεινὸς καὶ ταλαίπωρος, ὁ ἀνάξιος τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ἄρτον καὶ ὄσπρια ἐσθίω, καὶ πολλοὶ ἅγιοι καὶ δίκαιοι, ἀσκηταὶ καὶ ἀναχωρηταί, πεινῶντες καὶ διψῶντες καὶ γυμνητεύοντες, οὔτε ἄρτον ἐσθίουσιν, ἐγὼ δὲ ὁ ἄθλιος ἑψητὰ ἐσθίω, ὀφείλων ἐσθίειν σποδὸν καὶ τέφραν. Μοναχὸς γὰρ ὁ ἐπὶ τραπέζης καθήμενος καὶ κατὰ νοῦν μὴ εὐχόμενος, ἀλλ' ὁμιλῶν καὶ λα-

1) «Καθὼς γεγράφηκάς μοι, ὅτι μετάνοιαν θέλω δοῦναι τῷ Θεῷ περὶ τῶν ἁμαρτιῶν μου, ἐὰν ὁ Κύριος ἀπαλλάξῃ με ἐκ τῆς πικρᾶς φροντίδος τοῦ κόσμου ἧς ἔχω (Λογ. κε'. σελ. 151).

2) Ἐν τοῖς Ἀποφθέγμασι τῶν Πατέρων δὲν ἀπαντᾶται τὶς Ἰσαὰκ ἡγούμενος τῆς Σκήτεως, ἀναφέρεται ὅμως τοιοῦτος ὡς πρεσβύτερος (=ἡγούμενος τῶν κελλίων καὶ ἴσως νὰ ἦναι ὁ αὐτὸς (ὅρα Ἀποφθέγ. Πατέρ. σελ. 224).

λῶν οἱονδηποτοῦν λόγον, ὁ τοιοῦτος σαρκικός ἐστιν καὶ οὐ πνευματικός· ὁ δὲ ἐπὶ τραπέζης γελῶν ὁ τοιοῦτος ἀπέστη ἀπὸ Θεοῦ, καὶ ὁ Θεὸς ἀπ' αὐτοῦ, καὶ ἡ εὐχὴ αὐτοῦ ἀπρόσδεκτός καὶ οἱ κόποι αὐτοῦ ἀνωφελεῖς».

Ἐκ τοῦ ἑπομένου ἀνεκδότου διηγήματος βλέπομεν ὅτι ἐκτὸς τοῦ Πέτρου καὶ ἕτερον προσέλαβε μαθητὴν ὁ ἀββᾶς Ἡσαΐας τὸν Ἐλισσαῖον. Ἐν τῷ διηγήματι τούτῳ θὰ ἀπαντήσωμεν πληροφορίας τινὰς περὶ τῆς Σκήτεως, λεπτομερείας περὶ τοῦ ἀββᾶ Ἡσαΐου, ὀλίγα τινὰ περὶ τοῦ ἐν Σκήτει μοναχικοῦ βίου, καθὼς καὶ περὶ τῆς κοινωνίας τῆς Ἀλεξανδρείας. «Διηγήσατο ἡμῖν ὁ ἀββᾶς Ἐλισσαῖος, ὅτι ὄντος μου νεωτέρου ἠσθένησα ἕως θανάτου· ὁ δὲ πατὴρ ὁ ἐμὸς ἦν συχνῶς καὶ προσκαλούμενος κατὰ πᾶσαν ὥραν τοὺς ἰατρούς, πολλὰ ὑπισχνούμενος, εἰ ὅλως θεραπεύσωσί με. Οἱ δὲ ἰατροὶ πολλὰ κοπιάσαντες, οὐκ ἴσχυον τὴν νόσον ἀπελάσαι. Τελευταῖον οὖν λέγουσι τῷ ἐμῷ πατρί, οὗτος ὁ νεανίας ἕως τρεῖς ἡμέρας ἀποθνήσκει. Ὁ δὲ πατήρ μου ταῦτα παρὰ τῶν ἰατρῶν ἀκούσας ποτνιώμενος σὺν πολλῶν δακρύων ἔδραμεν εἰς τὸν ναὸν τοῦ ἁγίου Μάρκου τοῦ εὐαγγελιστοῦ, εὑρὼν δέ, ὡς ἔλεγεν, ἔνδον τοῦ ναοῦ τινὰ μοναχόν, γέροντα λίαν, ἐπὶ τοῦ σκίμνου καθήμενον, καὶ ἰδὼν τὸν πατέρα μου λυπούμενον, λέγει αὐτῷ, τί σοὶ ἔστιν Κῦρι Προκόπιε, τί ἀδημονεῖς; λέγει αὐτῷ ὁ Πατήρ μου, ὁ φανερώσας σοι, τὸ ἐμὸν ὄνομα ἐγνώρισέ σοι πάντως καὶ τὴν αἰτίαν· καὶ λέγει ὁ γέρων, ἀπέλθωμεν ἕως τοῦ οἴκου. Ἐλθὼν δὲ ὁ γέρων ἐπεσκέψατό με, καὶ λέγει τῷ πατρί μου, φέρε τὴν συμβίαν σου ἐνταῦθα—ἦν γὰρ ἡ μήτηρ ἡ ἐμὴ φιλόχριστος πάνυ καὶ φιλομόναχος, ὁ δὲ πατήρ μου μισομόναχος λίαν—καὶ λέγει πρὸς τὸν πατέρα μου, τρία κεφάλαια ζητεῖ ὁ Θεὸς παρὰ σοῦ, καὶ ἐὰν φυλάξῃς αὐτὰ χαρίζεταί σοι ὁ Θεὸς τὴν ζωήν του· καὶ λέγει ὁ πατήρ μου, ἐγγυητής μοι ὁ ἅγιος Μᾶρκος ὁ εὐαγγελιστής, ὅτι φυλάξω· καὶ λέγει, ἰδοὺ ἔχεις δεκαεννέα ἔτη μοιχεύων καὶ πορνεύων καὶ μιαίνων τὴν κοίτην τῆς γυναικός σου, καὶ τούτου χάριν τὰ πέντε σου τέκνα ἀώρῳ θανάτῳ ἐξέκοψεν ὁ Θεός· δεύτερον κεφάλαιον, τὸν νεανίαν τοῦτον εἰς γάμον μὴ ἐκδώσῃς, ἀλλὰ ποίησον μοναχόν· τρίτον κεφάλαιον, μετὰ Ἀρειανῶν καὶ Θεοδοσιανῶν [1] μηκέτι κοινωνήσῃς· καὶ λέγει ὁ πατήρ μου, φυλάξω τοὺς λόγους σου πάσας τὰς ἡμέρας τῆς ζωῆς μου· καὶ ποιήσας μοι εὐχὴν ὁ γέρων διὰ

---

1) Ἴσως Θεοδοτιανῶν, ἐκ τοῦ αἱρεσιάρχου Θεοδότου τοῦ Σκητέως «πρῶτον εἰπόντα ψιλὸν ἄνθρωπον τὸν Χριστὸν» (Εὐσεβ. ἐκκλ. ἱστορ. ε. 28, 6) καὶ ὅστις ἀφωρίσθη «τῆς κοινωνίας ὑπὸ Βίκτορος (193—202) τοῦ τότε ἐπισκόπου» (αὐτόθ. 9). ἰδὲ Ἐπιφαν. αἱρέσ. 54. Πατρολογ. τ. 41 σελ. 961. Θεοδωρήτ. αἱρετ. κακομυθ. λογ. β. κεφ. ε. τόμ. 83, σελ. 392·

τριῶν ἡμερῶν ἐρρώσθην, καὶ εἶθ' οὕτως ἐποίησα τρία ἔτη ἐν τῷ οἴκῳ τοῦ πατρός μου. Καὶ ἀπελθὼν ὁ πατήρ μου ἡρμόσατό με εἰς ἀνεψιὰν Αὐγουσταλίου τοῦ ἡγεμόνος· καὶ τοῦ πατρός μου ἑτοιμαζομένου τὰ πρὸς γάμον, συνέβη τὴν κόρην ὑπὸ χαλεποῦ δαίμονος ἐνοχλεῖσθαι, καὶ ἀνηλεῶς καὶ χαλεπῶς κολάζεσθαι. Ποιήσαντες δὲ οἱ τῆς παιδὸς γονεῖς καὶ ὁ πατήρ μου μῆνας ἑπτά, παντὶ καὶ πανταχοῦ ἐν ταῖς ἐκκλησίαις, ὥστε καὶ εἰς φαρμακοὺς καὶ εἰς γόητας αὐτὴν περιάγειν, καὶ μηδὲν ὠφελῆσαι, ἀλλὰ μᾶλλον καὶ εἰς τὸ χεῖρον αὐτὴν προκόψαι, τότε κοινῇ γνώμῃ καὶ βουλῇ, λαβόντες αὐτὴν ἀπηνέγκαμεν πρὸς τὸν ἀββᾶν Μάκαρην[1] ἀπῆλθον δὲ καὶ ἐγὼ μετ' αὐτῆς καὶ ὁ πατήρ μου, καὶ λαβὼν ὁ γέρων ἔλαιον καὶ ποιήσας εὐχὴν ἐπ' αὐτό, ἐκέλευσε τῇ μητρὶ αὐτῆς λοῦσαι αὐτὴν ἔλαιον ἀπὸ κεφαλῆς μέχρις ὀνύχων· αὐτῆς δὲ ἀλειφομένης, ἤρξατο ὁ δαίμων κράζειν, καίομαι, καίομαι· καὶ ἐξελθὼν ἐκ τῆς κόρης ἐκολλήθη ἐμοὶ ἑπταπλασίως καὶ χαλεπῶς κολάζων με. Ποιήσας οὖν τριάκοντα ἡμέρας ὑπὸ τοῦ δαίμονος ἀνηλεῶς κολαζόμενος, ἰδοὺ ὁ γέρων, ὁ καὶ πρώην τῷ πατρί μου ὁμιλήσας, ὁ καὶ ἐκ τῆς νόσου ἰασάμενός με· ἰδὼν δὲ αὐτὸν ὁ πατήρ μου ἀπέδρα ἐξ αὐτοῦ. Λαβὼν δὲ ἐμὲ ὁ γέρων ἐν τῷ κελλίῳ αὐτοῦ, καὶ δι' ὅλης τῆς νυκτὸς τῇ προσευχῇ σχολάζων, καὶ τὸ γόνυ κάμπτων, ἐφυγάδευσε τὸν δαίμονα ἐξ ἐμοῦ, καὶ ἀποθρίξας μου τὴν κόμην τῆς κεφαλῆς, καὶ ἐνδύσας με κεντώνιον ἀπὸ ἐρέας καὶ τριχῶν καμήλου, ὡσαύτως καὶ μαπίον, παραδέδωκέ μοι τῷ ἀββᾷ Ἡσαΐᾳ, ἦν δὲ ὁ γέρων ἔχων καὶ ἄλλον μαθητὴν ὀνόματι Πέτρον. Ποιήσας οὖν μῆνας ἐννέα, ἀκούσας ὁ ἐμὸς πατὴρ τὰ περὶ ἐμοῦ, ἀπέστειλε τέσσαρας παῖδας μετὰ ὀκτὼ καμήλους φορτωμένας παντοίοις βρώμασι, καὶ ὀπώραις, ἀπέστειλε δὲ καὶ γράμματα πρός με· δεξάμενος δὲ ἐγὼ τὰ γράμματα καὶ ἀναγινώσκων αὐτὰ ἠρξάμην κλαίειν. Ἰδὼν δὲ ὁ ἀββᾶς Ἡσαΐας τὰ γράμματα ἐν ταῖς ἐμαῖς χερσί, ἀναστὰς ἥρπασεν αὐτὰ ἐκ τῶν χειρῶν μου καὶ κατέκοψεν αὐτά· ἐμοῦ δὲ ἀγανακτήσαντος, ἤρξατο ὁ γέρων ὑβρίζειν με ἔμπροσθεν τῶν παίδων τοῦ πατρός μου. Ἐκ τῆς ὥρας ἐκείνης προσεπέλασέ μοι ὁ δαίμων τοῦ μίσους, καὶ οὐκ ἠδυνάμην οὔτε ἰδεῖν, οὔτε ἀκοῦσαι τῆς φωνῆς αὐτοῦ, ἀλλ' ἐθεώρουν αὐτὸν ὡς Χάροντα, καὶ τοὺς λόγους αὐτοῦ εἶχον ὡς βέλη, καὶ ὡς μαχαίρας διστόμους.

Ἱστάμενος δὲ μετ' αὐτοῦ εἰς τὰς εὐχὰς καὶ εἰς τὰς ἀγρυπνίας κατηρώμην αὐτόν, καὶ ἐκ τοῦ μίσους τοῦ πολλοῦ καὶ τῆς πολλῆς ἀηδίας

---

1) Ὁ ἐνταῦθα μνημονευόμενος ἀββᾶς Μάκαρης εἶναι αὐτός ὁ Αἰγύπτιος Μακάριος († 390), ὅστις κατὰ τὸν Σωκράτην (ἐκκλ. ἱστορ. βιβλ. δ'. κεφ. 23) «τοσαύτας θεραπείας ποιησάμενος καὶ τοσούτους τῶν δαιμονώντων ἐξήλασε δαίμονας, ὡς ἰδίας δεῖσθαι συγγραφῆς».

ἧς εἶχον πρὸς αὐτόν, πλειστάκις ἀνέστην ἐν νυκτὶ τοῦ ἀποκτεῖναι αὐτόν, ἐφοβούμην δὲ καὶ ἐδειλίων τὸν συμμαθητήν μου Πέτρον. Ὁ δὲ γέρων οὐκ ἐπαύετο διδάσκων καὶ νουθετῶν, καὶ ποτὲ μὲν παρεκάλει, ποτὲ δὲ καὶ ἐπέπληττεν· ἐρχομένου δέ μου πρὸς τὸ κοινωνῆσαι ἐκώλυέ μοι(;) καὶ μετὰ ὕβρεως ἐξήλαυνεν, καὶ ἐκ τῆς τραπέζης ἠφόριζέ με, λέγων, οὐ μὴ φάγῃς ἕως ἂν εἴπῃς ἥμαρτον, συγχώρησον. Ἐγὼ δὲ τὰ ἐναντία ποιῶν, λάθρα κλέπτων ἤσθιον, καὶ αὐτοῦ εὐχομένου ἐγὼ ἐκαθεζόμην, αὐτοῦ ἀγρυπνοῦντος ἐγὼ ἐκοιμώμην, αὐτοῦ ἀναγινώσκοντος ἐγὼ ἠργολόγουν, αὐτοῦ κλαίοντος ἐγὼ ἐγέλων. Τοιοῦτόν με εὑρὼν ὁ δαίμων ὑπήκοον αὐτοῦ ἐν πᾶσι γενόμενον, ἤρξατό μοι καὶ ὄνειρα καὶ φαντασίας κατὰ τοῦ γέροντος δεικνύειν· ἠρξάμην δὲ ἐγὼ ὁ ταπεινὸς ταῖς ὑπονοίαις μου πείθεσθαι, καὶ τὰ ὄνειρα καὶ τὰς φαντασίας, ἐγρηγορότως, λεπτομερῶς, καὶ νουνεχῶς, καὶ νηφόντως ἐνατενίζειν· καὶ τοῖς λογισμοῖς τοῖς αἰσχροῖς καὶ φαύλοις, καὶ πονηροῖς καὶ ἀκαθάρτοις, τοῖς ἔνδον ἐν τῇ καρδίᾳ μου βρύουσι, καὶ κατὰ τοῦ γέροντος ἐνοχλοῦσι καὶ ταράττουσιν, ἠρξάμην πιστεύειν καὶ συνδυάζειν αὐτοῖς. Ἤρξαντο οὖν οἱ λογισμοὶ ἔνδοθεν ἐνοχλεῖν, καὶ οἱ δαίμονες ἔξωθεν εἰς θυμὸν καὶ ὀργήν, καὶ πικρίαν καὶ ὀξυχολίαν κινεῖν με, καὶ ὁ δαίμων τῆς ὑπερηφανίας, μᾶλλον δὲ τῆς ἀπωλείας ἤρξατο διδάσκαλός μου γίνεσθαι. Ἠρξάμην δὲ καὶ ἐγώ, ἅπερ αὐτὸς λάθρα καὶ κρυπτῶς διδάσκειν, ἐγὼ φανερῶς ἐκστηθίζειν καὶ ἀπαγγέλλειν ἐνώπιον πάντων. Καθήμενος γὰρ ἀπὸ πικρίας, ἔλεγον πρὸς ἐμαυτόν· τίς ἐστιν οὗτος ὁ πλάνος, καὶ ἐπιθέτης καὶ ὑποκριτής, ὁ ἀγενὴς καὶ πανικός, ὅστις ἐγὼ ἀπὸ τοιαύτης πόλεως, καὶ ἀπὸ τοιούτου γένους, καὶ εὐγενῶν γονέων, πλούτῳ κομώντων καὶ ἀνδράποδα τοσαῦτα ἐχόντων, γέγονα αὐτῷ ὡς μισθωτός, μᾶλλον δὲ ὡς δοῦλος αὐτῷ παριστάμενος, καὶ ὕδωρ ταῖς χερσὶν αὐτοῦ ἐπιβάλλων, καὶ χύτραν στένων, καὶ ἐπικέρνης γενόμενος, καὶ ὕδωρ φέρων, καὶ ξύλα συλλέγων, καὶ ὡς δοῦλος αὐτῷ παριστάμενος[1], ὀφείλων αὐτός μοι δουλεύειν καὶ αὐτὸς ἐμοὶ ὑποτάσσεσθαι, οὐχὶ ἐγὼ αὐτῷ. Πόσας πικρίας καὶ χολάς, θλίψεις καὶ λύπας, ὕβρεις καὶ ὀνείδη ἐξ αὐτοῦ ἐδεξάμην· πόσα μοι ἐποίησε πεινᾶσαι, καὶ διψῆσαι, καὶ ἀγρυπνῆσαι, καὶ χαμαικοιτῆσαι, πόσα μοι ἐξουδένωσεν, πόσα μοι κακὰ ἐνέπλησεν. Καὶ ταῦτά μοι τοῦ δαίμονος διδάσκοντος, ἐγὼ ἐπὶ πλέον ὠργιζόμην, καὶ εἶχον ὡς ἐμαυτὸν ἀδικηθέντα, καὶ ὡς πολλὰ κακὰ παθόντα· καὶ ἔλεγέ μοι ὁ λογισμός, ἔξελθε

1) Ἐμπαθῆ μᾶλλόν εἰσι τὰ ὑπὸ τοῦ Ἐλισσαίου ἐνταῦθα λεγόμενα πρὸς τὰς διασωθείσας πληροφορίας τοῦ Παλλαδίου, ἐν αἷς βλέπομεν τοὺς γέροντας ἐπιεικεῖς πρὸς τοὺς ἀρχαρίους ὑποτακτικοὺς αὐτῶν.

ἐκ τοῦ κατηραμένου τούτου, καθέζου ἐν κελλίῳ ὡς πάντες οἱ πατέρες, οὗτος γὰρ οὐκ ἔστι μοναχός, ἀλλ' οὐδὲ χριστιανός. Ἐκ τῶν τοιούτων λογισμῶν ἠρξάμην πάλιν θεωρεῖν ἐν ὑπνίᾳ, περὶ τοῦ γέροντος ὡς ὅτι μετὰ γυναικῶν χορεύει, καὶ μετὰ αἰθιόπων παίζει καὶ θεσπίσας, ἐβεβαίωσα ὅτι ἐχθρὸς Θεοῦ ἐστιν καὶ φίλος δαιμόνων. Ὑπῆρχε δὲ ἔξω τῆς Σκήτεως, ὡς ἀπὸ σταδίων ε'. ἱερὸν ἑλληνικόν, καὶ ἐν μέσῳ τοῦ ἱεροῦ ξόανον μαρμάρινον [1] ἱστάμενον —εἶχε δὲ ὁ γέρων ἔθος, κατὰ Σάββατον ἐξέρχεσθαι τῆς Σκήτεως εἰς τὸ ἱερὸν καὶ κλαίειν— ὑπῆρχον δὲ ἐκεῖ μνήματα ἑλληνικά· καὶ δείκνυσί μοι ὁ δαίμων κατ' ὄναρ, οὐχ ἅπαξ, ἀλλὰ πλειστάκις, ὡς ὅτι ὁ γέρων θύει, καὶ προσκυνεῖ τὸ εἴδωλον. Ἐγὼ δὲ ὑποπτεύσας ὡς ἀληθῆ εἶναι τὰ ὄνειρα, κατὰ τὴν ὥραν, ἣν εἰώθεν ὁ γέρων ἐξέρχεσθαι πρὸς τὸ ἱερόν, προσποιήσας ἐξῆλθον τοῦ κελλίου, καὶ πίπτω ἐπὶ πρόσωπον ἐν μέσῳ τοῦ ἱεροῦ, ἐν ᾧ βάτος ἐν τῷ καταλύματι ἦν· καὶ θεωρῶ τὸν γέροντα ὡς ἂν εἰσερχόμενον, καὶ γυνὴ ἔμπροσθεν αὐτοῦ, καὶ ἐλθούσης τῆς γυνῆς, ἐθεώρουν ὡς ὅτι ηὔχετο καὶ προσεκύνει τὸ εἴδωλον, καὶ ὡς ἐτέλεσε τὴν εὐχὴν ἰδέσθαι με ὡς ὅτι ὁ γέρων ἐλθὼν προσεκύνησε τὸ ζῴδιον, ἠσπάσατο δὲ καὶ τὴν γυναῖκα, καὶ συγγενάμενος αὐτῇ ἐξῆλθεν ὁ γέρων ὡς ἐπὶ τὴν Σκῆτιν, ἡ δὲ γυνὴ ὡς ἐπὶ τὸ ἕλος [2].

Ταῦτα ἑπτάκις λάθρᾳ σκοπήσας καὶ ὡς ἐν βεβαιώσει θεωρήσας, ἠρξάμην ἔξω τοῦ κελλίου καθέζεσθαι καὶ τοὺς ἐρχομένους ἀδελφοὺς πρὸς τὸ ὠφεληθῆναι ἐκ τοῦ γέροντος, ἔλεγον λάθρα πρὸς αὐτούς: φύσει ἀδελφοὶ ὁ ἀββᾶς οὗτος πόρνος καὶ εἰδωλολάτρης ἐστί, τί οὖν πλανᾶσθε ἐρχόμενοι πρὸς αὐτόν; ἐποίησα δὲ ταῦτα λέγων, πρὸς τοὺς μοναχοὺς τοὺς ἐρχομένους πρὸς τὸν γέροντα μῆνας δ' καὶ πρὸς ὅ,τι ἐγὼ ἐμόχθουν τοῦ κωλῦσαι αὐτούς, ἐκεῖνοι ὑπὸ τῆς τοῦ Θεοῦ χάριτος πρὸς τὸν γέροντα συνηθροίζοντο. Θεωρῶν δὲ ἐγὼ ὁ ταπεινὸς ἐτηκόμην, καὶ ὕψωνα τὰς χεῖρας εἰς τὸν οὐρανὸν λέγων, Κύριε δὸς ὑπομονήν· καὶ ἐνόμιζον ἐγὼ ὁ ταλαίπωρος καὶ ἄθλιος, ὅτι ἀδίκως ὑπομένω καὶ ὡς ἔτι ἀρετὴν ποιῶ, καὶ στενάζων ἔλεγον, δόξα σοι ὁ Θεὸς ἀπὸ ποίας τιμῆς εἰς ποίαν ἀτιμίαν ἦλθον, καὶ πῶς ἤμην καὶ τί ἐγενόμην, καὶ ἔκλαιον. Θεωρῶν με δὲ ὁ γέρων ἔλεγε, τέκνον καλόν, καθάρισόν

---

1) Τὸ ξόανον πάντως θὰ ἦτο τοῦ Σαράπιδος, διότι οὗτος ἐλατρεύετο ἐν τῇ Νιτρίᾳ. (Στράβ. βιβλ. ιζ').

2) «Ἕλος γὰρ παράκειται ἐν τῇ Σκήτει, ἔνθα καὶ αἱ Ἐκκλησίαι ᾠκοδόμηνται καὶ αἱ πηγαὶ τῶν ὑδάτων εἰσί. Συνήθεια δὲ τοιαύτη ἦν ἐν τῇ Σκήτει, ἵνα ἐὰν ἔλθῃ γυνή, λαλῆσαι ἀδελφῷ αὐτῆς, ἢ ἄλλῳ διαφέροντι αὐτῇ ἀπὸ μακρόθεν, καθεζομένων αὐτῶν ἀπ' ἀλλήλων, ὁμιλῶσιν ἀλλήλοις» (Ἀποφθέγ. Πατέρ. σελ. 252).

σου τὴν καρδίαν, ταπείνωσόν σου τοὺς λογισμούς, πόθησον τὴν ταπείνωσιν τοῦ Χριστοῦ, βδελύσσου τὴν ὑπερηφανίαν, πρόσεχε σεαυτῷ. Ταῦτα αὐτοῦ λαλοῦντός μοι, ἐγὼ μὲν ὠργιζόμην καὶ ἐπικραινόμην, καὶ ἐταραττόμην, καὶ ὡς βέλη τιτρώσκοντά με τοὺς λόγους αὐτοῦ ἠσθόμην. Ὅτε ἐκαθεζόμην μετ' αὐτοῦ ἐν τῇ τραπέζῃ ἐθεώρουν τὰ βρώματα ὡς δυσωδίαν καὶ ἐσυχαινόμην, ὥστε ἐμέσαι τὰ βρώματα οὐ μόνον ἅπαξ καὶ δίς, ἀλλὰ πλειστάκις, ἀναβολικὸς γενόμενος. Ὁ δὲ λογισμὸς ἔνδον ἐνοχλῶν μοι οὐκ ἐπαύετο λέγων, ἔξελθε ἐκ τῆς μονῆς τοῦ γέροντος τούτου, εἰ δυνατόν, καὶ ἀπὸ Σκήτεως, θεωρῶν γὰρ τὸν γέροντα τοῦτον οὐ σώζεσαι· καὶ ἔλεγον ἐμαυτῷ, τίνος χάριν ταῦτα πάσχω; ἐν τῷ κόσμῳ ὤν, οὐκ ἐπόρνευσα, οὐδὲ ἐμοίχευσα, οὔτε ἔκλεψα, οὔτε ἐφόνευσα. Καὶ ἔλεγέ μοι ὁ λογισμός, μᾶλλον δὲ ὁ δαίμων, δικαίως ἔπαθες, ἐλύπησες τὸν πατέρα σου καὶ τὴν μητέρα σου, τοὺς συγγενεῖς καὶ φίλους σου, καὶ ἀφίησες τοὺς ἁγίους πατέρας καὶ ἦλθες καὶ ἐμόνασες εἰς τὸν ἐπιθέτην τοῦτον, τὸν κακεντρεχῆ, καὶ ἀνελεήμονα, καὶ ἀναίσχυντον. Ταῦτα τοῦ δαίμονος ὑποβάλλοντός μοι, ἐγὼ ὁ ταπεινὸς καὶ ἁμαρτωλός, ἕτοιμος εὑρισκόμην πρὸς συγκατάθεσιν τῶν αἰσχρῶν καὶ φαύλων λογισμῶν· καὶ ἐν σκότει κεχωσμένος ὢν ἐνόμιζον ἐν φωτὶ εἶναι, καὶ μοναχικῶς νομίζων διάγειν, σατανᾶς ὑπῆρχον, καὶ ἀντὶ τοῦ μέμφεσθαι ἑαυτὸν καὶ κατακρίνειν, τὸν δοῦλον τοῦ Θεοῦ ἐμεμφόμην καὶ κατέκρινον. Ἐν τῇ τοιαύτῃ ζάλῃ καὶ ταραχῇ τῶν λογισμῶν ὑπάρχοντός μοι, συνέβη τὸν πατέρα μου γράψαι με, ὅτι ἡ μήτηρ σου ἀποθνήσκει ἐλθὲ οὖν ὅπως θεωρήσῃς αὐτὴν πρὸ τοῦ ἀποθανεῖν. Λέγω οὖν τῷ ἀββᾷ Πέτρῳ, ὄντως ἐγὼ ὑπάγω ὅπως θεάσωμαι τὴν μητέρα μου· ἀπελθὼν δὲ ὁ ἀδελφὸς λέγει τῷ γέροντι, ὁ δὲ γέρων ἐλθὼν πρός με λέγει μοι· τέκνον καλόν, καθέζου τῇ ὑπομονῇ τοῦ Θεοῦ, καὶ ἄφες τὴν προσπάθειαν τοῦ πατρὸς καὶ τῆς μητρός, ἔχομεν γὰρ πατέρα ἐν οὐρανῷ, ὅστις καὶ ἡμῖν καὶ αὐτοῖς προνοήσεται κατὰ τὸ συμφέρον· εἰ δὲ παρακούσῃς μου καὶ ἀπέλθῃς, τοὺς μὲν γονεῖς οὐδὲν ὠφελήσῃς, σεαυτὸν δὲ τὰ μέγιστα βλάψῃς καὶ ἐκ τῶν ἐσχάτων πολλὰ μεταμεληθείς, καὶ οὐδὲν ὠφεληθείς, ἀλλὰ μέλλει ἡ ἀποστασία σου παιδεῦσαί σε. Ταῦτα ἐγὼ παρὰ τοῦ γέροντος ἀκούσας, καὶ τοῦ δαίμονος συναρπάσαντός με εἰς ὀξυχολίαν, λέγω τῷ γέροντι· ἐπιθέτα, εἰδωλολάτρα, πόρνε, μοιχέ, θέλεις ποιῆσαι με ἴσον σου; ὁ δὲ γέρων ἔλεγε μοι, χάρις Θεοῦ διὰ στόματός σου. Ἐγὼ δὲ ἔκραζον ἐπιθέτα καὶ εἰδωλολάτρα, ὥστε πολλοὺς τῶν πατέρων κατὰ τὰς φωνάς μου συναθροίζεσθαι· καὶ πάντες οἱ γέροντες ἐμὲ ἐπέπληττον καὶ κατηγόρουν. Ἐγὼ δὲ τοῦ δαίμονος ἐνεργοῦντος ἐν ἐμοί, κρατήσας μου τὸ σιχάριον, ἔσχισα αὐτὸ ἀπὸ θυμοῦ ἀπὸ ἄνωθεν ἕως κάτω, καὶ ῥίψας εἰς τὴν ὄ-

ψιν αὐτοῦ τὸ μαπίον ἐξῆλθον γυμνὸς ἐκ τοῦ κελλίου, καὶ εἰσελθὼν εἰς τὸ κελλίον ἑνὸς τῶν γερόντων ἔκλεψα αὐτοῦ τὸ συνακτικὸν καὶ τὸ στόλιον, καὶ ἐξῆλθον καὶ ἀπῆλθον εἰς τὴν Ἀλεξάνδρειαν· εὗρον δὲ τὴν μητέρα μου ἀποθανοῦσαν, καὶ τὸν πατέρα μου ἀσθενοῦντα, καὶ μετὰ τρεῖς ἡμέρας ἐτελεύτησέ μου ὁ πατήρ. Ἐμοῦ δὲ ἀδολεσχοῦντος, καὶ διαλογιζομένου μου περὶ τῶν χρημάτων καὶ τῆς λοιπῆς κληρονομίας, καὶ μεταμελούμενος διατί γέγονα μοναχός, κατέλαβεν ἡ ἑσπέρα· καὶ ἐμοῦ ἐπὶ τῆς κλίνης ἀνακειμένου καὶ τὰ περὶ τῆς Σκήτεως καὶ τοῦ ἀββᾶ Ἡσαΐου λογιζομένου, ἐστέναζον καὶ ἔλεγον, δόξα σοι ὁ Θεὸς ὁ λυτρωσάμενός με ἐκ τὸν ἐπιθέτην, καὶ πεπλανημένον γέροντα ἐκεῖνον· καὶ σὺν τῷ λόγῳ, ἤκουσα φωνῆς ὡσεὶ βροντῆς λεγούσης, «ὄλεθρος καὶ ἀπώλεια τῷ οἴκῳ Προκοπίου». Καὶ εὐθέως γέγονεν ἄνεμος καὶ ἐξῆψε πῦρ εἰς τὰς τέσσαρας γωνίας τῆς αὐλῆς, ἐγὼ δὲ ἀνέστην τεταραγμένος, καὶ μόλις ἰσχύσαμεν πάντες οἱ ἐν τῇ οἰκίᾳ ἐξελθεῖν, τὸ πῦρ πανταχοῦ νεμομένου. Συναχθέντες πάντες οἱ τῆς Ἀλεξανδρείας οἰκήτορες οὐδὲν ἴσχυσαν ποιῆσαι, τοῦ πυρὸς ἤδη τοὺς λίθους τήκοντος· ἐγὼ δὲ ἱστάμην ἐντρεπτικός, κατῃσχυμμένος, καὶ διαλογιζόμενος τὰ συμβάντα, καὶ ἀπὸ πολλῆς ἀθυμίας καὶ ῥαθυμίας, ἀπελθὼν ἔρριψα ἐμαυτὸν εἰς τὸν νάρθηκα τοῦ ἁγίου Μηνᾶ. Καὶ πάλιν μετασχηματισθεὶς ὁ δαίμων εἰς τὸν μάρτυρα λέγει μοι, ταῦτα πάντα, ἅπερ σοὶ συνέβη ἐκ τοῦ ἀββᾶ Ἡσαΐου σοι συνέβη. Ἔξυπνος δὲ γενόμενος λέγω, ἐπ' ἀληθείας ὁ ἐπιθέτης ἐκεῖνος φαρμακὸς ὑπάρχει καὶ δαίμονας ἀποστείλας κατέκαυσέ μου τὴν οἰκίαν, καὶ σὺν τῷ λόγῳ ἀνέστην τὸ πρωῒ καὶ ἀπῆλθον εἰς τὸν πάπαν Εὐλόγιον [1] καὶ λέγω αὐτῷ. Δέσποτα ἐκδίκησόν με ἐκ τὸν εἰδολολάτρην ἀββᾶν Ἡσαΐαν, αὐτὸς γὰρ χρησάμενος ταῖς αὐτοῦ φαρμακείαις κατέκαυσέ μου τὴν οἰκίαν. Καὶ λέγει ὁ Πατριάρχης πρός με· «Ἄλαλα γενηθήτω τὰ χείλη τὰ δόλια τὰ λαλοῦντα κατὰ τοῦ δικαίου ἀνομίαν» (ψαλμ. λ΄. 19), καὶ σὺν τῷ λόγῳ τοῦ Πάπα [2], εἶδον αἰθίοπα τύπτοντά με ῥάβδῳ πυρίνῃ, καὶ ἐνέδυσέ με θώρακα ἁλυσιδωτόν, καὶ εὐθέως ἔπεσα ἔμπροσθεν τοῦ Πατριάρχου

---

1) Πάντως ἐξ ἀβλεψίας τοῦ ἀντιγραφέως, διότι ὁ πάπας Εὐλόγιος πατριαρχεύσας ἀπὸ τοῦ 580—667 εἶναι κατὰ δύο αἰῶνας μεταγενέστερος τοῦ ἀββᾶ Ἡσαΐου. Μᾶλλον τὸν Τιμόθεον (380—385) δυνάμεθα νὰ παραδεχθῶμεν ἢ καὶ τὸν Θεόφιλον (385—412), οὐδέποτε ὅμως τὸν Εὐλόγιον, ἐκτὸς ἐὰν παραδεχθῶμεν ἐν τῷ Ζ' αἰῶνι ἕτερον ἀββᾶν Μακάριον καὶ Ἡσαΐαν παραδόξως καὶ τὸν μαθητὴν αὐτοῦ καλούμενον Πέτρον, καὶ τότε θὰ ἔχωμεν, Ἡσαΐαν τοῦ δ' αἰῶνος, δεύτερον τὸν μονοφυσίτην, καὶ τρίτον τὸν ἐπ' Εὐλογίου κατὰ τὸν ζ' αἰῶνα, ὅπερ ἀδύνατον·

2) Ὁ ἐπίσκοπος Ἀλεξανδρείας ἔφερε κατ' ἐξοχὴν τὸν τίτλον τοῦ Πάπα εἰς ὃν μετεγενεστέρως προσετέθη καὶ ὁ τοῦ Πατριάρχου.... Κατὰ τὰ σωζόμενα μνη-

καὶ ἀφρίζων παιδευόμενος. Τότε ὁ Πατριάρχης ἐκτείνας αὐτοῦ τὴν χεῖρα ἐσφράγισέ μου τὸ στόμα, καὶ ὁ μὲν δεσμὸς τῆς γλώσσης ἐλύθη ἔμεινα δὲ δεκαεπτὰ μῆνας ὑπὸ ζυγῷ τοῦ βελίαρ παιδευόμενος, καὶ ἐλεεινὸν θέαμα πᾶσι φαινόμενος, ὥστε με πέδαις καὶ ἁλύσεσι δεσμεῖσθαι. Κατέκοπτον γὰρ ἐμαυτὸν καὶ πάντας τοὺς παρόντας, ἤσθιον δὲ καὶ κόπρον ἀνθρωπίνην. Οἱ δὲ φιλόχριστοι ἐλεοῦντές με ἐνέδυον ἱμάτιον, ἐπελαζόμην, γὰρ γυμνός, κατέκοπτόν μου τὰς σάρκας καὶ τὰ ἱμάτια, ἐμαυτὸν κολαφίζων, καὶ τοὺς παριόντας κροταφίζων. Τὸ δὲ σῶμά μου ἐκ τῆς βίας, καὶ τῆς κόπρου, καὶ τοῦ βορβόρου, οὗπερ κυλιόμενος ἐκοιμώμην —οὐκ ἦν ὁ περιποιούμενός με— ψωριάσας, γέγονα ὥσπερ ἐλεφαντιασάμενος.

Τότε οἱ τῆς Ἀλεξανδρείας φιλόχριστοι θεασάμενοι τινὰς τῶν πατέρων τῆς Σκήτεως ἤγαγον πρός με, καὶ ἰδόντες με οὐκ ἐγνώρισάν με, ἀλλ' ἔλεγον οἱ φιλόχριστοι οὗτός ἐστιν ὁ υἱὸς Προκοπίου, ὅστις ἦν μονάσας παρὰ τῷ ἀββᾷ Ἡσαΐᾳ· καὶ λέγουσιν πρὸς αὐτοὺς οἱ πατέρες, ποιήσατε ἀγάπην, φέρετε αὐτὸν εἰς Σκῆτιν, καὶ οἱ φιλόχριστοι εὑρόντες καμηλάριον δεδώκασιν αὐτῷ νόμισμα ἕνα καὶ δήσαντές μου χεῖρας καὶ πόδας ἀπήγαγόν με εἰς Σκῆτιν [1] καὶ συναχθέντες οἱ τῆς Σκήτεως πατέ-

μεῖα πρῶτος ὁ ἐπίσκοπος Ἀλεξανδρείας Ἡρακλᾶς καλεῖται Πάπας ὑπὸ τοῦ διαδόχου αὐτοῦ **Διονυσίου (247—265), παρ' Εὐσεβίῳ (ἐκκλ. ἱστορ. ζ'. 7).** Ἀπὸ τοῦ Δ' αἰῶνος καὶ ἑξῆς φαίνεται ἐπικρατῶν ὁ τίτλος τοῦ Πάπα. (Θεοδωρ. ἐκκλ. ἱστορ. α. 4). Χρυσοσ. Παπαδοπούλου «Πρῶται ἡμέραι τῆς Ἐκκλ. Ἀλεξανδρείας σελ. ιζ' ἐν ὑποσημ. Ἀλεξάνδρεια 1909.

1) Τὸν ἐξ Ἀλεξανδρείας ἀναχωροῦντα διὰ τὴν Νιτρίαν ἦγον τρεῖς ὁδοί: Ἡ πρώτη κατ' ἀρχὰς διήρχετο τὴν λίμνην Μαρεώτιδα, μεθ' ὃ τὴν κοιλάδα ἐν τῷ μέσῳ κρυσταλλωμάτων ἐκ νίτρου καὶ ὑλῶν ἐξ ἅλατος μέχρι τοῦ ὄρους Νιτρίας ἔνθα ἦτο τὸ κέντρον τῶν μοναστικῶν ἱδρυμάτων. Ἀλλ' ἡ λίμνη ὑποκειμένη εἰς τοὺς ἀνέμους καὶ ταραττομένη ἐνίοτε ὡς ἡ θάλασσα ἦτο ἐπικίνδυνος, πολλάκις δὲ αἱ χαράδραι τῆς κοιλάδος καθίσταντο ἀδιάβατοι. Ἡ δευτέρα διηυθύνετο πρὸς δυσμὰς μεταξὺ τῆς θαλάσσης καὶ τῆς λίμνης Μαρεώτιδος μέχρι τῆς ἐσχατιᾶς αὐτῆς μεθ' ὃ στρεφομένη πρὸς μεσημβρίαν ἀνήρχετο διὰ τῶν ἄμμων τὸ πρόχωμα, ὅπερ ἐχώριζε τὴν κοιλάδα τῆς Νιτρίας τῆς τοῦ Ἀνύδρου ποταμοῦ, βραχίονος, ὡς φαίνεται, τοῦ Νείλου, καὶ φέρει εἰσέτι παρὰ τοῖς Ἄραψι τὸ ὄνομα Ἄνυδρος ποταμός. Ἡ τολμηρὰ Μελάνη ἠθέλησε νὰ ἀκολουθήσῃ αὐτὴν κατὰ τὴν εἰς Αἴγυπτον πορείαν αὐτῆς, ἀλλ' ὀλίγου δεῖν ν' ἀπαχθῇ μετὰ τοῦ Ρουφίνου ὑπὸ στίφους Ἀράβων ἐνεδρευόντων ἐκεῖ που παρὰ τὴν θάλασσαν, καὶ μόλις ἐσώθη, χάρις εἰς τὴν ταχύτητα τοῦ ἵππου αὐτῆς. Ἡ τρίτη ὁδὸς ἀνήρχετο τὸν Νεῖλον μέχρι τῆς Μέμφιδος ἢ Ἀρσινόης καὶ εἰσήρχετο ἐκεῖθεν εἰς τὴν μίαν ἢ τὴν ἄλλην κοιλάδα, καταλαμβάνουσα αὐτὴν τὴν ἀρχὴν αὐτῶν· ἀλλ' ὁ λαμβάνων αὐτὴν ἀπήντα πρὸς τὸ μέρος τῆς Νιτρίας συστάδας ὑδάτων βαθέων λείψανα τῶν πλημμυρῶν τοῦ Νείλου, ὑπὸ δὲ τὰ ἀθροίσματα τῶν βρυλλῶν ἐκοιμῶντο κροκόδειλοι. Ἡ Μελάνη, ἥτις ἐτόλμησε καὶ διὰ τῆς ὁδοῦ ταύτης νὰ διέλθῃ ὑπέστη πολλὰς δοκι-

ρες ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ, ἐποίησαν ἀγρυπνίαν περὶ ἐμοῦ καὶ ἀλείψαντές με ἔλαιον κατὰ παντὸς τοῦ σώματος τὸν μὲν δαίμονα ἐφυγάδευσαν ἐξ ἐμοῦ, ἔμεινα δὲ τιμωρούμενος ἐκ τῶν τραυμάτων καὶ τῆς ψώρας. Ἐγὼ δὲ ὁ ταπεινὸς καὶ ἁμαρτωλός, ὁ ἄθλιος καὶ ταλαίπωρος, καὶ παντὸς ἴχνους μοναχικοῦ κατώτερος πάντα τὰ συμβάντα μου λεπτομερῶς ἐξαγγείλας καὶ πᾶσι διηγησάμενος, παρεκάλουν αὐτοῖς, ὅπως ποιήσωσιν ἔλεος εἰς τὴν ταπεινὴν καὶ ἐπώδυνον ψηχήν μου, καὶ παρακαλέσωσσι τὸν γέροντα ὅπως ἐλεήσῃ καὶ δέξηται μου τὴν μετάνοιαν, καὶ μὴ ἐάσῃ με πάλιν ὑπὸ τοῦ δαίμονος πειρασθῆναι. Οἱ δὲ πατέρες ἀπελθόντες ἤγαγον πρός με Πέτρον τὸν συμμαθητήν μου, καὶ ἰδών με κείμενον καὶ τὸ σῶμά μου σεσηπὸς ἐκ τῆς ψώρας καὶ τῶν τραυμάτων—οἱ γὰρ πατέρες θέλοντες πρὸς οἶκτον καὶ κατάνυξιν κάμψαι τὸν γέροντα, ἐξέδυσάν με τὸ ἱμάτιον, ὅπερ ἤμην ἐνδεδυμένος καὶ γυμνόν με ἐπὶ ψιαθία ἔθηκαν—καὶ ἔρριψεν ἑαυτὸν ὁ ἀββᾶς Πέτρος ἐπάνω μου καὶ οὐκ ἦν ἀναχαιτισμὸς τὸν δακρύων αὐτοῦ, ἐγὼ δὲ ὁ χθαμαλὸς ἤμην ἀπαρρησίαστος, αἰσχυνόμενος ἀτενίσαι εἰς αὐτόν, αὐτὸς δὲ κλαύσας ἱκανῶς ἀνέστη, καὶ λαβών τινας τῶν Πατέρων ἀπελθόντες ἤγαγον τὸν γέροντα· ἐγὼ δὲ ἰδὼν τὸν γέροντα ἔκραξα λέγων, ἐλέησόν με δοῦλε τοῦ Θεοῦ τὸν ὑπὸ δαιμόνων πλανηθέντα, καὶ μὴ ἐάσῃς τελείαν χαρὰν τοῦ ψυχοφθόρου ἐχθροῦ, ἱκανῶς γὰρ ἐπαιδεύθην καὶ πρεπόντως ἐκολάσθην. Ὁ δὲ γέρων κλαύσας ἱκανῶς λέγει μοι, ἔγνως τέκνον ὅτι παίδευσις ὑπερηφάνων πτῶμα [1]; ἐγὼ δὲ εἶπον, ἔγνων, τίμιε πάτερ, ἐξ ὧνπερ συνέβη μοι καὶ ἔμαθον ἀφ' ὧν ἔπαθον, καὶ πέπεισμαι ὅτι δικαιοκρίτης ἐστὶν ὁ Θεὸς ἀποδιδοὺς ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ (Ρωμ. β. 6)· καὶ σφραγίσας με τῷ τύπῳ τοῦ σταυροῦ λέγει: ὁ Θεὸς ὁ πάσης κτίσεως δημιουργὸς συγχωρήσῃ σοι τὰ παρελθόντα, καὶ διορθώσηται τὰ μέλλοντα. Καί βαστάσαντές με εἰς θρονίον ἀπήγαγόν με εἰς τὸ κελλίον, καὶ ποιήσας ὀλίγας ἡμέρας χάριτι Χριστοῦ ἐρρώσθην· καὶ ἐπληρώθη εἰς ἐμὲ τὸ προφητικὸν λόγιον τὸ φάσκον «ἐν κημῷ καὶ χαλινῷ ἄγξῃς τὸν μὴ ἐγγίζοντα πρὸς σὲ» (ψαλμ. λα'. 9)· καὶ πάλιν «πολλαὶ αἱ μάστιγες τοῦ ἁμαρτωλοῦ» (Ψαλμ. αὐτόθ. 10). Συνει-

---

μεῖα πρῶτος ὁ ἐπίσκοπος Ἀλεξανδρείας Ἡρακλᾶς καλεῖται Πάπας ὑπὸ τοῦ διαδόχου αὐτοῦ Διονυσίου (247—265) παρ' Εὐσεβίῳ (ἐκκλ. ἱστορ. ζ' 7). Ἀπὸ τοῦ μασίας». (Ἀμεδ. Θιερρῆ ὁ ἅγ. Ἱερώνυμος μετάφρ. Ν. Σταματιάδου σελ. 192. Σάμος 1893).

1) Κλῖμαξ Ἰωάν. λόγ. κβ', ι'.

2) Ἐκ διηγήματός τινος ἀνεκδότου τοῦ κώδικος 113ου φύλ. 184α. Πατριαρ. συλλογῆς βλέπομεν ὅτι ὁ Πιόνιος ἦτο μαθητὴς τοῦ ἀββᾶ Λογγίνου· «Τότε λέγει ὁ γέρων (ὁ ἀββᾶς Λογγῖνος) τῷ ἀββᾷ Πιονίῳ τῷ μαθητῇ αὐτοῦ, λάβε σου τὸ

δότες οὖν οἱ Πατέρες τῆς Σκήτεως πάντα τὰ συμβάντα μοι ἄξια εἶναι γραφῆς, καὶ προσκαλεσάμενοι Πιώνιον[2] εὐφυῆ καλλιγράφον, ἐκέλευσάν με ἀκριβῶς καὶ λεπτομερῶς διηγήσασθαι. Ὁ δὲ καλλιγράφος γράψας παρέθηκεν αὐτὰ ἐν τῷ πρώτῳ βιβλίῳ, ἐν ᾧ ἐπιγέγραπται «περὶ φαντασίας δαιμόνων» (Κῶδ. 113 πατριαρχ. συλλογῆς 194β).

Ἐκτὸς τοῦ Πέτρου καὶ Ἐλισσαίου καὶ ἄλλοι προσῆλθον ὡς μαθηταί, ἵνα μένωσι παρὰ τῷ ἀββᾷ Ἡσαΐᾳ· τοῦτο πιστοῦται ἐκ τῆς ἐπιγραφῆς τοῦ πρώτου λόγου «Ἐντολαὶ τοῖς ἀδελφοῖς τοῖς μετ' αὐτοῦ», ἀλλὰ καὶ ἐκ τοῦ ἀββᾷ Βαρσανουφίου λέγοντος, ὅτι χιλιάδες νομισμάτων ἐδόθησαν τῷ ἀββᾷ Ἡσαΐᾳ, ἴσως ἐκ τῶν ὑποτακτικῶν αὐτοῦ, πρὸς τὸ διαμοιράσαι αὐτά[1].

Κεκοσμημένου ὄντος ταῖς ἀρεταῖς τοῦ ἀββᾶ Ἡσαΐου καὶ ἔχοντος τὸ χάρισμα τοῦ λόγου, προσήρχοντο παρ' αὐτῷ οἱ μοναχοὶ συμβουλευόμενοι αὐτόν· τοῦτο εἴδομεν ἐν τῷ διηγήματι τοῦ ἀββᾶ Ἐλισσαίου, ἀλλὰ καὶ ἐκ τοῦ ἑπομένου διηγήματος πληροφορούμεθα περὶ τούτου.

«Ἀδελφὸς ἦλθε πρὸς τὸν μέγαν[2] Ἡσαΐαν καὶ λέγει αὐτῷ, εὖξαι ὑπὲρ ἐμοῦ ἀββᾶ ὅτι ὑποστρέφω εἰς τὸν κόσμον· ὁ γὰρ ἀββᾶς μου ὑβρίζει με πᾶσαν ὥραν λέγων, διάβολε, σατανᾶ, ἀντικείμενε, ἀντίχριστε καὶ ἰδοὺ ὑπάγω εἰς τὸν κόσμον. Καὶ λέγει αὐτῷ ὁ γέρων· ἆρα τέκνον, μὴ καὶ ἀλήθειαν λέγει; Ὁ Χριστὸς καὶ Θεὸς ἡμῶν, πολυωνύμως ὀνομάζεται, Θεὸς καὶ Κύριος, καὶ ἀγαθὸς καὶ ἐλεήμων, καὶ παντοκράτωρ καὶ παντοδύναμος· Θεὸς λέγεται, ὅτι θεωρεῖ τὰ πάντα, Κύριος λέγεται, ὅτι τὰ πάντα κυριεύει, Παντοκράτωρ λέγεται ὅτι τὰ πάντα κρατεῖ· οὕτω καὶ ὁ βελίαρ πολυωνύμως ὀνομάζεται, διάβολος, σατανᾶς, ἀντικείμενος, πονηρός, ἀντίχριστος. Ὡσαύτως καὶ ὁ ἄνθρωπος ὁ ποιῶν τὸ ἀγαθὸν ἀγαθὸς ὀνομάζεται, ὁ γὰρ διαβάλλων ἄνθρωπον εἰς ἕτερον αὐτοῦ διάβολος ὀνομάζεται, καὶ ἀντιλέγων καὶ ταράσσων τοὺς ἀδελφοὺς σατανᾶς ἐστι, καὶ ὁ ἀντιλέγων τῷ μείζονι ἀδελφῷ, καὶ τῷ ἡγουμένῳ ἀντικείμενος λέγεται, καὶ ὁ πονηρὸς πονηρόφρων λέγεται, καὶ ὁ κακὸς

---

πικτίδιον καὶ σημείωσαι τὰ ὑπὸ τοῦ ἀκαθάρτου δαίμονος λεγόμενα». Ἡ ἀρχὴ τοῦ διηγήματος: «Διηγήσατο ἡμῖν ὁ ἀββᾶς Πίωρ, ὄντος μου νεωτέρου παρεβάλλομεν ἐγὼ καὶ ὁ ἀββᾶς μου πρὸς τὸν σημειοφόρον Λογγῖνον» περὶ οὗ ὅρα ἐν τοῖς Ἀποφθέγμασι τῶν Πατέρων. σ. 256.

1) «Ἀδελφέ, πάνυ ὀλίγα εἰσὶ τὰ σά, πρὸς ἃ ἐδόθη τῷ ἀββᾷ Ἡσαΐᾳ παρά τινων· χιλιάδας γὰρ νομισμάτων ἐδίδουν αὐτῷ λέγοντες: διοίκησον αὐτὰ ὡς γινώσκεις· μὴ λέγοντες ποῦ ἢ πῶς» (Ἀπόκρισ. σνα, σελ. 137.

2) «Μέγαν» ὀνομάζει τὸν ἀββᾶν Ἡσαΐαν, καὶ τροπάριόν τι Θεοδώρ. τοῦ Στουδίτου ἐν τῇ γ' ᾠδῇ τοῦ κανόνος τοῦ Σαββάτου τῆς Τυρινῆς, ἐν τῷ Τριῳδίῳ, ὅτε ἑορτάζεται μετὰ τῶν λοιπῶν ὁσίων.

κακοενθύμης ὀνομάζεται, καὶ ὁ ἄχρηστος καὶ κατακρίνων ἀντίχριστος λέγεται, καὶ ὁ ἁμαρτάνων ἁμαρτωλὸς «πᾶς γὰρ ὁ ποιῶν τὴν ἁμαρτίαν, δοῦλός ἐστι τῆς ἁμαρτίας» (Ἰωάν. η΄. 35). Ἐὰν γὰρ καὶ σύ, τέκνον, τὰ ἔργα τοῦ διαβόλου ποιῇς, μηδὲν λυποῦ ἀκούων, διάβολος, καὶ σατανᾶς καὶ ἀντικείμενος. Οὕτω καὶ ὁ Κύριος καὶ Θεὸς ἡμῶν Ἰουδαίοις ἔλεγεν: Ὑμεῖς υἱοὶ τοῦ διαβόλου ἐστὲ (αὐτόθι 44). Στενάξας δὲ ὁ ἀδελφὸς λέγει, ἐπ' ἀληθείας ἀββᾶ καὶ διάβολος, καὶ σατανᾶς, καὶ ἀντίχριστος, καὶ ἀντικείμενος, καὶ πονηρὸς καὶ ἁμαρτωλός, καὶ κακοενθύμης, καὶ ἀντιλέγων ἐγώ εἰμι ὁ ἁμαρτωλὸς καὶ ταλαίπωρος· ἀλλὰ ἀπελθὼν προσπέσω, καὶ κλαύσας θρηνήσω, καὶ αἰτήσω συγχώρησιν ἐπὶ τῷ πεφαυλισμένῳ χρόνῳ τῆς ζωῆς μου, ὅτι πονηρὸς καὶ ἀκάθαρτος γέγονα, ἐχθρὸς τοῦ Θεοῦ καὶ ἐργάτης τοῦ διαβόλου καὶ ἐπίβουλος τῆς ἐμῆς ζωῆς, εὐτράπελος, καὶ πλοκολόγος, ψιθυριστὴς καὶ φλύαρος, πρόθυμος εἰς ἀργολογίαν καὶ ὀκνηρὸς εἰς προσευχήν, ὀργίλος καὶ ὀξύθυμος, κατάλαλος καὶ βαττολόγος, γελωτοποιὸς καὶ φθονερός, γαστρίμαργος καὶ μνησίκακος· ἀλλ' εὐχαριστῶ τῷ Θεῷ, ὅτι διὰ τῶν ὀρθῶν λόγων σου ἐσώθη μου ἡ ψυχή. Καὶ ἔτι αὐτοῦ ἐξομολογουμένου ἔπταρεν καὶ ἐξῆλθεν ἐκ τοῦ στόματος αὐτοῦ καπνός, καὶ γέγονε λαῖλαψ καὶ ἔκλασε πάντα τὰ σκεύη τὰ ἐν τῷ κελλίῳ, καὶ ἐφάνη ὡς αἰθίωψ μικρὸς πυρόφθαλμος, ἐξερχόμενος τῇ θύρᾳ κράζων καὶ λέγων, ἐγώ εἰμι ὁ δαίμων τοῦ τύφου[1]. Καὶ ἀδελφὸς παρεκάλει τὸν γέροντα περὶ λόγου σωτηρίας, καὶ ἀποκριθεὶς ὁ γέρων λέγει αὐτῷ: εἰ θέλεις ἐξακολουθῆσαι τῷ Κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ φύλαττε τὸν λόγον αὐτοῦ, καὶ τὸν παλαιόν σου ἄνθρωπον θέλησον συγκρεμασθῆναι αὐτῷ, τοὺς καταφέροντάς σε ἀπὸ τοῦ σταυροῦ ἐκκόψαι ὀφείλεις ἕως οὗ ἀποθάνῃς καὶ ὀφείλεις ἑτοιμάσαι ἑαυτὸν εἰς τὸ φέρειν ἐξουδένωσιν, καὶ εἰς τὸ ἀναπαῦσαι τὴν καρδίαν τῶν κακοποιούντων σε, καὶ ταπεινῶσαι ἑαυτὸν τοῖς θέλουσί σε καταδυναστεῦσαι, καὶ τὸ σιωπὴν ἔχειν τοῦ στόματος καὶ τὸ μὴ κρίνειν τινὰ ἐν τῇ καρδίᾳ σου[2]. Ἐὰν γὰρ ἔλθῃ σοι λογισμὸς τοῦ κρίνειν τὸν πλησίον ἐπί τινα ἁμαρτήματα, πρῶτον λογίζου καθ' ἑαυτὸν ὅτι πλέον αὐτοῦ ἁμαρτωλὸς ὑπάρχεις, καὶ ἃ νομίζεις πράττειν καλὰ μὴ πιστεύσῃς ὅτι ἤρεσαν τῷ Θεῷ, καὶ οὐ τολμήσῃς κρίνειν τὸν πλησίον[3]. Τὸ γὰρ ἀγαπᾶν τὴν δόξαν τῶν ἀνθρώπων τί-

---

1) «Ἤγουν ἀλαζονεία, ἔπαρσις, κενοδοξία, ἡ μητέρα τῆς ὑπερηφανίας». Καὶ ἐνταῦθα περατοῦται ἡ «ἀπόκρισις πρὸς τὸν ἀδελφὸν» κατὰ τὸν 276ον Σαβαϊτικὸν κώδικα, ὅστις δοκεῖ ὀρθότερος, διότι τὰ ἑπόμενα εἶναι ἀποσπάσματα ἐκ διαφόρων λόγων τοῦ ἀββᾶ Ἡσαΐου.

2) Λόγ. κϛ΄. σελ. 182.

3) Αὐτόθι σελ. 185.

κτει τὸ ψεῦδος, τὸ δὲ ἀναστρέψαι αὐτὸν ἐν ταπεινώσει ποιεῖ τὸν φόβον τοῦ Θεοῦ μείζονα ἐν τῇ καρδίᾳ· μὴ θελήσῃς οὖν φίλος γενέσθαι τῶν ἐνδόξων τοῦ κόσμου, ἵνα μὴ ἡ δόξα τοῦ Θεοῦ ἀποβληθῇ ἀπὸ σοῦ [1]. Ἐὰν ποιῇς τὸ ἐργόχειρόν σου μὴ καταφρονήσῃς, ἀλλὰ μερίμνησον αὐτοῦ ἐν φόβῳ Θεοῦ [2]. ..... μὴ κοιμηθῇς ἐπὶ ξένης εἰς τὴν οἰκίαν τινός ἅ [3].... [4] συμβουλίαις ἡμετέραις.... [5] προσμένειν, ἀλλ' ἐξῆλθες δῆθεν ὡς ἠθέλησας καὶ γέγονας ὡς οἱ δαίμονες ἤθελον· κἀγὼ πολλὰ λυπηθεὶς οὐκ ἐβουλόμην σε ἀξιῶσαι λόγου, ἐπειδὴ καὶ ὡς πατὴρ παρεκάλουν σε καὶ ὡς ἀδελφὸν ἐνουθέτων σε καὶ οὐχ ὑπήκουσας. Οὐ κλείονται τὰ σπλάγχνα τῶν ἁγίων· ἀλλ' ὅμως κατελέησά σου τὴν ψυχὴν κινδυνεύουσαν καὶ γεγράφηκά σοι τὰ νῦν. Εἰ οὖν (μὴ) ἐπὶ πλεῖον γέλως γενέσθαι τῶν δαιμόνων, ἔξελθε τοῦ χωρίου ὑποστρόφως καὶ πορεύθητι εἰς μοναστήριον, εἰ δὲ καὶ τανῦν παρακούσῃς μου, πολλὰ μεταμεληθήσῃ ἐπ' ἐσχάτων ἀνόνητα». (Κῶδ. Σαβαϊτικ. συλλογῆς 206 φύλ. 181β).

Ἄλλοτε πάλιν ὁ Ἡσαΐας θέλων νὰ ὠφελήσῃ τοὺς ἀδελφοὺς« Ἔλαβε θαλλίον (=σάκκον) καὶ ἀπῆλθεν εἰς τὴν ἅλωνα, καὶ λέγει τῷ γαιούχῳ δός μοι σῖτον· καὶ λέγει αὐτῷ, καὶ σὺ ἐθέρισας ἀββᾶ; λέγει οὐχί· καὶ λέγει αὐτῷ ὁ γαιοῦχος, πῶς οὖν θέλεις σῖτον λαβεῖν μὴ θερίσας; καὶ λέγει αὐτῷ ὁ γέρων· οὐκοῦν ἐὰν μή τις θερίσῃ, οὐ λαμβάνει μισθόν; λέγει ὁ γαιοῦχος οὐχί· καὶ ἀνεχώρησεν ὁ γέρων. Οἱ δὲ ἀδελφοὶ ἰδόντες τί ἐποίησεν, ἔβαλον αὐτῷ μετάνοιαν παρακαλοῦντες μαθεῖν, τί τοῦτο ἐποίησε· λέγει αὐτοῖς ὁ γέρων, ὑπόδειγμα αὐτὸ ἐποίησα, ὅτι ἐὰν μή τις ἐργάσηται οὐ λαμβάνει μισθὸν παρὰ Θεοῦ». (Ἀποφθέγ. πατέρ. σελ. 181).

Ἐκ τοῦ ἑπομένου διηγήματος, διασωθέντος ὑπὸ τοῦ Παλλαδίου, βλέπομεν τὸ φιλόξενον τοῦ ἀββᾶ Ἡσαΐου πρὸς τοὺς ἀδελφούς, ὁποίαν δὲ ὑπόληψιν εἶχε περὶ τῶν γηΐνων φαίνεται ἐν τῇ παρατηρήσει τοῦ ἀδελφοῦ. «Ὁ ἀββᾶς Ἡσαΐας ἐκάλεσέ τινα τῶν ἀδελφῶν καὶ ἔνιψεν

4) Λόγ. στ' σελ. 43.

1) Ἐντεῦθεν μέχρι τοῦ «μὴ κοιμηθῇς ἐπὶ ξένης» εἶναι τὰ αὐτὰ ὡς τὰ ἐν τῷ γ' λόγῳ, σελ. 9η στίχ. 22ος ἕως τῆς σελ. 14ης στίχ. 4ου. καὶ βλέπει ἐκεῖ τὴν συνέχειαν ὁ ἀναγνώστης, ἵνα μὴ ἀναδημοσιεύσωμεν δὶς τὰ αὐτά.

2) «Ὅπου φοβεῖται ἡ καρδία σου ἁμαρτῆσαι, ἐὰν δὲ καὶ μάθῃς ὅτι δεῖ γυναῖκα φαγεῖν ἐκεῖ, μὴ καθήσῃς τὸ σύνολον, συμφέρει γάρ σε θλῖψαι τὸν καλοῦντά σε ἢ μοιχεῦσαι ἐν τῇ καρδίᾳ σου κρυφίως. Ἕως δὲ ἱματίου γυναικὸς ἐὰν δύνῃ μὴ πρόσχῃς· οὕτω ποίει καὶ σώζου ἐκ τῶν παγίδων τοῦ ἐχθροῦ». Ἐνταῦθα περατοῦται ὁ 655ος Σαβαϊτικὸς κώδιξ·

3) Ἐκ τοῦ Σαβαϊτ. κώδ. 203ου, ἐξ οὗ τὸ διήγημα ὑπάρχει κεκομμένον ἓν φύλλον, τὰ ἑπόμενα δὲ φαίνονται ἄσχετα πρὸς τὰ προηγούμενα,

4) Ἐφθαρμένη ἡ λέξις.

αὐτοῦ τοὺς πόδας[1], καὶ ἔβαλε δράκα φακοῦ[2] εἰς χύτραν, καὶ ὡς ἔβρασε κατήνεγκεν αὐτήν· καὶ λέγει αὐτῷ ὁ ἀδελφός, οὔπω ἑψήθη ἀββᾶ· καὶ λέγει αὐτῷ, οὐκ ἀρκεῖ σοι ὅτι ὅλως εἶδες λαμπρόν; καὶ αὕτη μεγάλη παράκλησις». (Ἀποφθεγ. Πατέρ. σ. 181). (Εὐεργέτην. βιβλ. β. ὑποθ. ις'. σελ. 52)[3].

Ὁ ἀββᾶς Ἡσαΐας δὲν ἀπήρχετο εἰς τὰς τελουμένας τότε ἀγάπας ὑπὸ τῶν μοναχῶν· τοὺς λόγους δι' οὓς ἀπέφευγε ταύτας βλέπομεν εἰς τὸ ἑπόμενον ἀνέκδοτον διήγημα. «Διηγήσατο ἡμῖν ὁ ἀββᾶς Πέτρος ὁ μαθητὴς τοῦ ἀββᾶ Ἡσαΐου ὅτι ἠρώτησα τὸν πατέρα μου τὸν ἀββᾶν Ἡσαΐαν λέγων, διατὶ ἀββᾶ οὐκ ἀπέρχῃ εἰς ἀγάπην ὡς πάντες οἱ πατέρες; καὶ εἶπεν· ἕκαστος, τέκνον, εἶδε ποῦ ὠφελεῖται, καὶ ποῦ βλάπτεται. Καὶ εἶπεν αὐτῷ, Πάτερ ὠφέλησόν με, διατὶ οὐκ ἀπέρχῃ; καὶ εἶπέ μοι. Πέτρε, ὅπου ἀπέλθῃς εἰς ἀγάπην καὶ ἴδῃς οἶνον, φεῦγε ὡς ἀπὸ πυρὸς καὶ ὄφεως· πολλάκις ἐκαθέσθην εἰς ἀγάπην καὶ πιὼν οἶνον ἠρξάμην λαλεῖν μετὰ τῶν γερόντων, καὶ ἀπὸ χριστολογίας εἰς αἰσχρολογίας καὶ καταλαλιὰς ἐφθάσαμεν, καὶ ἀνέστημεν τεταραγμένοι. Καλὸν οὖν τῷ μοναχῷ ἐσθίειν τέφραν, καὶ πίνειν ὕδωρ θαλάσσιον ἐν τῷ κελλίῳ αὐτοῦ καὶ μὴ ἀπέρχεσθαι εἰς ἀγάπας. Ἐὰν γὰρ ἀπέλθῃ, ἐσθίει ἅπερ οὐ θέλει, καὶ πίνει, ἅπερ οὐ βούλεται· πολλάκις λαλεῖ καὶ τὰ μὴ πρέποντα, καὶ ἀκούει τὰ μὴ ὠφελοῦντα, καὶ λυπεῖ καὶ λυπεῖται, καὶ ταράσσει καὶ ταράσσεται. Ὁ γὰρ θέλων τὴν ἀνάπαυσιν τοῦ σώματος, οὐδέποτε λείπει αὐτῷ ἀφορμὴ ἀγάπης, καὶ ὁ συνειθίζων εἰς τὰς ἀγάπας καὶ τὰς μνήμας τῶν ἁγίων, καταφρονεῖ τῆς ἑαυτοῦ ζωῆς, καὶ πολλαῖς ἁμαρτίαις συμπλακήσεται ὁ τοιοῦτος. Ἀπὸ γὰρ οἴνου τίκτονται λογισμοὶ αἰ-

1) Ἐκ τοῦ ἑπομένου κανόνος τοῦ ἁγ. Παχωμίου βλέπομεν ὅτι μόνον τῶν κληρικῶν καὶ μοναχῶν τοὺς πόδας ἔνιπτον. «Ἐὰν γένηταί τινας ἀνθρώπους εἰς τὴν μονὴν εἰσελθεῖν, εἰ μὲν κληρικοὺς ἢ μοναχοὺς ὄντας οὕτως αὐτοὺς ὑποδέξωνται· τοὺς μὲν πόδας αὐτῶν ὑπονίψωσιν, κατὰ τὴν ἐντολὴν τοῦ Εὐαγγελίου, καὶ τὴν φιλοξενίαν εἰς αὐτοὺς ποιήσουσιν· ὁμοίως κοσμικοὺς καταχθέντας εἰς τὴν μονήν, καὶ πρὸς αὐτοὺς τὴν φιλοξενίαν δεόντως ποιήσουσιν», (καν. ιη' Πατρολ. τ' 40 σελ. 942.

2) Ἡ φακῆ, ὡς φαίνεται ἐκ τῶν ἑπομένων καὶ ἐξ ἄλλων προετιμᾶτο ὑπὸ τῶν ἐρημιτῶν πατέρων ἐν ταῖς φιλοξενίαις τῶν ἀδελφῶν· «Παρέβαλέ τις τῶν γερόντων ἑτέρῳ γέροντι, καὶ εἶπε τῷ μαθητῇ αὐτοῦ· ποίησον ἡμῖν μικρὸν φακόν» (Σιναϊτ. μεμβρ. κῶδ. 448 φύλ. 178α.

3) Ἰωάννης ὁ Γεωμέτρης, ἀκμάσας περὶ τὰς ἀρχὰς τοῦ Ι' αἰῶνος, ἀποδίδει τοῦτο τῷ ἀββᾷ Ἀγάθωνι ἐν τῷ ἑξῆς τετραστίχῳ:

Ξεῖνον ἔδεκτ' Ἀγάθων, χύτρῃ δέ τις ἔμβαλε φακόν,
Καὶ παρέθηκε γέρων. Φῆ δ' ὁ φίλος γελόων·
Ὄμφακες οἱ φακοί εἰσιν. Ὁ δ' ἴαχεν· οὐκ ἄρα τοῦτο
Ἄρκιον ἐσθ' ὅτι πῦρ ἔδρακες εἰς τὸν Ἄθω; Πατ. τ. 106 σ. 877.

σχροί, καὶ ἀπὸ λογισμῶν περιβλέψεις, καὶ ἀπὸ περιβλέψεων ἀκηδία, καὶ ἀπὸ ἀκηδίας ἀργολογία, καὶ ἀπὸ ἀργολογίας καταλαλιά, καὶ ἀπὸ καταλαλιᾶς ἀμέλεια, καὶ ἀπὸ ἀμελείας πόθος ἱερωσύνης, καὶ ἀπὸ ἱερωσύνης γαστριμαργία, καὶ ἀπὸ γαστριμαργίας πορνεία, καὶ ἀπὸ πορνείας εἰρωνεία. Καὶ λέγω αὐτῷ, ἀββᾶ τί ἐστιν εἰρωνεία; καὶ λέγει μοι εἰρωνεία ἐστίν, ὅταν χλευάζῃ καὶ ἐπιγελᾷ τις ἕτερον αὐτοῦ, ἀντὶ τοῦ δεῖξαι φανερῶς ὅτι ψέγει αὐτὸν δοκεῖ τοῖς λόγοις ἐπαινεῖν· ὁ δὲ ἔχων εἰρωνείαν, πονηρόφρων καὶ κακονθύμης, ἡ γὰρ εἰρωνεία οὐκ ἀφίησιν αὐτὸν μετά τινος τελείαν ἀγάπην κτήσασθαι», (Κωδ. Πατριαρχ. συλλογῆς φύλ. 67α).

Ὁ ἀββᾶς Ἡσαΐας διὰ τοὺς ἀγῶνας καὶ τὰς ἀρετὰς αὐτοῦ συγκατηριθμεῖτο μεταξὺ τῶν μεγάλων τῆς ἐρήμου Πατέρων ὡς ἐξάγεται ἐκ τῶν ἑπομένων. «Ἔλεγον περὶ τῶν Πατέρων, τοῦ ἀββᾶ Παμβῷ, καὶ τοῦ ἀββᾶ Βησσαρίωνος, καὶ τοῦ ἀββᾶ Ἡσαΐου, καὶ τοῦ ἀββᾶ Παϊσίου ὅτι ἦσαν δυνατοὶ σφόδρα, συντυχόντες ἅμα τῷ ἀββᾷ Ἀθρέ τούτους ἠρώτησεν ὁ πρεσβύτερος τοῦ ὄρους τῆς Νιτρίας, πῶς ὀφείλουσιν οἱ ἀδελφοὶ διάγειν; οἱ δὲ εἶπον, ἐν μεγάλῃ ἀσκήσει τηροῦντες τὴν συνείδησιν ἀπὸ τοῦ πλησίον» (κώδ. 137 Πατριαρ. συλλογῆς φύλ. να α αἰῶν. ΙΔ΄). Μετὰ σεβασμοῦ ἀποφαίνεται περὶ αὐτοῦ ὁ Ρουφῖνος (Vita Patrum. τόμ. II κ. 10 σ. 358). Ἐκ τοῦ ἑπομένου διηγήματος τοῦ Παλλαδίου, φαίνεται, ὅτι καὶ τοῦ προορατικοῦ χαρίσματος ἦν ἠξιωμένος. «Ὁ ἀββᾶς Οὖρος [1], καὶ Ἡσαΐας, καὶ ἀββᾶς Παῦλος συνέτυχον ἀλλήλοις ἐξαπίνης ἅμα ἐπὶ τῷ ποταμῷ εὑρεθέντες, ἄνδρες εὐλαβεῖς καὶ ἀσκηταὶ καὶ τὸν μέγαν Ἀνοὺβ [1] ἐπισκεψάμενοι· ἀπεῖχε δὲ ἀπ' αὐτῶν τὸ διάστημα τρεῖς μονάς, καί φασι πρὸς ἀλλήλους· ἐπιδειξάτω ἕκαστος ἡμῶν τὴν αὐτοῦ πολιτείαν, καὶ ὅπως παρὰ Θεοῦ τετίμηται. Ὁ ἀββᾶς Οὖρος πρὸς αὐτοὺς ἔφη· αἰτοῦμαι παρὰ Θεοῦ δῶρον, ἀκαμάτους ἡμᾶς φθάνειν ἐπὶ τοῦ τόπου ἐν δυνάμει Πνεύματος· καὶ μόνον εὐξαμένου τὸ πλοῖον ἕτοιμον εὑρέθη παραχρῆμα, καὶ ἄνεμος ἐπιτήδειος, καὶ ἐν ῥοπῇ εὑρέθησαν ἐπὶ τοῦ ποταμοῦ, ἐλθόντες κατὰ τοῦ ῥεύματος. Ἡσαΐας δὲ πρὸς αὐτούς. Καὶ τί θαυμαστόν, ὦ φίλοι, ἐὰν συναντήσῃ ἡμῖν ὁ ἀνὴρ ἑκάστου τὰς πολιτείας διαγορεύων. Παῦλος δὲ τρίτος πρὸς αὐτοὺς ἀπεκρίνατο· εἰ ἀποκαλύψῃ καὶ ἡμῖν ὁ Θεός, ὅτι μετὰ τρεῖς ἡμέρας ἀναλαμβάνει τὸν ἄνθρωπον. Ὡς δὲ προῆλθον μικρὸν ἔμπροσθεν τοῦ τόπου, ὁ ἀνὴρ αὐτοὺς ἀπαντήσας ἀσπάζεται. Ὁ δὲ Παῦλος φησὶ πρὸς αὐτόν, φράσον ἡμῖν, ἀδελφέ, τὰ σαυτοῦ κατορθώματα, μεθαύριον γὰρ πρὸς τὸν Θεὸν ἀπελεύσῃ· εἶπε δὲ Ἀνοὺβ πρὸς αὐ-

1) Ἐν Ἱεροσολυμιτικῷ κώδικι Ἀνοὺφ, ἐν δὲ Σιναϊτικῷ Παφνούτιος.

τούς, εὐλογητὸς ὁ Θεός, ὁ κἀμοὶ ταῦτα γνωρίσας, καὶ τὴν ὑμετέραν παρουσίαν καὶ πολιτείαν· εἰπὼν οὖν ἑκάστου τὰ κατορθώματα, καὶ τὰς ἑαυτοῦ λοιπὸν ἀρετὰς ἐξηγεῖτο.... (Λαυσ. ἱστορ. κεφ. νε, νστ, νζ).

Ἐκ τῆς ἐπιγραφῆς τοῦ 72ου Σαβαϊτικοῦ κώδικος ΙΒ΄. αἰῶνος φύλ. 53β «τοῦ ἀββᾶ Ἡσαΐου τοῦ ἡσυχαστοῦ καὶ πρεσβυτέρου» καὶ ἐκ τοῦ ὑπ' ἀρ. 28 Παρισινοῦ κώδικος ΙΕ΄. αἰῶν. φύλ. 96ν—110, περιέχοντος ἔργα Ἡσαΐου τοῦ πρεσβυτέρου, ἀνήκοντα πιθανῶς εἰς τὸν ἡγούμενον Ἡσαΐαν τοῦ Δ΄. αἰῶνος, (Κρουμβάχερ. Βυζαντιν. Λογοτεχνία. τ. α΄. σ. 318) βλέπομεν ὅτι ἦτο πρεσβύτερος.

Ἄγνωστον πότε ἀπέθανε, πιθανὸν ὅμως περὶ τὰ τέλη τοῦ Δ΄. αἰῶνος· ἡ μνήμη αὐτοῦ ἐν τῇ ὀρθοδόξῳ Ἐκκλησίᾳ τελεῖται τῷ Σαββάτῳ τῆς Τυρινῆς μετὰ πάντων τῶν Ὁσίων Πατέρων.

Καὶ ταῦτα μὲν τὰ κατὰ τὸν ἀββᾶν Ἡσαΐαν· Περὶ δὲ τῶν σωζομένων κθ΄. λόγων αὐτοῦ, ἐσχάτως ὁ Krüger ἐξήνεγκε τὴν ἰδέαν, ὅτι τὰ ἔργα τὰ ἀποδιδόμενα Ἡσαΐᾳ τοῦ Δ΄. αἰῶνος, δὲν εἶναι ἀμφίβολον νὰ ἔχωσι συγγραφέα τὸν ἐπίσης Αἰγύπτιον ἀσκητὴν Ἡσαΐαν, τὸν ἀποθανόντα ἐγγὺς Γάζης τῇ 11ῃ Αὐγούστου 488, καὶ οὕτω τὰ συγγράμματα ταῦτα μεταβαίνουσιν ἐκ τοῦ Δ΄ εἰς τὸν Ε΄ αἰῶνα. Ἀλλὰ μᾶς εἶναι ἀναπόφευκτον, πρὶν ἢ λύσωμεν τὸ ζήτημα τοῦτο, νὰ μελετήσωμεν τὰ πολυάριθμα ἀσσυριακὰ συγγράμματα, ἅπερ φέρουσι τὸ ὄνομα τοῦ Ἡσαΐου. CKugener Byzant, Zeitsch. 1900. σελ. 385-386). Κατὰ τὸν βιογράφον αὐτοῦ, ὁ Ἡσαΐας ἦν πρῶτον μοναχὸς ἐν Αἰγύπτῳ ἐν τῇ ἐνδοτέρᾳ ἐρήμῳ (Σκήτει), ἐξ αὐτῆς δὲ μετέβη εἰς Ἱερουσαλήμ, διέμενε μετὰ ταῦτα ἐν τῇ ἐρήμῳ Ἐλευθερουπόλεως, καὶ ἀπεσύρθη τέλος ἐγγὺς Γάζης, ἔνθα ἵδρυσε μοναστήριον, καὶ ἐνεκλείσθη ἐν οἰκίᾳ χωρὶς νὰ βλέπῃ ἄλλον, πλὴν Πέτρου ἀρχηγοῦ τῶν μαθητῶν αὐτοῦ. Ἅπασαι λοιπὸν αἱ ἀπαντήσεις τοῦ Ἡσαΐου μετωχετεύοντο διὰ στόματος τοῦ Πέτρου. Ἐν τῷ αὐτῷ ἀσσυριακῷ χειρογράφῳ βραχύ τι ἀνέκδοτον δείκνυσιν, ὅτι Ἡσαΐας ὁ ἀσκητὴς δὲν ἀντέκειτο εἰς τὴν ἐν Χαλκηδόνι σύνοδον, εἰ καὶ ὁ μαθητὴς αὐτοῦ Πέτρος ἦν ἐναντίον αὐτῆς[1]. Ἡ πληροφορία ὅτι δὲν ἀντέκειτο τῇ ἐν Χαλκηδόνι συνόδῳ ὁ Ἡσαΐας δὲν ἔχεται ἀληθείας, διότι Σωφρόνιος ὁ Ἱεροσολύμων († 641) ἐν τῇ κατὰ τοῦ μονοθελητισμοῦ συνοδικῇ αὐτοῦ ἐπιστολῇ λέγει: «Πέτρος..... τὸ Ἰβηρικὸν καὶ φρενοβάρβαρον μίασμα, Ἡσαΐας ὁ τοῦ παρόντος Πέτρου συνόμιλος, οἱ ἄλλην ἀκέφαλον ἐν Ἀκεφάλοις κατα-

---

1) Land, Anecd. Syr. τ. γ΄. σ. 346—356, μετάφρ. εἰς τὴν Γερμανικὴν ὑπὸ τοῦ Krüger καὶ Ahrens: Die Sogenannte Kirchenges. d. Zach. rhetor. Leipzig 1899, σελ. 263—274, καὶ Kügener Byzant. Zeitsch. 1900. σ. 466.

δείξαντες αἵρεσιν.» (Πατρ. τ. 87. μέρος γ'. σ. 3192—3193). Καὶ κατωτέρω ἀναθεματίζων τὰς αἱρέσεις συμπεριλαμβάνει τὴν τῶν Εὐτυχιτῶν, Ἀκεφάλων, Ουερσουνουφιτικῶν, Ἡσαϊανῶν. Ὅτι δὲ τὰ σωζόμενα ἔργα ἀνήκουσι τῷ ἐν Δ'. αἰῶνι ἀκμάσαντι ἐξάγεται ἐκ τῶν ἑξῆς: «Ἀποδέχομαι κανονικῶς.... καὶ τὰ συγγράμματα, καὶ τοὺς βίους τῶν ἀσκητῶν· Τοῦτο φημὶ περὶ τοῦ φρενοβλαβοῦς Παμφίλου, ἐλθόντος ἀπὸ Ἀνατολῆς ἐνθάδε, καὶ κακῶς καὶ ψευδῶς συκοφαντήσαντος τοὺς ἐφεξῆς ἁγίους Πατέρας, Μᾶρκον, φημί, Ἡσαΐαν, Βαρσανούφιον, Δωρόθεον καὶ Ἡσύχιον· οὐχ ὅμως Βαρσανούφιον, ***Ἡσαΐαν,*** καὶ Δωρόθεον τοὺς ἀκεφάλους μετὰ τῶν Ἀκεφάλων, καὶ τοὺς δεκακεράτους, ἀλλ' ἑτέρους συνωνύμους ὀρθοδόξους, οὓς ἐγὼ πατροπαραδότως ἀποδέχομαι, βεβαιωθεὶς ὑπὸ τῆς πληροφορίας τοῦ ἁγιωτάτου Πατριάρχου Ταρασίου... καὶ ἑτέρων ἀξιοπίστων προσώπων, οὐ μόνον ἐξ ἐκείνων τῶν πόλεων, ἀλλὰ καὶ ἐξ ἀνατολῶν, ὡς τοσοῦτον συνιστῶνται οἱ ῥηθέντες ὑπὸ τῶν ἀνωτέρω ἁγίων ἀνδρῶν, ὥστε συγκατατάττεσθαι ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ τὰς εἰκόνας αὐτῶν τῶν συκοφαντηθέντων, ἐν τῷ χορῷ μετὰ τῶν ἁγίων εἰκόνων τῶν ἁγίων Πατέρων, μεγάλου, φημί, Ἐφραὶμ καὶ πάντων τῶν λοιπῶν, ὧν ἐν ταῖς διδασκαλίαις οὐχ εὑρέθη ἀσεβές τι ἢ ἔκνομον ἢ ἀκανόνιστον». (Πατρ. τ. 99. σελ. 1816). Τελευταῖον ἀναφέρομεν τὴν κρίσιν Ἰωάννου Πατριάρχου Ἀντιοχείας (ΙΑ'αἰών), ὅστις ἀπαριθμῶν τὰ συγγραφέντα βιβλία τῶν Πατέρων τῆς Σκήτεως, ἀναφέρει σὺν αὐτοῖς καὶ τὸ βιβλίον τοῦ ἁγίου Ἡσαΐου [1].

Κατὰ τὰς ἀνωτέρω πληροφορίας Ἡσαΐας ὁ τοῦ Ε'. αἰῶνος ἦν μονοφυσίτης, οἱ δὲ σωζόμενοι ΚΘ'. λόγοι, δὲν ἀνήκουσιν αὐτῷ, ἀλλὰ Ἡσαΐᾳ τοῦ Δ'. αἰῶνος. Διότι πῶς εἶνε δυνατὸν μεγάλοι ἄνδρες τῆς Ἐκκλησίας, ὡς Ἰωάννης ὁ Δαμασκηνός, Βαρσανούφιος, Γρηγόριος ὁ Σιναΐτης, Παῦλος ὁ Εὐεργετηνός, καὶ πολλοὶ ἄλλοι νὰ παραθέτωσιν ὁλόκληρα τεμάχια ἐν τοῖς συγγράμμασιν αὐτῶν ἐξ ἔργου ἀνδρὸς μονοφυσίτου;

Πλὴν τῶν ΚΘ'. λόγων διεσώθησαν ἐν λατινικῇ μεταφράσει (Πατρολογία λατιν. τ. 103, σελ. 417—434), 68 κανόνες πρὸς ἀρχαρίους μοναχοὺς ληφθέντες ἐκ τοῦ γ'. δ'. καὶ θ'. λόγου.

Μικρὸν πονημάτιον μετ' ἐπιγραφῆς «Συμβουλαὶ τοῦ ἀββᾶ Ἡσαΐου πρὸς Θεοδώραν μοναχὴν καὶ τὰς ἐν Χριστῷ ἀδελφὰς αὐτῆς» [1], μεταφρασθὲν εἰς τὴν καθομιλουμένην ὑπὸ Νικηφόρου τοῦ Χίου, ἐξεδόθη (ἐν Ἑρμουπόλει 1885) ὑπὸ Χριστοφόρου Ἀρχιμανδρίτου.

---

1) Τὸ περιοδικὸν σύγγραμμα «Κυριακὴ ἀνάγνωσις» ἐν ῥωσσικῇ μεταφράσει (1856—1858), φέρει ἐπιγραφήν: «Πρὸς τὸν μακάριον Θεόδωρον Ἀποφθέγματα τοῦ ἀββᾶ Ἡσαΐου περὶ τῶν ἁγίων γυναικῶν» (Ἱστορ. διδασκαλία, τ. β' σ. 350).

Ἐν τῇ Πατρολογίᾳ τ. 40. σ. 1205, εὑρίσκονται τοῦ αὐτοῦ ιθ'. κεφάλαια ἐπιγραφόμενα: «Περὶ ἀσκήσεως καὶ ἡσυχίας», ἅτινα ἐλήφθησαν ἐκ τῶν κθ'. αὐτοῦ λόγων, καθὼς καὶ τὰ ἐν τῇ Φιλοκαλίᾳ (τόμ. α' σ. 17) «Περὶ τηρήσεως νοὸς» ἐπιγεγραμμένα, πλὴν τῶν ζ', η', θ', καὶ ιθ' κεφαλαίων.

Ἐν τῷ ὑπ' ἀρ. 113φ κώδικι πατριαρχ. συλλογῆς ὑπάρχουσιν ἀποσπάσματά τινα ὑπὸ τὸ ὄνομα τοῦ ἀββᾶ Ἡσαΐου (φύλ. 62β-68β, 124α—132α, 202β—203β· Τὰ ἀποσπάσματα ταῦτα, πλὴν τριῶν (127β, 128β καὶ 129α) ἀπαντώντων καὶ ἐν τῇ Φιλοκαλίᾳ (κεφ. κγ, κδ, κστ), δὲν εἶναι ἔργα τοῦ ἀββᾶ τούτου, λόγῳ ἐννοιῶν καὶ γλώσσης. Παρὰ τῷ Παλλαδίῳ († περὶ τὸ 420), τὰ ἑξῆς Ἀποφθέγματα διεσώθησαν τοῦ ἀββᾶ Ἡσαΐου.

Εἶπεν ὁ ἀββᾶς Ἡσαΐας, ὅτι οὐδὲν οὕτως ὠφελεῖ τῷ ἀρχαρίῳ, ὡς ἡ ὕβρις· ὥσπερ γὰρ δένδρον καθ' ἑκάστην ποτιζόμενον, οὕτως ἀρχάριος ὑβριζόμενος καὶ ὑπομένων.

Ἔλεγε πάλιν πρὸς τοὺς καλῶς ἀρχομένους καὶ ὑποτασσομένους πατράσιν ἁγίοις, ὅτι ἡ πρώτη βαφὴ οὐκ ἀποβάλλει, ὡς ἐπὶ πορφύρας· καί, ὥσπερ οἱ κλάδοι οἱ ἁπαλοὶ εὐχερῶς μεταστρέφονται καὶ κάμπτονται, οὕτω καὶ οἱ ἀρχάριοι ὄντες ἐν ὑποταγῇ.

Ἔλεγε πάλιν, ὅτι ἀρχάριος μεταβαίνων ἀπὸ μοναστηρίου εἰς μοναστήριον, ἔοικε ζώῳ ὑπὸ φορβαίας ἐνταῦθα κἀκεῖσε ἐλαυνομένῳ.

Εἶπε πάλιν, ὅτι ὁ πρεσβύτερος τοῦ Πηλουσίου, γενομένης ἀγάπης τῶν ἀδελφῶν ἐν τῇ ἐκκλησίᾳ, ἐλθόντων καὶ συλλαλούντων ἀλλήλοις, ἐπιτιμήσας αὐτοῖς εἶπε: σιωπᾶτε ἀδελφοί, οἶδα ἐγὼ ἀδελφὸν ἐσθίοντα μεθ' ἡμῶν, καὶ πίνοντα ποτήρια ὅσα καὶ ὑμεῖς, καὶ ἡ εὐχὴ αὐτοῦ ἀναβαίνει ἐνώπιον τοῦ Θεοῦ ὡς πῦρ. Ἔλεγε πάλιν, ὅτι ἐὰν θέλῃ ὁ Θεὸς ψυχὴν ἐλεῆσαι, αὐτὴ δὲ ἀφηνιάζει καὶ οὐκ ἀνέχεται, ἀλλὰ τὸ θέλημα αὐτῆς ποιεῖ, συγχωρεῖ αὐτῇ παθεῖν, ἅπερ οὐ θέλει, ἵνα οὕτως αὐτὸν ἐπιζητήσῃ.

Ἔλεγε πάλιν, ὅτι ἡνίκα τις βούλεται κακὸν ἀντὶ κακοῦ ἀποδοῦναι δύναται καὶ διὰ νεύματος μόνον βλάψαι τὴν συνείδησιν τοῦ ἀδελφοῦ.

Ὁ αὐτὸς ἀββᾶς Ἡσαΐας ἠρωτήθη, τί ἐστι φιλαργυρία; καὶ ἀπεκρίθη: τὸ μὴ πιστεῦσαι τῷ Θεῷ ὅτι ποιεῖται τὴν φροντίδα, καί τὸ ἀπελπίσαι τῶν ἐπαγγελιῶν τοῦ Θεοῦ, καὶ τὸ φιλοπλατύνεσθαι.

Ἠρωτήθη πάλιν, τί ἐστι καταλαλιά; καὶ ἀπεκρίθη: τὸ μὴ γνῶναι τὴν δόξαν τοῦ Θεοῦ, καὶ φθόνος πρὸς τὸν πλησίον.

Ἠρωτήθη πάλιν, τί ἐστι ὀργή; καὶ ἀπεκρίθη: ἔρις καὶ ψεῦδος καὶ ἀγνωσία[1].

---

1) Ἀποφθέγμ. Πατέρων, τ. 65. σ. 204—220. Εὐεργετην. βιβλ. β, ὑπόθ. λε'. σ 118.

Ἐν τοῖς σχολίοις τῆς Κλίμακος (Πατρολογ. τόμ. 88) Ἰωάννου τοῦ Σχολαστικοῦ († περὶ τὸ 600) τὰ ἑπόμενα ἀγνώστου κειμένου τοῦ ἀββᾶ Ἡσαΐου.

«Ὁ ἐνδημῶν ἀεὶ τῇ ἑαυτοῦ καρδίᾳ, ἐκδημεῖ πάντως τῶν τοῦ βίου ὡραίων. πνεύματι γὰρ περιπατῶν τὰς τῆς σαρκὸς ἐπιθυμίας εἰδέναι οὐ δύναται, ἐπειδὴ λοιπὸν ἐν τῷ φρουρίῳ τῶν ἀρετῶν τοὺς περιπάτους ὁ τοιοῦτος ποιεῖται, αὐτὰς ὥσπερ τὰς ἀρετὰς πυλωροὺς ἔχων τοῦ τῆς ἁγνείας πολίσματος· διὸ δὴ καὶ ἄπρακτον λοιπὸν αἱ τῶν δαιμόνων τότε ἐπ' αὐτῷ γίνονται μηχαναί, καὶ ἄχρι τῶν θυρίδων τῆς φύσεως τὰ τοῦ πανδήμου[1] ἔρωτος καταφθάσωσί πως βέλη» (Σχόλιον β'. τοῦ κζ'. λόγου).

«Ὀργή ἐστι, τὸ θέλειν προβαίνειν τὸ θέλημά σου, ἡ ψευδογνωσία τὸ θέλειν διδάσκειν, τὸ ἀγαπῆσαι τὴν χρείαν τοῦ κόσμου, ἡ μικροψυχία, τὸ συνέχεσθαι, τὸ μὴ βαστάζειν, τὸ μὴ δοῦναι καὶ λαβεῖν (Σχόλ. α'. τοῦ β'. λόγου).

«Ἐρώτησις. Τί ἐστι πορνεία; Ἀπόκρισις: Ἀκρασία. Ἐρώτησις. Καὶ τί ἐστιν ἀκρασία; Ἀπόκρισις: Κόσμησις τοῦ σώματος, περισπασμός, ὀκνηρία, γελωτοποιοὶ λόγοι, τὸ προσέχειν ἀναιδῶς, ἀπιστία τῶν ἐπαγγελιῶν τοῦ Θεοῦ, τὸ φιλοπλατύνεσθαι, διότι θέλεις τὸ καύχημα τοῦ κόσμου, καὶ ἀγαπᾷς τὴν ἀνελεημοσύνην, διότι ἀγαπᾷς τὴν κενοδοξίαν, τὸ μὴ μετρῆσαί τινα τὴν ἀσυνειδησίαν, καὶ τὸ μὴ προσέχειν τῷ κρίματι τοῦ Θεοῦ» (Σχόλ. ιβ'. τοῦ ιε'. λόγου).

Ἰωάννης ὁ Δαμασκηνὸς († 756) διέσωσεν ὁλόκληρον τὸν περὶ ταπεινοφροσύνης λόγον (λόγ. κ'. σελ. 118), ἐν τοῖς ἱεροῖς Παραλλήλοις, καὶ τὰ ἑξῆς δύο τεμάχια.

«Ἐπεὶ συμπτώματα τὰ αὐτὰ ἁμαρτωλοῖς καὶ δικαίοις συμβαίνει, μὴ πάντας τοὺς περιστατικοῖς ὑποβαλλομένους ἡγούμεθα, καὶ προλαβούσης σωτηρίας ὑπομεμενηκέναι τὰ πονηρὰ» (Πατρολογ. τ. 96. σελ. 324).

Οἱ ἑαυτῶν μόνον ἕνεκα πάντα πράττοντες φιλαυτίαν τὸ μέγιστον τῶν κακῶν ἐπιτηδεύουσιν· ὃ ποιεῖ τὸ ἄμικτον, τὸ ἀκοινώνητον, τὸ ἄφιλον, τὸ ἄδικον, τὸ ἀσεβές. Τὸν γὰρ ἄνθρωπον ἡ φύσις κατεσκεύασεν οὐχ ὡς τὰ μονωτικὰ θηρία, ἀλλ' ὡς ἀγελαῖα καὶ σύννομα καὶ κοινωνικά, ἵνα μὴ μόνον ἑαυτῷ ζῇ, ἀλλὰ καὶ πατρὶ καὶ μητρί, καὶ ἀδελφοῖς καὶ γυναικὶ καὶ τέκνοις καὶ ἄλλοις συγγενέσι, καὶ φίλοις καὶ δημόταις,

1) Τὸ τεμάχιον τοῦτο ἀπαντᾶται καὶ παρὰ τῷ Διαδόχῳ, ἐπισκόπῳ Φωτικῆς, ἐν τῷ ἀσκητικῷ αὐτοῦ λόγῳ, κεφ. νζ. Φιλοκαλ. τ. α'. σελ. 149. Καὶ ὑπὸ Νικηφόρου τοῦ μονάζοντος ἀποδίδεται τῷ Διαδόχῳ (Φιλοκαλ. τ. β. σελ. 239).

καὶ φυλέταις, καὶ πατρίδι καὶ ὁμοφύλοις καὶ πᾶσιν ἀνθρώποις· ἔτι μέν τοι καὶ τοῖς μέρεσι τοῦ παντὸς καὶ τῷ ὅλῳ τῷ κόσμῳ, καὶ πολὺ πρό τερον τῷ Θεῷ καὶ ποιητῇ· δεῖ γὰρ εἶναι, εἴγε ὅλος ἐστὶ λογικός, κο νωνικόν, φιλόκοσμον, φιλόθεον, ἵνα γένηται καὶ θεοφιλής» (Αὐτόι σελ. 420). Τοῦ ἀββᾶ Παύλου ἐξ Ἀμμορίου κτίτορος τῆς εὐεργέτιδο μονῆς (1048), ἐξ ἧς καὶ Εὐεργετηνός, πλὴν τῶν ὑποσημειωθέντων τι μαχίων ἐν τῷ κειμένῳ τῶν λόγων, εὑρίσκονται καὶ τὰ ἑξῆς τεμάχια ἐ τῷ Εὐεργετηνῷ ἐξ ἀγνώστων ἔργων. «Ὁ αὐτὸς (Ἡσαΐας) ἀσθενῶν, εἶπ πρὸς τὸν (ἀββᾶν Πέτρον): κόπος ἔχων ἀναπαύσεως προσδοκίαν οὐκ ἔχ βάρος· διὸ οὐδὲ ἐγὼ ἐν τῷ κόπῳ τῆς ἀσθενείας πάνυ βαροῦμαι, συν έχει δέ με μᾶλλον ὁ φόβος τῆς σκοτεινοτάτης ὥρας ἐκείνης, ὅταν ἀπος ριφῶ ἀπὸ προσώπου τοῦ Θεοῦ, καὶ οὐδεὶς ἔσται λοιπὸν ὁ ὑπακούω μου, οὐδὲ ἔσται τις προσδοκία ἀναπαύσεως» (βιβλ. γ'. ὑπόθ. ιη'. σε 53). Δυνατὸν δὲ τῷ ἀνθρώπῳ πονηρὰ ἐξ ἀφορμῆς τοῦ ἀγαθοῦ ποιῆσαι ἁμαρτάνων γὰρ οὐ μετανοεῖ. Εἰ ἀληθῶς μετενόει, οὐχ ἡμάρτανε· ὁ γὰ μετανοήσας οὐ κἔχει ὥρας Θεοῦ, ἐν αἷς ὀφείλει εὐπραγεῖν, καὶ ὥρας το διαβόλου ἐν αἷς δεῖ ἀσωτεύεσθαι· οὐδὲ καιρὸν εὐσεβείας ἔχει, καὶ πάλι καιρὸν παρανομίας· οὔ ποτε δοῦλος Θεοῦ, καί ποτε δοῦλος το διαβόλου, ἀλλ' ἀεὶ ὁ αὐτός ἐστιν. «Ὁ γὰρ ποιῶν τὴν ἁμαρτίαν», φη σὶν ὁ Κύριος, «δοῦλος τῆς ἁμαρτίας ἐστι» (Ἰωαν. η'. 35), ὁ δὲ δοῦλο τῆς ἁμαρτίας, Θεῷ δουλεύειν οὐ δύναται· ὡς αὐτὸς πάλιν ὁ ἀψευδὴ Κύριος, ἐν Εὐαγγελίοις λέγει: «Οὐδεὶς δύναται δυσὶ Κυρίοις δουλεύειν (Ματθ. ϛ'. 24), «τὶς γὰρ μετοχὴ δικαιοσύνῃ καὶ ἀνομίᾳ» φησὶν ὁ Ἀ πόστολος «ἢ τὶς κοινωνία φωτὶ πρὸς σκότος; Τὶς δὲ συμφώνησις Χριστῷ πρὸς βελίαρ; Τὶς δὲ συγκατάθεσις ναῷ Θεοῦ μετὰ εἰδώλων»; (Β'. Κορ ϛ'. 14—15). «Καθαρίσωμεν ἑαυτούς, φησίν, ἀπὸ παντὸς μολυσμο σαρκὸς καὶ πνεύματος» (αὐτοθ. ζ'. ι), καὶ τότε ἐπιτελοῦμεν «ἁγιωσύνη ἐν ἀγάπῃ Χριστοῦ», ἤτοι πᾶσαν ἀγαθοεργίαν. Ὁ γὰρ τὰ πλεῖστα τῶν ἁμαρτημάτων διαφυγών, ὑφ' ἑνὸς δὲ καὶ τοῦ τυχόντος κυριευόμενο οὐκ ἐλεύθερος, ᾧ γάρ τις ἥττηται τούτῳ καὶ δεδούλωται καὶ ὁ ὑπὸ τῶ μικρῶν εὐχερῶς νικώμενος, πλέον μᾶλλον τοῖς μεγάλοις δεδούλωται ἀδύνατον γὰρ κρατῆσαι τῶν μεγάλων παθῶν, ἐὰν μὴ πρῶτον νικήσῃ τὰ εὐτελέστερα» (βιβλ. γ'. ὑπόθ. ια'. σελ. 30). Ἐν τῇ Φιλοκαλίᾳ τῶν ἱερῶν νηπτικῶν (τομ. α'. σελ. 18-19), τὰ ἑπόμενα κεφάλαια. «Ὀφείλε ὁ μοναχὸς ἀποκλεῖσαι αὐτοῦ πάσας τὰς πύλας τῆς ψυχῆς, ἤγουν τὰ αἰσθήσεις, τοῦ μὴ πτωματισθῆναι δι' αὐτῶν· καὶ ἐὰν ἴδῃ ὁ νοῦς ἑαυ τὸν μὴ κατακυριευόμενον ὑπό τινος, ἑτοιμάζεται εἰς ἀθανασίαν, ἐπι συνάγων τὰς αἰσθήσεις αὐτοῦ ἐπὶ τὸ αὐτό, καὶ ποιῶν αὐτὰς ἓν σῶ μα» (κεφ. ζ'.).

«Ἐὰν ἐλευθερωθῇ ὁ νοῦς ἀπὸ πάσης ἐλπίδος τοῦ κόσμου τῶν ὁρωμένων, τοῦτό ἐστι τὸ σημεῖον ὅτι ἀπέθανεν ἐν σοὶ ἡ ἁμαρτία» (Κεφ. η'.).

Ἐὰν ἐλευθερωθῇ ὁ νοῦς, ἡ μεσότης, ἣν ἔχει μεταξὺ ἑαυτοῦ καὶ τοῦ Θεοῦ ἀπέρχεται» (Κεφ. θ'.). Ἐὰν ὁ νοῦς ἐνδυναμωθῇ, καὶ ἑτοιμάσῃ ἑαυτὸν ἐξακολουθῆσαι τῇ ἀγάπῃ τῇ σβεννυούσῃ πάντα τὰ πάθη τοῦ σώματος, καὶ οὐκ ἐάσῃ τι τῶν παρὰ φύσιν καταδυναστεῦσαι τῆς καρδίας ἐν τῇ αὐτῆς δυνάμει, ἀνθίσταται ὁ νοῦς τῇ παρσφύσει, ἕως οὗ χωρίσῃ αὐτὴν ἐκ τῶν πσρὰ φύσιν» (Κεφ. ιθ'.)

Ὁ μοναχὸς Ἀντώνιος ἡ Μέλισσα ἀκμάσας κατά τινας περὶ τὸ 1110 διέσωσε τὰ ἑξῆς τεμάχια.

«Τί βέλτιον, τρυφᾶν ἐπὶ ὀλίγας ἡμέρας καὶ τὴν ἐπιθυμίαν τῆς σαρκὸς ποιεῖν καὶ στερηθῆναι τῆς αἰωνίου ζωῆς; καὶ τὰ λοιπά».

«Ἀδικεῖ τοὺς ἀγαθοὺς ὁ φειδόμενος κακῶν» (Βιβλ. α'. κεφ. λθ'. σελ. 910. Πατρολ. Τόμ. 136).

«Ὅσοι τοὺς ἀδικοῦντας κολάζουσιν, οὗτοι τοὺς ἄλλους ἀδικεῖσθαι κωλύουσιν» (Αὐτόθι).

«Ὁ ἀρετὴν τιμῶν πρώτην ἀλήθειαν τιμᾷ, καὶ μάλιστα ὡς ἀγαθοῦ παντὸς ἡγεμονεύουσαν» (Αὐτόθι κεφ. ξθ'. σελ. 978).

Γρηγόριος ὁ Σιναΐτης ἀκμάσας περὶ τὸ 1330, ἐν τῷ ἔργῳ αὐτοῦ «περὶ ἡσυχίας, καὶ περὶ τῶν δύο τρόπων τῆς προσευχῆς» (Φιλοκαλ. τ. β. κεφ. γ'. σ. 269), λέγει: «Ὅτι δὲ ὀφείλεις κρατεῖν τὴν ἐκπνοήν, μάρτυς Ἡσαΐας ὁ ἀναχωρητὴς περὶ τούτου λέγων».

«Εἶπε πάλιν (ὁ Ἡσαΐας), ἐὰν μὴ γένηται ἄνθρωπος ὡς τὸ ἄγαλμα οὐ δύναται συνοικῆσαι τῷ πλησίον» (κῶδ. Πατριαρ. συλλογῆς 113ος φύλ. 25β).

Ὁ δὲ κῶδιξ ἐξ οὗ ἡ παροῦσα ἔκδοσις τῶν κθ'. λόγων τοῦ ἀββᾶ Ἡσαΐου εἶναι χαρτῷος ὑπ' ἀρ. 109 Πατριαρχικῆς συλλογῆς (0,253X0,215) ἐκ φύλ. 312, γραφεὶς ἐν ἔτει 1679 ὑπὸ Δαμασκηνοῦ μοναχοῦ. Τὸ κείμενον δίστηλον καὶ ἐκ γραμμῶν 27 καθ' ἑκάστην σελίδα 0,253X0,16. Ἐν ἀρχῇ ὑπάρχουσι δύο περιπλέον φύλλα, ἅτινα περιέχουσι τὸν πίνακα τῶν ΚΘ' λόγων τοῦ ἀββᾶ Ἡσαΐου, καὶ ἐν τέλει τὴν σημείωσιν: «† Μοναχὲ, ἀναγινώσκων τὴν βίβλον ταύτην εὔχου Δαμασκηνοῦ μοναχοῦ, ὅπως Κύριος ὁ Θεὸς ἐλεήσῃ αὐτὸν ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως, ὃς καὶ τὴν γένεσιν ἔσχεν ἐξ Ἀδριανουπόλεως». Ἐν τέλει τοῦ φύλ. 106α. «Ἐγράφη τὸ παρὸν βιβλίον ἐπὶ ἔτους τοῦ σωτηρίου πάθους αω χω οω θω. διὰ συνδρομῆς καὶ ἐξόδου κῦρ Φιλοθέου καὶ ἐπροσηλώθη τῇ σεβασμίᾳ μονῇ τοῦ ἁγίου πατρὸς ἡμῶν Σάβα τὴν ἐν τῇ ἁγίᾳ πόλει Ἱερουσαλήμ. Χεὶρ Δαμασκηνοῦ μοναχοῦ».

*

Πρὸς ἀντιπαραβολὴν τοῦ κειμένου τοῦ ἀββᾶ Ἡσαΐου εἴχομεν ὑπ' ὄψει τοὺς ἑπομένους κώδικας ἐκ τῆς βιβλιοθήκης τοῦ ἱεροῦ ἡμῶν Κοινοῦ, ὡς καὶ ἐκ τῆς Σιναϊτικῆς τινας.

Ἐν τῷ α'. λόγῳ τὸν 362ον Σαβαΐτικὸν αἰῶν. ΙΓ'. φύλ. 203α.
» » β'. » » 464ον Σιναϊτικὸν » ΙΖ'. » 183β.
» » γ'. » τὸν αὐτόν, ὡς καὶ τὸν 206 Σαβαϊτικὸν αἰῶν. ΙΣΤ
δ'. » » »
ε'. » » 378ον Σαβαϊτικὸν αἰῶν. Η'. φύλ. 131.
ζ'. » » 78 » » ΙΒ'. φύλ. 53β, καὶ τὸν 181ον Πατριαρχικὸν αἰῶν. ΙΓ'.
θ'. » » 408 » » Θ'. ἢ Ι'. φύλ. 142 καὶ τὸν 215ον Πατριαρχικὸν αἰῶν. ΙΣΤ'. φύλ. 266β.
ιε'. » τὸν αὐτὸν » » φύλ. 151α.
ιστ'. » » αὐτόν· προκειμένου δὲ περὶ τῆς ἐπιστολῆς τοῦ ἀββᾶ Μωϋσέως πρὸς τὸ ἀββᾶν Ποιμένα (σελ. 85—86), τὸν 633ον Σαββαϊτικὸν αἰῶν. ΙΔ'. φύλ. 31β, καὶ τὸν 461ον Σιναϊτικὸν αἰῶν. ΙΕ'. φύλ. 191β. Ἐν τῷ χωρίῳ τοῦ ἀββᾶ Μωϋσέως (σελ. 91), τοῦ αὐτοῦ λόγου τὸν 449ον Σιναϊτικὸν μεμβρ. αἰῶν. Ι'. φύλ. 37α.

Ἐν τῷ κζ'. λόγῳ τὸν 162ον Σαβαΐτικὸν αἰῶν. ΙΕ'. φύλ. 454—459, τὸν 378ον Σαβαϊτ. αἰῶν. ΙΗ'. φύλ. 134β, τὸν 215ον Πατριαρχικὸν αἰῶν. ΙΣΤ'. φύλ. 181, καὶ 464ον Σιναϊτικόν, φύλ. 175β· προκειμένου περὶ τῶν «Κεφαλαίων τοῦ ἀββᾶ Ἀμμωνᾶ» τὸν 157 Σαβαϊτ. αἰῶν. Ι'. φύλ. 172β.

Ἐν τοῖς Ἀποσπάσμασι, καὶ διηγήμασι τοὺς ἑξῆς:

Τὸν 113ον αἰῶν, ΙΖ'. καὶ 137ον αἰῶν. ΙΔ'. Πατριαρχ. συλλογῆς.
» 206ον αἰῶν. ΙΣΤ'. τὸν 394ον αἰῶν. ΙΕ'. καὶ τὸν 633ον αἰῶν ΙΔ'. Σαβαϊτικῆς συλλογῆς.

Τὸν 22ον αἰῶν. ΙΗ'. τῶν Καταλοίπων τῆς Ἱεροσολυμιτικῆς βιβλιοθήκης καὶ τὸν 438 αἰῶν. ΙΑ'. Σιναϊτικόν.

Ἐκτὸς τῶν ἀνωτέρω κωδίκων ἐλάβομεν ὑπ' ὄψει καὶ τὸ λατινικὸν κείμενον τοῦ ἀββᾶ Ἡσαΐου (Πατρολογ. τ. 40, σελ. 1105—1205), ὅπερ Πέτρος Φραγκῖσκος Ζῆνος ἐκ Βερώνης τῷ 1574, ἐκ κώδικος ἑλληνικοῦ γεγραμμένου δι' ἀρχαιοτάτων χαρακτήρων μετέφρασε, τῇ διορθώσει Ἀντωνίου Γηλβέρτου· παραβαλόντες δὲ τὰ δύο κείμενα ὑπεσημειώσαμεν τὰς οὐσιώδεις διαφορὰς καὶ ἐλλείψεις ἑκάστου.

Διετηρήθη τὸ κείμενον πιστὸν ἐκτὸς γραμματικῶν τινων οὐδεμίαν φερόντων ἀλλοίωσιν, καὶ τῶν ἀνορθογραφιῶν, ὧν πλῆρές ἐστι τὸ χει-

ρόγραφον· διῃρέθησαν δὲ ἅπαντες οἱ λόγοι εἰς παραγράφους δι' ἀλφαβητικῶν στοιχείων[1].

Κατεβλήθη φροντίς, ἵνα ληφθῇ ὑπ' ὄψιν ὅ,τι σχετικὸν πρὸς τὸν βίον καὶ πρὸς τὰ ἔργα τοῦ ἀββᾶ Ἡσαΐου, ὑπεσημειώθησαν δὲ τὰ ἀπαντώμενα χωρία παρὰ τῷ Εὐεργετηνῷ, Φιλοκαλίᾳ, καὶ λοιποῖς πατράσι· τέλος δὲ τὸ ὅλον ἔργον ἀντὶ νὰ ἀπαρτισθῇ ἐκ 12 τυπογραφικῶν φύλλων, ὡς ἐσημειώθη ἐν τῇ ἀγγελίᾳ, ἀπαρτίζεται ἐκ 18, ἤτοι κατὰ 80 σελίδας καὶ πλέον.

Τελευτῶντες ὁμολογοῦμεν ὅτι ἦτο βαρύτατον τὸ φορτίον, ὅπερ ἀνελάβομεν καὶ ἀνώτερον τῶν ἀσθενῶν ἡμῶν δυνάμεων, ἀλλὰ πεποιθότες τῷ ἀρωγῷ Θεῷ ἐχωρήσαμεν ἐπὶ τὸ ἔργον. Λυπούμεθα ἐκ μέσης καρδίας βλέποντες ἐπὶ τοσοῦτον παρημελημένην τὴν μοναχικὴν φιλολογίαν παρ' ἡμῖν, ἐν ᾧ παρὰ τοῖς ἄλλοις ἔθνεσι παρατηρεῖται ζωηρὰ κίνησις, σοβαραὶ δὲ ἐργασίαι γίνονται περὶ αὐτήν. Μιμηθῶμεν αὐτούς, ἐργασθῶμεν καὶ ἡμεῖς, εἶναι πλέον καιρός· ἀπορρίψωμεν ἀφ' ἡμῶν τὴν ἀκηδίαν, ἥτις κατέχει ἡμᾶς, ἐκθάψωμεν τοὺς θησαυροὺς τῶν Πατέρων ἡμῶν ἐκ τῶν βιβλιοθηκῶν, ἵνα μὴ ὦσι διὰ παντὸς ἐντεταφιασμένοι ὑπὸ τὴν κόνιν. Γνωρίζομεν τὰς παρακολουθούσας θλίψεις καὶ τὰς πικρίας, δι' ὧν ποτίζονται οἱ περὶ τὰ τοιαῦτα ἔργα ἀσχολούμενοι, ἀλλὰ παρίδωμεν ταῦτα, ἔχοντες ὑπ' ὄψιν ὅτι ἐργαζόμεθα ὑπὲρ τοῦ καλοῦ.

Δημοσίως ἐκφράζομεν τὴν εὐγνωμοσύνην ἡμῶν τῷ Ἐλλογιμωτάτῳ κ. Ἰωάν. Φωκυλίδῃ, ἐπὶ εἰκοσιπενταετίαν καθηγητῇ τῆς Γαλλικῆς καὶ Λατινικῆς ἔν τε τῇ Θεολ. Σχολῇ τοῦ Σταυροῦ καὶ τῷ ἐντὸς τῆς πόλεως Γυμνασίῳ, νῦν δὲ Ἀρχισυντάκτῃ τῆς Νέας Σιών, πάνυ εὐγενῶς ἀναλαβόντι τὴν ὅλην ἐπιστασίαν τῆς ἐκδόσεως τοῦ ἔργου, καὶ εἰς πάντας τοὺς ἀδελφούς, τοὺς ἐργασθέντας ἢ συμβαλόντας ὑπὲρ εὐοδώσεως τοῦ ἔργου, τοῖς δὲ ἀξιοτίμοις συνδρομηταῖς τὰς εὐχαριστίας ἡμῶν ἐπὶ τῇ προθύμῳ αὐτῶν ἀρωγῇ, ὧν καί τινες προκατέβαλον τὴν συνδρομὴν αὐτῶν ἐν τῇ ἐνάρξει τῆς ἐκτυπώσεως τοῦ ἔργου.

Ἐν Ἁγιάσματι (παρὰ τοῖς ἐρειπίοις τῆς λαύρας τοῦ ἀββᾶ Γερασίμου)

Τῇ 15ῃ Μαρτίου 1911.

***Αὐγουστῖνος Μοναχὸς***

---

1) Τὰ κείμενα τῶν ἐν τῷ προλόγῳ διηγημάτων ἀφέθησαν ὡς ἔχουσιν, ἄνευ ἀλλοιώσεως καὶ διορθώσεως.

# ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΑΒΒΑ ΗΣΑΪΟΥ

## ΕΝΤΟΛΑΙ ΤΟΙΣ ΑΔΕΛΦΟΙΣ ΤΟΙΣ ΜΕΤ' ΑΥΤΟΥ.

### *Λόγος α'.*

***(Κῶδιξ 109ος αἰῶνος ιζ'. Πατριαρχικῆς συλλογῆς τῆς Ἱεροσολυμιτικῆς βιβλιοθήκης, φυλ. 1α —100β).***

Α'. Οἱ θέλοντες μεῖναι μετ' ἐμοῦ, ἀκούσατε διὰ τὸν Θεόν, καὶ εἷς ἕκαστος καθήσῃ ἐν τῷ κελλίῳ αὐτοῦ ἐν φόβῳ Θεοῦ, καὶ μὴ καταφρονήσητε τοῦ ἐργοχείρου ὑμῶν διὰ τὴν ἐντολὴν τοῦ Θεοῦ, καὶ μὴ ἀμελήσητε τῆς μελέτης ὑμῶν καὶ τῆς συνεχοῦς εὐχῆς· καὶ φυλάξατε τὴν καρδίαν ὑμῶν ἀπὸ λογισμῶν ἀλλοτρίων, τοῦ μὴ λογίσασθαί τι περί τινος ἀνθρώπου ἢ πράγματος τοῦ αἰῶνος τούτου, ἀλλὰ πάντοτε ἐρευνᾶν ἐν τίνι προκόπτετε, καὶ σπουδάζετε διορθοῦσθαι, καὶ παρακαλοῦντες τὸν Θεὸν ἐν πόνῳ καρδίας καὶ δάκρυσι καὶ κακοπαθείᾳ, ἵνα συγχωρήσῃ ὑμῖν, καὶ τοῦ λοιποῦ φυλάξῃ ὑμᾶς, τοῦ μὴ εἰς τὰ αὐτὰ ἐμπεσεῖν. Καθ' ἡμέραν πρὸ ὀφθαλμῶν ἔχοντες τὸν θάνατον καὶ μεριμνῶντες πῶς ἐξέλθετε ἐκ τοῦ σώματος, καὶ πῶς παρέλθετε τὰς ἐξουσίας τοῦ σκότους, τὰς ἀπαντώσας ἡμῖν ἐν τῷ ἀέρι, καὶ πῶς ἀπαντήσετε τῷ Θεῷ, ἀπροσκόπτως προβλέποντες τὴν φρικτὴν ἡμέραν τῆς ἀποφάσεως καὶ ἀνταποδόσεως τῶν ἑκάστου ἡμῶν ἔργων τε καὶ λόγων καὶ διαλογισμῶν. «Πάντα γὰρ γυμνὰ καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ, πρὸς ὃν ἡμῖν ὁ λόγος» (Ἑβρ. δ'. 13). Χωρὶς δὲ μεγάλης ἀνάγκης, μὴ λαλήσητε τίποτε ἐν τῇ τραπέζῃ[1], μηδὲ ἐν τῇ

1) Ὁ ἅγιος Παχώμιος († 348) ὁρίζει: «Εἴ τις προπετείᾳ φερόμενος λαλήσῃ καὶ γελάσῃ ἐν τῷ τόπῳ τῆς ἑστιάσεως ἐπιτίμιον λαμβάνει» (Καν. θ'. Πατρολογ. Migne τομ. 40, σελ. 948).

συνάξει[1], καὶ μὴ διορθώσησθέ τινα ψάλλοντα, εἰ μή τι αὐτὸς ἐρωτήσῃ ὑμᾶς. Πρὸς μίαν δὲ ἑβδομάδα ποιήσατε εἰς τὸ μαγειρεῖον[2] ἐν φόβῳ Θεοῦ, μὴ ἀπολύοντες τὴν μελέτην ἡμῶν· ὅλως μὴ εἰσέλθῃ τις[3] εἰς τὸ κελλίον τοῦ ἀδελφοῦ αὐτοῦ, μηδὲ θελήσητε πρὸ τῆς ὥρας ἰδεῖν ἀλλήλους[4], μηδὲ κατανοήσητε τὸ ἐργόχειρον ἀλλήλων, εἰ εἰργάσατο ὁ ἀδελφός σου ὑπὲρ σὲ ἢ σὺ ὑπὲρ αὐτόν. Ἐξερχόμενοι δὲ εἰς πάρεργον, μὴ ἀργολογήσητε, μηδὲ παρρησιάζησθε ὅλως, ἀλλ' ἕκαστος ἐν φόβῳ Θεοῦ προσέχῃ ἑαυτῷ καὶ τῷ ἐργοχείρῳ, καὶ τῇ μελέτῃ καὶ τῇ ψυχῇ ἐν τῷ κρυπτῷ. Ὅταν δὲ ἀπολύσῃ ἡ σύναξις ἢ ὅταν ἐγείρησθε ἀπὸ τοῦ φαγεῖν, μὴ καθήσητε[5] μετ' ἀλλήλων ὁμιλοῦντες[6], μήτε λόγους περὶ Θεοῦ μήτε περὶ τοῦ κόσμου, ἀλλ' ἕκαστος εἰσέλθῃ εἰς τὸ κελ-

---

1) Ἐὰν συμβῇ ὥστε ἐν τῷ ψάλλειν ἢ προσεύχεσθαι ἢ ἐν μέσῳ τῆς ἀναγνώσεως νὰ ὁμιλήσῃ ἢ γελάσῃ τις, ὀφείλει πάραυτα νὰ λύσῃ τὴν ζώνην καὶ κύπτων τὸν αὐχένα, καὶ τὰς χεῖρας ἔχων καταβεβλημένας νὰ σταθῇ ἔμπροσθεν τοῦ θυσιαστηρίου καὶ νὰ ἐπιτιμηθῇ ὑπὸ τοῦ ἡγουμένου τῆς μονῆς. Τὸ αὐτὸ πρέπει νὰ πράξῃ κατὰ τὴν συνάθροισιν τῶν ἀδελφῶν, ὅταν κατὰ τὸν αὐτὸν τρόπον συνέλθουν πρὸς τὸ φαγεῖν (ἁγ. Παχωμ. καν. 8 κατὰ κείμενον μεταφρασθὲν ἐκ τοῦ λατινικοῦ ὑπὸ Δημ. Πετρακάκου, Μοναχικοὶ θεσμοὶ τομ. α'. σελ. 101 Λειψία 1907 Πρβλ. καὶ σελίδα 948 Πατρολογ. Migne τομ. 40.

2) Ἰωάννης ὁ Κασσιανὸς († 435), περιελθὼν τὰς μονὰς Ἀνατολῆς καὶ Αἰγύπτου μετὰ τοῦ φίλου αὐτοῦ Γερμανοῦ (390), ἀναφέρει ὅτι μόνον ἐν τοῖς κατὰ τὴν Ἀνατολὴν κοινοβίοις, «Ἑβδομάδας οἱ ἀδελφοὶ ἐκ διαδοχῆς ποιοῦσιν ἐν τῷ μαγειρείῳ καὶ τοῖς ἄλλοις καθήκουσιν......... παρὰ δὲ τοῖς Αἰγυπτίοις ἑνὶ δοκιμωτάτῳ τῶν ἀδελφῶν ἡ τοῦ μαγειρείου φροντὶς ἐπιτρέπεται, ἐφ' ὅσον ἡ ἀρετὴ τούτου ἐπιδίδωσι καὶ ἡ ἰσχὺς τοῦ σώματος ὑπουργεῖ ἐν τῇ διακονίᾳ, καὶ μήτε γῆρας αὐτῷ μήτε ἀσθένεια ἐμποδίζει» (Κασσιανοῦ πρὸς Κάστορα περὶ τῶν κανονικῶν τῶν κοινοβίων διατυπώσεων Πατρολογ. Migne τομ. 28, σελ 860).

3) Συναγωγὴ τῶν θεοφθόγγων ρημάτων καὶ διδασκαλιῶν τῶν θεοφόρων καὶ ἁγίων Πατέρων, ὑπὸ Παύλου τοῦ ἐκ τῆς Εὐεργέτιδος μονῆς μοναχοῦ τοῦ καὶ Εὐεργετηνοῦ καλουμένου, βιβλ. ιγ' ὑπόθ. ιγ'. σελ. 37. Ἀντὶ τῆς «Συναγωγῆς τῶν θεοφθόγγων ρημάτων καὶ διδασκαλιῶν» μεταχειριζόμεθα τὴν λέξιν «Εὐεργετηνὸς» ἐν τοῖς ἐφεξῆς ἀπαντῶσι τεμαχίοις τοῦ ἀββᾶ Ἡσαΐου, ἐξ ὧν ἀρκετὰ ἐναπεταμίευσεν ὁ Εὐεργετηνὸς μοναχὸς Παῦλος ἐν τοῖς τέσσαρσι βιβλίοις τῆς Συναγωγῆς (ἔκδοσ. Κων)πόλεως 1861).

4) Ὁ Παλλάδιος († περὶ τὸ 430) ἀναφέρει ὅτι ἐν τῷ ὄρει τῆς Νιτρίας «ἕως ὥρας ἕκτης (ἤτοι τὴν μεσημβρίαν) ἀπηγορεύετο «τὸ συντυχεῖν μηδενί» (Λαυσαϊκὴ ἱστορ. Κεφ. ζ'. Πατρολογ. Migne τομ. 34 σελ. 1019).

5) Τὰ ἐφεξῆς μέχρι τέλους τοῦ παρόντος λόγου ἐλήφθησαν ἐκ τοῦ 362 Κώδικος τῆς συλλογῆς τοῦ ἁγίου Σάβα, αἰῶνος ΙΓ'. σελ. 203α διότι ἕνεκεν χάσματος, διήκοντος μέχρι τοῦ ἡμίσεως τοῦ τρίτου λόγου, δὲν εὑρίσκονται ἐν τῷ χειρογράφῳ τῶν λόγων τοῦ ἀββᾶ Ἡσαΐου.

6) Ἐξιὼν τῆς ἑστιάσεως, οὐ μὴ πολυλογήσῃς (ἁγ. Παχωμ. καν. ιβ'.).

λίον αὐτοῦ καὶ κλαύσῃ τὰς ἁμαρτίας αὐτοῦ· ἐὰν δὲ γένηται χρεία λαλῆσαι μετ' ἀλλήλων[1], μικρὸν μικρὸν λαλεῖτε μετὰ ταπεινώσεως καὶ εὐλαβείας, ὡς τοῦ Θεοῦ προσέχοντος εἰς ὑμᾶς. Μὴ φιλονεικήσητε μετ' ἀλλήλων καὶ μὴ καταλαλήσητέ τινος· μὴ κρίνητέ τινα, μὴ ἐξουδενώσητε, μὴ γογγύσητε κατά τινος, ὅλως μὴ ἐξέλθῃ ἐκ τοῦ στόματος ὑμῶν (ψεῦδος). Μὴ θελήσητε λαλῆσαι ἢ ἀκοῦσαί τι τῶν μὴ ὠφελούντων ὑμᾶς.

Β'. Μὴ ἐάσητε ἐν τῇ καρδίᾳ ὑμῶν, μηδὲ μῖσος, μηδὲ φθόνον κατὰ τοῦ πλησίον, μηδὲ (τι) ἔσω ἐν τῷ στόματι ὑμῶν καὶ ἄλλο ἐν τῇ καρδίᾳ, ὁ γὰρ Θεὸς οὐ μυκτηρίζεται, ἀλλὰ πάντα θεωρεῖ, καὶ τὰ κρυπτὰ καὶ τὰ φανερά. Πάντα δὲ λογισμόν, καὶ πᾶσαν θλίψιν, καὶ πᾶν θέλημα ὑμῶν, καὶ πᾶσαν ὑποψίαν, μηδόλως κρύψητε, ἀλλ' ἐξαγγείλατε μετὰ πάσης ἐλευθερίας τῷ ἀββᾷ ὑμῶν, καί, ὃ ἀκούσητε παρ' αὐτοῦ, μετὰ πίστεως σπουδάζετε ποιῆσαι. Βλέπετε μὴ ἀμελήσητε[2] φυλάξαι τὰς ἐντολάς μου, ἐπεὶ συγχωρήσατε, οὐκ ἀφῶ ὑμᾶς μεῖναι μετ' ἐμοῦ· ἐὰν δὲ φυλάξητε, καὶ τὰ ἐν κρυπτῷ καὶ τὰ ἐν φανερῷ, ἐγὼ λόγον δίδωμι τῷ Θεῷ ὑπὲρ ὑμῶν, ἐὰν δὲ μὴ φυλάξητε, ἀπαιτήσει ὑμᾶς λόγον ὑπὲρ τῆς ἰδίας ἀμελείας, ὡς καὶ ὑπὲρ τῆς ἐμῆς παραινέσεως. Ὅστις δὲ φυλάξει τὰς ἐντολάς μου, ἐν τῷ κρυπτῷ καὶ ἐν τῷ φανερῷ, ὁ δεσπότης Θεὸς φυλάξει τὴν αὐτοῦ ζωὴν ἀπὸ παντὸς κακοῦ, καὶ σκεπάσει αὐτὸν ἐν παντὶ πειρασμῷ ἐπερχομένῳ, ἔν τε (τῷ) κρυπτῷ καὶ τῷ φανερῷ. Παρακαλῶ ὑμᾶς, ἀδελφοί μου, μάθετε τί ἐξήλθετε ἐκ τοῦ κόσμου, καὶ φροντίσατε τῆς ἑαυτῶν σωτηρίας, ἵνα μὴ εἰς μάτην γένηται ἡ ζωὴ πᾶσα ὑμῶν, καὶ αἰσχυνθῶμεν ἐνώπιον τοῦ Θεοῦ, καὶ τοῖς ἀποταξαμένοις δι' αὐτόν, καὶ τοῖς ἀγωνισαμένοις ἁγίοις· πλὴν τὸ ἀφιλόνεικον καὶ ἡ κακοπάθεια, καὶ ἡ ταπείνωσις, καὶ τὸ ἐν γνώσει κόπτειν τὸ θέλημά σου εἰς πάντα, καὶ τὸ μὴ πεποιθέναι τῇ δικαιοσύνῃ σου, ἀλλ' ἐνώπιόν σου πάντοτε βλέπειν τὰς ἁμαρτίας σου, τέλος σοὶ τῆς ἀρετῆς τοῦτο μάθε· ὅτι ἡ ἀνάπαυσις καὶ ὁ πλατυσμός, καὶ ἡ κενοδοξία ἀπόλλυ(σι) πάντα τὸν κόπον τοῦ μοναχοῦ.

1) Εὐεργετην. βιβλ. β'. ὑπόθεσ. μζ'. σελ. 144.
2) Εὐεργετην, βιβλ. δ'. ὑπόθεσ. μα'. σελ. 140.

# ΤΟΥ ΑΥΤΟΥ

## ΠΕΡΙ ΤΟΥ ΚΑΤΑ ΦΥΣΙΝ ΝΟΜΟΥ [1].

### *Λόγος β'.* [2]

Α'. Οὐ θέλω ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, ὅτι ἐν ἀρχῇ, ὅτε ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον, ἀφῆκεν αὐτὸν ἐν τῷ παραδείσῳ, σώας ἔχοντα τὰς αἰσθήσεις καὶ ἑστηκυίας ἐν τῷ φυσικῷ· καὶ ὡς ἤκουσε τοῦ ἀπατήσαντος αὐτόν, μετεστράφησαν πᾶσαι αἱ αἰσθήσεις αὐτοῦ εἰς παρὰ φύσιν, καὶ τότε ἐῤῥίφη ἐκ τῆς δόξης αὐτοῦ. Ὁ Κύριος ἡμῶν[3] ἐποίησε τὸ ἔλεος αὐτοῦ μετὰ τοῦ γένους τῶν ἀνθρώπων, διὰ τὴν πολλὴν αὐτοῦ ἀγάπην, ὁ λόγος γὰρ σὰρξ γενόμενος (Ἰωάν. α'. 14), τουτέστι τέλειος ἄνθρωπος, ἐν πᾶσι τοῖς καθ' ἡμᾶς ἐγένετο κατὰ πάντα «χωρὶς ἁμαρτίας» (Ἑβρ. δ'. 15), ἕως μεταλλάξῃ τὴν παρὰ φύσιν εἰς τὴν κατὰ φύσιν διὰ τοῦ ἁγίου αὐτοῦ σώματος· καὶ ποιήσας τὸ ἔλεος μετὰ τοῦ ἀνθρώπου, ἐπέστρεψεν αὐτὸν πάλιν εἰς τὸν παράδεισον, ἀναστήσας τοὺς ἐξακολουθήσαντας τοῖς ἴχνεσιν αὐτοῦ, καὶ ταῖς ἐντολαῖς αὐτοῦ, ἃς ἔδειξεν ἡμῖν, ἕως οὗ δυνηθῶμεν νικῆσαι τοὺς ἐκβαλόντας ἡμᾶς ἐκ τῆς δό-

1) Ἡ ἐπιγραφὴ τοῦ δευτέρου λόγου ἐν τῷ Λατινικῷ ἔχει οὕτω: «Περὶ τοῦ κατὰ φύσιν νοός» (De mente secundum naturam).

2) Ἐπειδὴ ὁ δεύτερος καὶ κατὰ τὸ ἥμισυ τρίτος λόγος δὲν εὑρίσκεται ἐν τῷ χειρογράφῳ τῶν λόγων τοῦ ἀββᾶ Ἠσαΐου, ὡς προείπομεν, παρελάβομεν αὐτοὺς ἐκ τοῦ 464 Σιναϊτικοῦ κώδικος τοῦ ΙΖ'. αἰῶνος σελ. 183β. Δι' ἣν δὲ ἐτύχομεν πατρικὴν φιλοξενίαν κατὰ τὸ διάστημα τῆς διατριβῆς ἡμῶν ἐν τῷ ὄρει Σινᾶ, δημοσίως ἐνταῦθα ἐκφράζομεν τὰς εὐχαριστίας ἡμῶν τοῖς σεβ. γέρουσι καὶ προεστῶσι, κ. κ. Ματθαίῳ ἱερομονάχῳ τῷ Δικαίῳ, τῷ μοναχῷ Πολυκάρπῳ Σκευοφύλακι, τῷ Πρωτοσυγκέλῳ Οἰκονόμῳ καὶ Βιβλιοφύλακι Βενιαμίν, νῦν ἐξάρχῳ ἐν Κρήτῃ, τῷ Ἀρχιμανδρίτῃ Γερασίμῳ πνευματικῷ, τοῖς Πρεσβυτέροις Δανιήλ, Γαβριήλ, Θεοκλήτῳ ἀντιπροσώπῳ ἐν Σουέζ, νῦν Οἰκονόμῳ, τῷ Ὑποβιβλιοφύλακι Διακόνῳ Μακαρίῳ, τῷ μοναχῷ Παχωμίῳ, τῷ καὶ συμβαλόντι ἐν τῇ ἀντιγραφῇ τῶν παρόντων λόγων, τῷ ἀρχοντάρῃ καὶ δοκίμῳ Σπυρίδωνι, νῦν μοναχῷ Μωϋσῇ, καὶ ἅπασι τοῖς πατράσι καὶ ἀδελφοῖς.

3) Εὐεργετην. βιβλ. δ'. ὑποθεσ. κβ'. σελ. 81.

ξης ἡμῶν, ὑποδείξας ἡμῖν λατρείαν ἁγίαν καὶ νόμον καθαρόν, ὅπως σταθῇ ὁ ἄνθρωπος ἐν τῷ φυσικῷ, ἐν ᾧ ἐποίησεν αὐτὸν ὁ Θεός. Ὁ θέλων οὖν ἐλθεῖν εἰς τὸ κατὰ φύσιν, ἐκκόπτει πάντα τὰ θελήματα αὐτοῦ τὰ κατὰ σάρκα, ἕως οὗ στήσῃ αὐτὸν ἐν τῷ κατὰ φύσιν. Τοῦ νοῦ ἐστιν ἡ ἐπιθυμία κατὰ φύσιν καί, χωρὶς ἐπιθυμίας εἰς Θεόν, οὐδὲ ἀγάπη· διὰ τοῦτο ἐκλήθη Δανιήλ, «ἀνὴρ ἐπιθυμιῶν» (Δαν. θ'. 23). Μετήλλαξεν οὖν ὁ ἐχθρὸς αὐτὴν εἰς ἐπιθυμίαν αἰσχρὰν τοῦ ἐπιθυμῆσαι πάσης ἀκαθαρσίας. Τοῦ νοῦ ἐστιν ὁ ζῆλος κατὰ φύσιν, καὶ χωρὶς ζήλου εἰς Θεόν, οὐδὲ προκοπή, καθὼς γέγραπται ἐν τῷ ἀποστόλῳ, ὅτι ζηλώσατε τὰ χαρίσματα τὰ καλὰ (Α' Κορινθ. ιβ'. 31), καὶ μετηλλάγη ἡμῖν ὁ ζῆλος ὁ εἰς Θεὸν εἰς παρὰ φύσιν, εἰς τὸ ζηλοῦν ἀλλήλους, καὶ φθονεῖν καὶ ψεύδεσθαι ἀλλήλους.

Β'. Τοῦ νοός ἐστιν ἡ ὀργὴ κατὰ φύσιν, καὶ χωρὶς ὀργῆς οὐδὲ ἁγνεία γίνεται τῷ ἀνθρώπῳ, ἐὰν μὴ ὀργισθῇ εἰς πάντα τὰ σπειρόμενα εἰς αὐτὸν παρὰ τοῦ ἐχθροῦ· καθὼς Φινεές, υἱὸς Ἐλεάζαρ, ὅτε ὠργίσθη, ἔσφαξε τὸν ἄνδρα καὶ τὴν γυναῖκα, καὶ ἐθραύσθη ὁ θυμὸς Κυρίου ἀπὸ τοῦ λαοῦ αὐτοῦ (Ἀριθ. κε'. 7—8), καὶ μετηλλάγη ἡμῖν ἡ ὀργὴ εἰς τὸ ὀργίζεσθαι τὸν πλησίον, περὶ πάντων τῶν ἀνοήτων καὶ ἀνωφελῶν. Τοῦ νοός ἐστι τὸ μῖσος κατὰ φύσιν, καὶ ὅτε εὗρεν αὐτὸ Ἠλίας, ἀπέκτεινε τοὺς προφήτας τῆς αἰσχύνης (Γ'. Βασιλ. ιη'. 40)· ὁμοίως Σαμουὴλ ἐπὶ Ἄγαγ βασιλέως Ἀμαλήκ· καὶ χωρὶς μίσους εἰς τὴν ἔχθραν, οὐκ ἀποκαλύπτεται τιμὴ τῇ ψυχῇ, καὶ μετηλλάγη ἡμῖν τὸ μῖσος εἰς παρὰ φύσιν, πρὸς τὸ μισεῖν τὸν πλησίον καὶ βδελύττεσθαι αὐτόν, καὶ τὸ μῖσος ἐστὶ τὸ ἐκδιῶκον πάσας τὰς ἀρετάς. Τοῦ νοός ἐστιν ἡ ὑψηλοφροσύνη κατὰ φύσιν ἐπὶ τῆς ἔχθρας αὐτοῦ, καὶ ὅτε εὗρεν αὐτὴν Ἰώβ, ὠνείδισε τοὺς ἐχθροὺς αὐτοῦ λέγων αὐτοῖς: «Ἄτιμοι καὶ πεφαυλισμένοι ἐνδεεῖς παντὸς ἀγαθοῦ οὓς οὐχ ἡγησάμην ἀξίους εἶναι κυνῶν τῶν ἐμῶν νομάδων» (Ἰώβ. λ'. 1), καὶ μετηλλάγη ἡμῖν ἡ ὑψηλοφροσύνη ἐπὶ τῶν ἐχθρῶν, καὶ ἐταπεινώθημεν τοῖς ἐχθροῖς, καὶ ὑψηλοφρονήσαμεν κατ' ἀλλήλων, κεντοῦντες ἀλλήλους, καὶ ἐδικαιώσα-

μεν ἑαυτοὺς ὑπὲρ τοὺς πλησίον, καὶ διὰ τὴν ὑψηλοφροσύνην ἐχθρὸς γίνεται ὁ Θεὸς τῶν ἀνθρώπων. Ἰδοὺ ταῦτα ἐκτισμένα ἐστὶ μετὰ τοῦ ἀνθρώπου, καί, ὅτε ἔφαγεν ἐκ τῆς παρακοῆς, μετηλλάγη αὐτῷ εἰς τὰ αἰσχρὰ ταῦτα πάθη. Σπουδάσωμεν οὖν, ἀγαπητοί, φροντίσαι καὶ καταλεῖψαι ταῦτα, καὶ κτησώμεθα, ἃ ὑπέδειξεν ἡμῖν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐν τῷ ἁγίῳ αὐτοῦ σώματι· ἅγιος γάρ ἐστι καὶ κατοικεῖ ἐν ἁγίοις. Φροντίσωμεν οὖν ἑαυτῶν εἰς τὸ εὐαρεστεῖν τῷ Θεῷ, κατὰ δύναμιν ἡμῶν ἐπιτελοῦντες τὸ πρακτικὸν ἡμῶν, καὶ σταθμίζοντες πάντα τὰ μέλη ἡμῶν, ἕως οὗ σταθῇ ἐν τῷ κατὰ φύσιν, ὅπως εὕρωμεν ἔλεος ἐν τῇ ὥρᾳ τοῦ πειρασμοῦ, τοῦ μέλλοντος ἔρχεσθαι ἐπὶ πᾶσαν τὴν οἰκουμένην (Λουκ. κα'. 26), δεόμενοι διαπαντὸς τῆς ἀγαθότητος αὐτοῦ, εἰς τὸ συνεξελθεῖν τὴν βοήθειαν αὐτοῦ, μετὰ τῆς ταπεινώσεως ἡμῶν, ἵνα σώσῃ ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν· ὅτι αὐτοῦ ἐστιν ἡ δύναμις, καὶ ἡ βοήθεια, καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

# ΤΟΥ ΑΥΤΟΥ

## ΠΕΡΙ ΚΑΤΑΣΤΑΣΕΩΣ ΑΡΧΑΡΙΩΝ ΚΑΙ ΚΕΛΛΙΩΤΩΝ.

### *Λόγος γ΄.*

Α΄. Πρὸ παντὸς χρήζομεν τῆς ταπεινοφροσύνης, ἐν παντὶ ἕτοιμοι ὄντες ἐν οἱῳδήποτε λόγῳ, οὗ ἀκούομεν, ἢ ἔργῳ, λέγειν συγχώρησον [1]· διὰ γὰρ τῆς ταπεινοφροσύνης πάντα τοῦ ἀντικειμένου διαφθείρεται [2]. Μὴ μέτρει σεαυτὸν ἐν παντὶ ἔργῳ σου [3], ἵνα γίνῃς ἀτάραχος ἐν τοῖς λογισμοῖς σου· ἔχε τὸ πρόσωπόν σου σκυθρωπόν, πρᾶον δὲ μετὰ ξένων ἀνθρώπων, ἵνα ὁ φόβος τοῦ Θεοῦ παροικήσῃ σοι [4]. Ἐὰν ἀπέλθῃς ἐν ὁδῷ μετὰ ἀδελφῶν, μάκρυνον σεαυτὸν μικρόν [5], ἵνα σιωπήσῃς, καὶ πορευόμενος μὴ προσέχῃς ἐκεῖ καὶ ὧδε, ἀλλὰ μελέτα ἐν τῷ λογισμῷ σου, ἢ εὔχου τῷ Θεῷ ἐν τῇ καρδίᾳ σου· ἐν ᾧ δὲ τόπῳ παραβάλλῃς, μὴ παρρησιάσῃ [6], ἀλλὰ γενοῦ αἰδούμενος ἐν πᾶσιν. Εἰς τὸ παρατιθέμε-

---

1) Τὸ λατιν. κείμενον δὲν φέρει τὴν λέξιν «συγχώρησον».

2) Εὐεργετ. βιβλ. α΄ ὑπόθεσ. μδ΄ σελ. 160. Ἔσο ἕτοιμος εἰς ἑκάστην λέξιν, τὴν ὁποίαν ἀκούεις, νὰ λέγῃς Συγχώρησόν μοι, διότι ἡ ταπεινοφροσύνη καταρρίπτει πάσας τὰς πανουργίας τοῦ ἐχθροῦ. (Μεγ. Ἀντων. κανών, 72 κατὰ μετάφρασιν ἐκ τοῦ λατινικοῦ ὑπὸ Δημ. Πετρακάκη, Μοναχικοὶ θεσμοὶ σελ. 39-42, Λειψία, 1997). Ἀββᾶς Δωρόθεος ἐν λόγῳ «Περὶ Ταπεινοφροσύνης». Πατρολ. Migne τόμ. 88, σελ. 1640.

3) Μὴ ἐπαίρου ἐπὶ τοῖς ἔργοις σου, οἱαδήποτε καὶ ἂν ἦναι ταῦτα (αὐτόθ. καν.73).

4) Ἔστω τὸ πρόσωπόν σου διηνεκῶς σκυθρωπόν, ἐκτὸς ἐὰν σὲ ἐπισκέπτωνται ξένοι ἀδελφοί· τότε προσλάμβανε ἱλαρὸν πρόσωπον, ἵνα ἐνοικῇ ἐν σοὶ ὁ φόβος τοῦ Θεοῦ (αὐτόθι καν. 74).

5) Ὅταν ὁδοιπορῇς μετὰ τῶν ἀδελφῶν, ἀπομακρύνου ἐνίοτε ἀπ' αὐτῶν, ἵνα τηρῇς σιωπήν. (αὐτ. καν. 75), Ὁ δὲ ἅγ. Παχώμιος ὁρίζει «Εἴτε στήκων, εἴτε ὁδοιπορῶν μεταξὺ διάστημα ποιήσεις ὡς πῆχυν ἕνα· ὡσαύτως καὶ καθήμενος ποιείτω». (καν. λη΄ Πατρολ. Migne τομ. 40 σ. 952).

6) Ὅταν βαδίζῃς, μὴ στρέφε μήτε δεξιᾷ μήτε ἀριστερᾷ, ἀλλὰ ἀναπόλει τοὺς ψαλμοὺς καὶ προσεύχου ἐν διανοίᾳ πρὸς τὸν Θεὸν ἐν παντὶ τόπῳ, ὅπου εὑρίσκεσαι, καὶ μὴ συναναστρέφησαι ἐμπιστευτικῶς μετὰ τῶν κατοίκων αὐτοῦ. (Μεγ. Ἀντων. 76)

νόν σοι, ἔκτεινον τὴν χεῖρά σου [1] εἰς αὐτό, ὡς βιαζόμενος φαγεῖν. Νεώτερος ὢν μὴ τολμήσῃς ἐκτεῖναι τὴν χεῖρά σου τοῦ βαλεῖν εἰς στόμα [2] ἄλλου· ἐν ᾧ δὲ τόπῳ ἔχεις κοιμηθῆναι, μὴ σκεπάσῃ παλλίῳ μετά τινος, ἀλλὰ ποίησον πολλὰς εὐχὰς ἐν τῇ καρδίᾳ σου πρὶν κοιμηθῇς [3]. Ἐὰν δὲ ἐκοπίασας ἐν τῇ ὁδῷ καὶ θέλῃς μικρὸν ἔλαιον [4] ἀλείψασθαι διὰ τὸν κόπον τῆς ὁδοῦ, τοὺς πόδας σοὺ μόνους ποίησον ἀλειφθῆναι, αἰδούμενος ἀποκαλῦψαι αὐτούς, τὸ δὲ σῶμά σου μὴ ἐάσῃς ἀλεῖψαι ἐλαίῳ, ἐκτὸς ἀνάγκης ἢ ἀσθενείας [5]. Καθημένου σου ἐν τῷ κελλίῳ σου, ἐὰν ἔλθῃ ἀδελφὸς ξένος πρός σε, ποίησον αὐτῷ καὶ σὺ οὕτως· τοὺς πόδας αὐτοῦ ἄλειψον, καὶ εἰπὲ αὐτῷ ποίησον ἀγάπην καὶ λάβε μικρὸν ἔλαιον καὶ βάλε ἐντός σου· ἐὰν δὲ μὴ θελήσῃ λαβεῖν μετὰ ἀναπαύσεως, μὴ κοπώσῃς αὐτόν, ἐὰν δέ ἐστι γέρων πρακτικός, βίασαι αὐτόν, ἕως σὺ ἀλείψῃ αὐτὸν ὅλον. Καθημένου σου ἐν τῇ τραπέζῃ [6] μετὰ ἀδελφῶν, νεώτερος ὢν [7], μὴ εἴπῃς τῷ νῷ φάγε, ἀλλὰ μνήσθητι τῶν ἁμαρτιῶν σου, ἵνα μὴ ἐσθίῃς μεθ' ἡδονῆς, καὶ ἔκτεινον τὴν χεῖρά σου ἔμπροσθέν σου μόνον· ἐὰν δὲ ἔστι τι ἔμπροσθεν ἄλλου, μὴ ἐκτείνῃς τὴν χεῖρά σου εἰς αὐτό [8]. Τὰ δὲ ἱμάτιά σου ἔσονται σκεπάζοντα τοὺς πόδας σου, καὶ τὰ γόνατά σου ἔσονται κεκολλημένα εἰς ἄλληλα. Ἐὰν δέ εἰσι ξένοι οἱ ἐσθίοντες, δὸς αὐτοῖς τὴν χρείαν ἐν ἱλαρῷ ὀφθαλμῷ, καὶ ὅταν παύσωνται τοῦ ἐσθίειν, εἰπὲ αὐτοῖς δεύτερον ἢ τρίτον [9], ποιήσατε ἀγάπην, φάγετε ἄλλο μικρόν. Ἐσθίων δὲ, μὴ ἐπάρῃς τὸ πρόσω-

---

1) Μὴ ἔκτεινε ἀμέσως τὰς χεῖρας πρὸς τὰ παρατιθέμενα φαγητὰ (αὐτ. 77). Ἐὰν ἦσαι νέος, μὴ ἔκτεινε πρῶτος ἢ ἀπρεπῶς τὴν χεῖρα καὶ μὴ λάμβανε τοῦ ἄλλου τὸν ψωμόν (αὐτ. 79).

2) Τὸ λατ. κείμενον φέρει corpori, ὅπερ φαίνεται μὴ ἔχον καλῶς.

3) Ὅταν κοιμᾶσαί που, φυλάττου μὴ σκεπασθῇς μὲ τὸ αὐτὸ σκέπασμα μετ' ἄλλου, καὶ πρὶν κοιμηθῇς ἀπάγγειλε πολλὰς εὐχάς (αὐτ. 80).

4) Εὐεργετ. βίβλ. γ' ὑπόθεσ. ιστ' σ. 48.

5) Ἁγ. Παχωμ. καν. 92 Μοναχ. θεσμοὶ σελ. 110.

6) Εὐεργετ. βιβλ. β'. ὑπόθεσ. κγ' σ. 66.

7) Τὸ λατιν. κείμενον φέρει «μετὰ ἀδελφῶν νεωτέρων».

8) Πρβλ. Βαρσανουφ. πζ'. σ. 45, Βαρσανουφίου καὶ Ἰωάννου ἐρωταποκρίσεις Ἐνετίησιν 1816.

9) Ἰσαὰκ Σύρ. λογ. ζ'. σ. 47. Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἰσαὰκ τοῦ Σύρου τὰ εὑρεθέντα ἀσκητικά, Λειψία αψο'.

πόν σου ἐπὶ τὸν πλησίον, καὶ μὴ πρόσχῃς ὧδε καὶ ὧδε, καὶ μὴ λαλήσῃς λόγον μάταιον· μὴ ἐκτείνῃς τὴν χεῖρά σου εἴς τίποτε θέλων αὐτό, ἐὰν μὴ εἴπῃς εὐλόγησον· πίνων δὲ τὸ ὕδωρ, μὴἐάσῃς τὸν λάρυγγά σου ψόφον ποιεῖν, ὡς οἱ κοσμικοί. Καθημένου σου μετὰ ἀδελφῶν κἂν φλέγμα ἔλθῃ σοι, μὴ ρίψῃς αὐτὸ ἐνώπιον αὐτῶν, ἀλλὰ ἀνάστηθι καὶ ρίψον αὐτὸ ἔξω [1], μηδὲ ἔκτεινε τὸ σῶμά σου δρώμενον ὑπὸ ἀνθρώπων. Ἐὰν [2] πνίγῃ σε χάσμη, μὴ ἀνοίξῃς τὸ στόμα σου καὶ φεύξεται ἀπὸ σοῦ [3], μὴ ἀνοίγῃς τὸ στόμα σου γελῶν τὸ σύνολον, ἀφοβία γάρ ἐστι· μὴ ἐπιθυμήσῃς τινὸς [4] τοῦ πλησίον, θεασάμενος αὐτό, εἴτε ἔνδυμα, εἴτε ζώνην, εἴτε κουκούλιον, καὶ μὴ πληρώσῃς τὴν ἐπιθυμίαν σου, ποιῆσαι σεαυτῷ καθ' ὁμοιότητα αὐτῶν. Ἐὰν ποιήσῃς σεαυτῷ βιβλίον, μὴ καλλωπίσῃς τὴν κόσμησιν αὐτοῦ, πάθος γὰρ σοῦ ἐστιν.

Β΄. Ἐὰν σφαλῇς ἐν πράγματι, μὴ ψεύδου αἰσχυνόμενος, ἀλλὰ βάλε μετάνοιαν λέγων, ὅτι συγχώρησόν μοι, καὶ τὸ σφάλμα παρέρχεται. Ἐὰν εἴπῃ σοί τις λόγον σκληρόν, μὴ ὑψώσῃς τὴν καρδίαν σου, ἐπεὶ ἡ ὀργὴ τοῦ Θεοῦ μετὰ σπουδῆς [5] ἔρχεται. Ἐὰν συκοφαντηθῇς ὑπό τινος ἐν πράγματι, μὴ πτυρῇς, ἀλλὰ βάλε μετάνοιαν λέγων, συγχώρησόν μοι [6], ὅτι οὐκέτι ποιῶ, εἴτε οἶδας τὸ πρᾶγμα, εἴτε οὐκ οἶδας. Ταῦτα γὰρ πάντα προκοπή ἐστι νεότητος. Ἐὰν ποιήσῃς τὸ ἐργόχειρόν σου, μὴ καταφρονήσῃς, ἀλλὰ μερίμνησον αὐτὸ ἐν φόβῳ Θεοῦ, ἵνα μὴ ἁμαρτήσῃς

1) Αὐτόθι.

2) Αὐτόθι.

3) Αὐτόθι. Ὁ δὲ Εὐάγριος ὁ Ποντικὸς († 399;) τὰ ἑξῆς λέγει περὶ τῆς χάσμης. «Εἰσί τινες τῶν ἀκαθάρτων δαίμονες, οἵτινες . . . . χάσμα ποιοῦσι, λεπτύνοντες ἑαυτούς, καὶ τῶν ἔνδον τοῦ στόματος ἐφαπτόμενοι. Ἀλλὰ τοῦτο μὲν ἐγὼ μέχρι τῆς σήμερον οὐκ ἐνόησα, καίτοι πολλάκις αὐτὸ πεπονθώς· τοῦ δὲ ἁγίου Μακαρίου ἤκουσα τοῦτό μοι λελαληκότος καὶ εἰς ἀπόδειξιν φέροντος τοῦ σφραγίζειν τοὺς χασμωμένους τὸ στόμα, κατὰ ἀρχαίαν παράδοσιν ἄρρητον». Εὐαγρ. κεφ. πρακτικὰ πρὸς Ἀνατόλιον Πατρολ' τόμ. 40 σ. 1240.

4) Εὐεργετ. βιβλ. α΄. ὑπόθ. μθ΄. σ. 173.

5) Τὸ λατ. κείμ. λέγει ἐν ὑποσημ. ex studio. An ex odio? Ἡ πρώτη γραφὴ φαίνεται ὀρθή.

6) Δωρόθεος ἐν τῷ πρὸς τοὺς ἐν μοναστηρίῳ ἐπιστάτας ιζ΄ λόγῳ σ. 1800 Πατρολ. τόμ. 88.

ἐν ἀγνωσίᾳ· πᾶν ἐργόχειρον ὅταν διδάσκῃ, λέγε τῷ δεικνύοντί σοι καὶ μὴ αἰσχύνου συνεχῶς λέγειν αὐτῷ, ὅτι ποίησον ἀγάπην, βλέπε αὐτὸ εἰ καλόν ἐστιν ἢ οὔ. Ἐὰν καλέσῃ σε ἀδελφός σου, ὄντα σε εἰς τὸ ἐργόχειρόν σου, σπούδασον ἰδεῖν τί θέλει, καὶ ποίησον αὐτὸ μετ' αὐτοῦ, ἐάσας τὸ σόν. Ἐὰν παύσῃ ἐσθίων, εἴσελθε εἰς τὸ κελλίον σου, καὶ ποίησον τὰς λειτουργίας σου, καὶ μὴ καθήσῃς λαλῆσαι μετὰ τῶν μὴ ὠφελούντων σε· ἐὰν δέ εἰσι γέροντες, λαλοῦντες τὸν λόγον τοῦ Θεοῦ, εἰπὲ τῷ ἀββᾷ σου καθήσω ἀκοῦσαι, ἢ ἀπέλθω εἰς τὸ κελλίον; καὶ εἴ τί σοι λέγει, ποίησον [1]. Ἐὰν [2] ἀποστείλῃ σε [3] ἐπὶ ξένης περὶ πράγματος, εἰπὲ αὐτῷ ποῦ θέλεις παραβάλω, τίνος χρείαν ἔχεις, καὶ εἴ τί σοι λέγει ποίησον, μὴ προσθῇς, μηδὲ ἀφέλῃς. Ἐὰν ἀκούσῃς λόγους ἔξω, μὴ βαστάσῃς αὐτοὺς καὶ ἐλθὼν εἴπῃς ἄλλῳ· ἐὰν γὰρ φυλάξῃς τὰ ὦτά σου, οὐχ ἁμαρτήσῃ ἡ γλῶσσά σου. Ἐὰν θέλῃς πρᾶγμα γενέσθαι [4] καὶ οὐ θέλει αὐτὸ γενέσθαι μεθ' οὗ οἰκεῖς, ἀπόλυσον αὐτῷ τὸ θέλημά σου, ἵνα μὴ γένηται φιλονεικία καὶ λυπηθῇ.

Γ'. Ὅταν εἰσέλθῃς οἰκῆσαι μετὰ ἀδελφοῦ ὡς πάροικος, μὴ προστάξῃς αὐτῷ ἔν τινι πράγματι, καὶ μὴ θελήσῃς αὐτοῦ κεφαλὴ εἶναι. Ἐὰν οἰκήσῃς μετὰ ἀδελφῶν, μὴ θελήσῃς συμμετρηθῆναι μετ' αὐτῶν καὶ σὺ ἐν τῷ λόγῳ αὐτῶν· ἐὰν ἐπιτάξωσί σοι πρᾶγμα ὃ οὐ θέλεις, πολέμησον τῷ θελήματί σου, ἕως οὗ ποιήσῃς αὐτό, ἵνα μὴ θλίψῃς αὐτοὺς καὶ ἀπολέσῃς τὸ ἀπαρρησίαστον, καὶ τὴν εἰρηνικὴν συνοίκησιν αὐτῶν. Ἐὰν συνοικήσῃς μετὰ ἀδελφοῦ καὶ εἴπῃ σοι, ὅτι ἕψησόν μοι τίποτε, εἰπὲ αὐτῷ τί θέλεις ποιήσω, καὶ ἐὰν ἐν ἐξουσίᾳ σε ποιήσει λέγων, ὃ θέλεις τὸ εὑρισκόμενον, ποίησον μετὰ φόβου Θεοῦ. Ἐὰν οἰκῆτε μετ' ἀλλήλων, καὶ ἔστι πάρεργον, ποίησον· κοινωνήσατε εἰς αὐτὸ πάντες, καὶ μὴ φείσῃ τοῦ σώματός σου διὰ τὴν συνείδησιν πάντων. Ὅταν ἀναστῇς πρωΐας καθ' ἑκάστην ἡμέραν, πρὸ τοῦ ἐργάσῃ τὸ ἐργόχει-

1) Βαρσανουφ. ἀπόκρ. τε' σ. 161.
2) Ὁ ἀββᾶς σου.
3) Εὐεργετ. βιβλ. α' ὑπόθ. λε' σ. 127.
4) Εὐεργετ. βιβλ. α' ὑπόθ. μϐ' σ. 155.

ρόν σου, μελέτησον εἰς τοὺς λόγους τοῦ Θεοῦ· ἐὰν δέ ἐστι τίποτε καταστῆσαι, εἴτε ψιάθιον, εἴτε ἀγγεῖον, ἢ ἄλλο οἱονδήποτε πρᾶγμα, ποίησον αὐτὸ μετὰ σπουδῆς ἀόκνως. Ἐὰν ἐστὶ πρᾶγμα ἔχον μισθόν, κοινωνήσῃ μετὰ σοῦ ὁ ἀδελφός σου, καὶ μὴ βασκήνῃς αὐτῷ· ἐὰν δέ ἐστι τὸ πρᾶγμα μικρόν, καὶ εἴπῃ ὁ εἷς τῷ ἑτέρῳ ἄπελθε, ἔργασαι ἀδελφέ, ἐγὼ μόνος ποιῶ αὐτό, ὑπακούσῃ αὐτοῦ· ὁ ὑπακούσας αὐτός ἐστιν ὁ μέγας. Ἐὰν ἐστὶ πρὸς σὲ ἀδελφὸς ξένος[1], ἔχε τὸ πρόσωπόν σου ἱλαρὸν πρὸς αὐτὸν ἐν τῷ ἀσπάζεσθαι αὐτόν, καὶ τὸ σκεῦος, ὃ βαστάζει, βάστασον αὐτὸ μετὰ χαρᾶς καί, ἀπερχομένου αὐτοῦ, πάλιν ποίησον ὡσαύτως, ὁ ἀσπασμὸς δέ σου ὁ πρὸς αὐτὸν γένηται μετὰ ἐπιεικείας καὶ φόβου Θεοῦ, ἵνα μὴ γένηται αὐτῷ ζημία· φύλαξον δὲ σεαυτὸν μὴ ἐπερωτῆσαι αὐτόν τι τῶν μὴ ὠφελούντων σε[2], ἀλλὰ ποίησον αὐτὸν εὔξασθαι, καὶ ὅταν καθήσῃ, εἰπὲ αὐτῷ πῶς ἔχεις, καὶ παῦσαι ἕως τοῦ λόγου τούτου[3], καὶ δὸς αὐτὸ βιβλίον, ἵνα μελετήσῃ· ἐὰν δὲ ἦλθεν ἀπὸ κόπου, ποίησον αὐτὸν ἀναπαῆναι, πλῦνον[4] αὐτοῦ τοὺς πόδας. Ἐὰν[5] ἐνέγκῃ σοι λόγους οὐ προσήκοντας, παρακάλεσον αὐτὸν ἐν ἀγάπῃ, ὅτι συγχώρησόν μοι ὅτι ἀσθενής εἰμι καὶ οὐ δύναμαι βαστάξαι. Ἐὰν δέ ἐστιν ἀσθενὴς καὶ τὰ ἱμάτια αὐτοῦ ῥυπαρά, πλῦνον αὐτά[6], ἐὰν δέ ἐστιν ἀφελὴς καὶ τὰ ἱμάτια αὐτοῦ ῥυπαρά, ἐσχισμένα, ῥάψον αὐτά. Ἐὰν δέ ἐστι κυκλευτὴς καὶ ἔχῃς πρός σέ τινας πιστούς[7], μὴ εἰσενέγκῃς

---

1) Εὐεργετ. βιβλ. γ΄. ὑπόθ. μα΄ σ. 124.

2) Ἐντεῦθεν ἄρχεται πάλιν ὁ Ἱεροσολ. κῶδιξ.

3) Ἀδελφός τις ἐκ τῆς ἐν Γάζῃ μονῆς τοῦ ἀββᾶ Σερίδου ἀπορῶν ἠρώτησε τὸν ἀββᾶν Βαρσανούφιον (†563). «Τί ἐστιν ὃ λέγει ὁ ἀββᾶς Ἡσαΐας, ὅτι μετὰ τὸν ἀσπασμὸν τοῦ ξένου ἐρώτησον αὐτὸν πῶς ἔχεις, καὶ οὕτω σιώπα μετ' αὐτοῦ καθήμενος»; πρὸς ὃν ἀποκρίνεται. «Τὸ δέξασθαι ξένον, καὶ μετὰ τὸν ἀσπασμὸν ἐρωτῆσαι αὐτὸν πῶς ἔχεις, καὶ τοῦ λοιποῦ καθίσαι μετ' αὐτοῦ σιωπῶντα, ἔγραψας ὅτι ὁ ἀββᾶς Ἡσαΐας εἶπε τοῦτο, ἀλλὰ γέροντι ἐρρέθη προβεβηκότι, καὶ τῇ ἡλικίᾳ καὶ τῷ μέτρῳ» (Ἀπόκρ. τη΄ Βαρσανουφίου καὶ Ἰωάννου ἐρωταποκρίσεις. Ἐνετίῃσιν 1816).

4) Πλύνας· αἱ ἐφεξῆς παραλλαγαὶ τοῦ κειμένου κατὰ τὸν 206 ον κώδικα Σαβαϊτικῆς συλλογῆς.

5) Δὲ προσενέγκῃ σοι.

6) Ἡ ἑπομένη περίοδος «Ἐὰν δὲ ἐστιν ἀφελὴς καὶ τὰ ἱμάτια αὐτοῦ ῥυπαρά, ἐσχισμένα, ῥάψον αὐτά» δὲν ὑπάρχει ἐν τῷ λατινικῷ.

7) Ἁγίους.

αὐτὸν ἐπάνω αὐτῶν, ἀλλὰ ποίησον εἰς αὐτὸν ἔλεος ἐν ἀγάπῃ Θεοῦ· ἐὰν δέ ἐστιν ἀδελφός, παρερχόμενος διὰ τὸν Θεὸν καὶ παραβάλλῃ σοι ἀναπαῆναι, μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' αὐτοῦ, ἀλλὰ δέξαι αὐτὸν μετὰ χαρᾶς, μετὰ τῶν πιστῶν τῶν παραβαλλόντων σοι· ἐὰν δέ ἐστι πτωχός, μὴ πέμψῃς αὐτὸν κενόν, ἀλλὰ δὸς αὐτῷ ἐκ τῆς εὐλογίας, ἧς ἔδωκέ σοι ὁ Θεός, ὡς γινώσκων, ὅτι, ἃ ἔχεις, οὐκ ἔστι σά, ἀλλὰ δόμα [1] παρὰ Θεοῦ ἐστι. Ἐὰν ἀδελφὸς [2] παράθηταί σοί τι, μὴ ἀνοίξῃς αὐτὸ [3] μαθεῖν τί ἔχει χωρὶς αὐτοῦ, ἐὰν δέ ἐστιν ἔντιμον σφόδρα τὸ παρατιθέμενόν σοι, εἰπὲ αὐτῷ, δός μοι αὐτὸ εἰς τὰς χεῖράς μου.

Δ'. Ἐὰν ἀπέλθῃς ἐπὶ ξένης [4] εἰς οἶκόν τινος, καὶ ἐξέλθῃ [5], καὶ ἐάσῃ σε κατὰ μόνας, μὴ ἐπάρῃς τὸ πρόσωπόν σου ἄνω κατανοῆσαι τὰ σκεύη τὰ ἐν τῷ οἴκῳ [6] αὐτοῦ, καὶ μὴ [7] ἀνοίξῃς τίποτε, μήτε θυρίδα εἴτε ἀγγεῖον εἴτε βιβλίον· εἰπὲ δὲ αὐτῷ ἐξερχομένῳ δός μοι μικρὸν ἔργον, ἕως οὗ ἔλθῃς καί, ὃ παρέχει σοι, ποίησον ἀόκνως. Μὴ ἐπαινέσῃς [8], εἰ μὴ ἃ εἶδες, ἃ δὲ ἤκουσας, μὴ εἴπῃς ὡς ἰδών [9]. Μὴ ὀνειδίσῃς [10] τινὰ διὰ σχῆμα [11] αὐτοῦ. Ἐὰν πρὸς ὕδωρ στῇς ἢ καὶ ἀναγκαίας [12] χρείας καθήσῃς, μὴ καταφρονήσῃς, ἀλλὰ μνήσθητι τοῦ Θεοῦ ὅτι προσέχει σοι. Ἐὰν ἀναστῇς ἐν τῷ κελλίῳ σου [13] ποιῆσαι τὴν λειτουργίαν σου, μὴ καταφρονήσῃς ἐν ἀμελείᾳ, καὶ ἀντὶ τοῦ τιμᾶν τὸν Θεὸν εὑρεθῇς παροργίζων τὸν Θεόν, ἀλλὰ στῆθι ἐν φόβῳ Θεοῦ· μὴ κλίνῃς ἑαυτὸν εἰς τοῖχον καὶ μὴ χαυνώσῃς τοὺς πόδας σου ἱστά-

---

1) Δόματα Θεοῦ ἐστι· Σιναΐτ. κώδ.
2) Εὐεργετ. βιβλ. γ' ὑπόθ. δ' σελ. 16.
3) Θέλων.
4) Εὐεργετ. βιβλ. γ' ὑπόθ. με' σ. 131.
5) Ὁ οἰκοδεσπότης διὰ χρεῖαν. Σχδ. κώδ.
6) Κελλίῳ.
7) Μήτε.
8) Εὐεργετ. βιβλ. β' ὑπόθ. με' σ. 137.
9) Εἰδώς.
10) Εὐεργετ. βιβλ. γ' ὑπόθ. β' σ. 7.
11) Ἐν τῷ σχήματι.
12) Χάριν· Σιναΐτ. κωδ.
13) Εὐεργ. βιβλ. β' ὑπόθ. ι' σ. 38.

μενος εἰς τὸν ἕνα καὶ κουφίζων τὸν ἄλλον, ὡς οἱ ἄφρονες· ἀνθίστα δὲ τὴν καρδίαν σου μὴ περιέρχεσθαι ἐν τοῖς θελήμασί σου, ἵνα ὁ Θεὸς προσδέξηται τὴν θυσίαν σου. Ἐὰν ψάλλητε μετ' ἀλλήλων, ἕκαστος ὑμῶν ποιήσει τὰς ἑαυτοῦ εὐχάς· ἐὰν δέ ἐστι μεθ' ὑμῶν ξένος, παρακαλέσατε αὐτὸν μετὰ ἀγάπης, ἵνα αὐτὸς ποιήσῃ τὰς εὐχάς· εἴπατε δὲ αὐτῷ, ἕως δεύτερον ἢ τρίτον [1], χωρὶς φιλονεικίας. Ἐν τῇ ὥρᾳ τῆς προσφορᾶς σου [2] ἀνθίστασο τοῖς λογισμοῖς σου, τῶν αἰσθήσεών σου ἱσταμένων ἐν φόβῳ Θεοῦ, ἵνα τῶν μυστηρίων ἀξιωθῇς, καὶ ἰάσεταί σε ὁ Κύριος. Ὅρα μὴ ἐάσῃς τὸ σῶμά σου ἐν ῥυπαρίᾳ ἄμορφον [3], καὶ κλέψῃ σε ἡ κενοδοξία· ὁ νεώτερος [4] δὲ ἐάσῃ ἑαυτὸν ἐν πάσῃ ἀμορφίᾳ τοῦ σώματος αὐτοῦ, τοῦτο γάρ ἐστι συμφέρον αὐτῷ· νεώτερός ποτε, μὴ φορέσῃ καλὸν ἱμάτιον, ἕως φθάσῃ εἰς ἡλικίαν ἀνδρός, ἴασις γὰρ αὐτῷ ἐστι· τυπώσῃ δὲ ἑαυτὸν εἰς τὸν οἶνον, ἕως τριῶν ποτηρίων [5], ἐν ἀνάγκῃ· μὴ γυμνώσῃ δὲ τοὺς ὀδόντας αὐτοῦ ἐν γέλωτι παντελῶς, τὸ δὲ πρόσωπον αὐτοῦ προσεχέτω χαμαὶ αἰσχυνόμενον. Μέλλων δὲ κοιμηθῆναι, ἔστω περιεζωσμένος τὴν ζώνην αὐτοῦ, ἀσκήσῃ δὲ μὴ εἰσενεγκεῖν τὰς χεῖρας ἔνδον αὐτοῦ, πολλὰ γὰρ πάθη ἔχει τὸ σῶμα, ἅτινα ἐπιτελεῖ ἡ καρδία [6]. Ἐὰν ἀνάγκη καταλάβῃ ἐπὶ ξένης, φορέσῃ [7] σανδάλια, ἕως δ' ἂν ᾖ ἐν τῷ κελλίῳ, ἀσκήσῃ μὴ φορέσῃ σανδάλιον. Περιπατοῦντος δὲ αὐτοῦ, ἔστωσαν αἱ χεῖρες αὐτοῦ κεκολλημέναι τῇ ζώνῃ αὐτοῦ, καὶ μὴ σειέτω αὐτάς, ὡς οἱ κοσμικοί· περιπατῶν δὲ μετὰ μειζόνων σου, μὴ προάξῃς αὐτῶν παντελῶς [8], ἱσταμένου τοῦ μείζονος

1) Πρβλ. Ἐφραὶμ Σύρου († 372) ἐκδ. Ὀξωνίας αψθ' σ. στ' Βαρσανουφ. ἀπόκρ. τιθ. σελ. 165.

2) Εὐεργετ. βιβλ. δ' ὑπόθ. λγ' σ. 118.

3) Γέρων ὤν. Σαβ. κωδ. Εὐεργετ. βιβλ. α' ὑπόθ· μθ' σ. 173.

4) Νεώτερος δὲ ὢν ἐάσῃς ἐν ἀμορφίᾳ, μὴ τὸ πρόσωπόν μόνον, ἀλλὰ καὶ ὅλον τὸ σῶμά σου.

5) «Ἐάν γένηται ἀπάντησις ἐν Σαββάτῳ καὶ Κυριακῇ καὶ πίῃ ἀδελφὸς τρία ποτήρια (οἴνου) μὴ πολλά ἐστι; λέγει ὁ γέρων (ὁ ἀββᾶς Σισώης † μετὰ τὸ 428), ἐὰν οὐκ ἔστι σατανᾶς πολλὰ οὐκ ἔστι» (Ἀποφθεγμ. πατέρ. Πατρ. τομ. 65 σ. 392)· τῆς αὐτῆς γνώμης εἶναι καὶ ὁ ἀββᾶς Ξοΐος (αὐτόθ. σελ. 312.)

6) Ἐν ἀγνωσίᾳ.

7) Φόρεσον.

8) Πρβλ. Ἰσαὰκ Συρ. λογ. ζ' σελ. 49.

καὶ λαλοῦντος μετά τινος [1], μὴ καταφρονήσῃς καὶ καθήσῃς, ἀλλὰ στῆθι, ἕως οὗ τύπον δώσῃ σοι ὃ ποίησον. Ἐὰν ἀπέρχῃ εἰς πόλιν [2] ἢ εἰς κώμην, οἱ ὀφθαλμοί σου ἔστωσαν κάτω, ἵνα μὴ ἐξεγείρῃς σεαυτῷ πολέμους ἐν τῷ κελλίῳ σου· μὴ κοιμηθῇς ἐπὶ ξένης εἰς οἰκίαν τινός, ὅπου φοβεῖται ἡ καρδία σου ἁμαρτῆσαι. Ἐὰν μέλλῃς γεύσασθαι εἰς τόπον καὶ μάθῃς ὅτι δεῖ γυναῖκα ἐκεῖ φαγεῖν, μὴ καθήσῃς πάντη [3], συμφέρει γάρ σοι θλῖψαι τὸν καλοῦντά σε, ἢ μοιχεῦσαι τὴν καρδίαν σου κρυφίως, ἕως δὲ ἱμάτιον γυναικῶν, ἐὰν δύνῃ, μὴ πρόσχῃς· πορευομένου σου ἐν τῇ ὁδῷ, ἐὰν εἴπῃ σοι γυνή, εἰρήνη σοι, ἀποκρίθητι αὐτῇ ἐν τῇ καρδίᾳ σου, κάτω προσέχων τοῖς ὀφθαλμοῖς. Ἐὰν ἀπέλθῃς ἐν ὁδῷ μετά τινος γέροντος, τὸ σκεῦος, ὃ ἐπιφέρεσθε, μὴ δὸς βαστάσαι αὐτῷ, εἰ δὲ εὑρεθῆτε [4] νεώτεροι, βαστάσατε πρὸς μικρόν, ὁ δὲ βαστάζων προάξει.

---

1) Αὐτόθι.
2) Εὐεργετ. βιβλ. β' ὑπόθ. κθ' σ. 92.
3) Πρβλ. Βαρσανουφ. ἀποκρ. τνα' σελ. 180.
4) Ἀμφότεροι.

# ΤΟΥ ΑΥΤΟΥ

## ΠΕΡΙ ΣΥΝΕΙΔΗΣΕΩΣ ΤΩΝ ΚΑΘΗΜΕΝΩΝ ΕΝ ΤΟΙΣ ΚΕΛΛΙΟΙΣ [1].

### *Λόγος δ'.*

Α'. Ἐὰν ὁδεύητε ἐν ὁδῷ, καὶ ἔστιν ἀσθενὴς ἐν ὑμῖν, ἐάσατε αὐτὸν προπορεύεσθαι ὑμῶν, ἵνα, εἰ βουληθῇ καθῆσαι, καθήσῃ· ἐὰν ἐστὲ νεώτεροι, καὶ εὑρεθῆτε ἐπὶ ξένης εἴτε εἰς λεκάνην, εἴτε εἰς τὸ βαλεῖν πρῶτον τὴν χεῖρα ἐν τῇ τραπέζῃ, προτυπώσατε ἑαυτοὺς ποιεῖν πρὸς ἅπαξ, ἵνα ἐὰν φθάσητε εἰς τὴν ὥραν τῆς λεκάνης μὴ ταραχθῆτε, ἀλλ' ἐὰν ὁ εἷς εἰσέλθῃ πρῶτος νῦν, ἄλλοτε πάλιν ὁ ἄλλος εἰσέλθῃ. Ἐὰν ἐπερωτᾷς [2] γέροντα περὶ λογισμοῦ, γύμνωσον αὐτῷ μετ' ἐλευθερίας τὸν λογισμὸν, ἐὰν οἶδας ὅτι πιστός ἐστι τοῦ φυλάξαι τὸν λόγον σου. Ἐὰν ἀκούσῃς ἐλάττωμα τοῦ ἀδελφοῦ σου, μὴ εἴπῃς αὐτῷ ἐπί τινος, θάνατος γάρ σου ἐστιν. Ἐὰν λαλῶσί [3] τινες περὶ λογισμῶν πολεμούντων σε, μὴ θελήσῃς ἀκοῦσαι αὐτῶν, ἵνα μὴ γένωνταί σοι πόλεμοι· ἀνάγκασον ἑαυτὸν εὐχὰς ποιῆσαι πολλάς, φῶς γάρ ἐστι τῇ ψυχῇ σου ἡ εὐχή. Διαλογίζου [4] καθ' ἑκάστην ἡμέραν ἐν τίνι ἔπταισας, καὶ ἐὰν εὔξῃ ὑπὲρ αὐτῶν ὁ Θεός σοι αὐτὰς συγχωρεῖ. Ἐάν τις ἀδελφὸς βιασθῇ ἐπὶ σοῦ καταλαλῆσαι τοῦ ἀδελφοῦ αὐτοῦ, μὴ αἰσχυνθῇς, καὶ πεισθῇς αὐτῷ, καὶ ἁμαρτήσῃ εἰς τὸν Θεόν, ἀλλ' εἰπὲ αὐτῷ ἐν ταπεινοφροσύνῃ, συγχώρησόν μοι, ἀδελφέ, ταλαίπωρός εἰμι, καὶ ταῦτα ἃ λέγεις ἐμά ἐστι, καὶ οὐ δύναμαι αὐτὰ βαστάσαι. Ἐὰν ἀδελφὸς κακοποιήσῃ σε [5] καὶ καταλαλήσῃ τις κατ' αὐ-

---

1) Ἐν τῷ λατιν. κειμένῳ ἡ ἐπιγραφὴ ὡς ἑξῆς: «Περὶ τῶν ἐν τῇ ὁδῷ τηρητέων»
2) Εὐεργετ. βιβλ. α' ὑποθ. κα' σ. 66.
3) Εὐεργετ. ἔνθ' ἀνωτέρω.
4) Εὐεργετ. βιβλ. γ' ὑπόθ. ια' σελ. 28.
5) Εὐεργ· βιβλ. β' ὑπόθ. μγ' σελ. 135.

τοῦ ἐπὶ σοῦ, φύλαξον τὴν καρδίαν σου, ἵνα μὴ ἡ κακία ἀνακαινισθῇ ἐν σοί· μνήσθητι δὲ τῶν ἁμαρτιῶν σου ἐνώπιον τοῦ Θεοῦ ὅτι θέλεις, ἵνα συγχωρήσῃ σοι αὐτάς, καὶ μὴ ἀνταποδῷς τῷ πλησίον σου (Ρωμ. ιβ'. 17). Ἐὰν ἀπέλθῃς ἐπὶ ξένης [1] μετὰ ἀδελφῶν, ὧν οὐ γινώσκεις, καὶ εὑρεθῶσι μικρότεροί σου, τὴν τιμὴν δὸς αὐτοῖς τῶν πρωτείων· εἰ δὲ συμβῇ εἰς ἀγαπητόν σου εἰσελθεῖν σε, ἔασον αὐτοὺς πρὸ σοῦ ἐν ἅπασιν, εἴτε ἐν τῇ λεκάνῃ [2], εἴτε βαλεῖν χεῖρα πρὸ σοῦ, καὶ μὴ ποιήσῃς σαυτὸν ὡς διὰ τῆς σῆς προφάσεως ἐδέχθησαν, ἀλλὰ δὸς αὐτοῖς τὴν τιμὴν λέγων, ὅτι δι' ἡμᾶς ἐποίησε μετ' ἐμοῦ τὸ ἔλεος. Ἐὰν ἀπέρχῃ εἰς ὁδὸν μετὰ ἀδελφῶν, καὶ ἐκκλίνῃς πρός τινα φίλον σου [3] εἰπεῖν λόγον διά τινα χρείαν σου, καὶ εἴπῃς τῷ ἀδελφῷ κάθου ὧδε, καὶ κατάσχῃ σε ὁ φίλος σου, ἵνα φάγῃς, μηδὲν εἰσέλθῃ εἰς τὸ στόμα σου, ἕως οὗ καλέσῃς τὸν ἀδελφὸν καὶ ἀναπαῇ μετὰ σοῦ.

Β'. Ἐὰν ἀπέρχῃ εἰς ὁδὸν μετὰ πλειόνων ἀδελφῶν, καὶ αἰσχύνῃ λαβεῖν αὐτοὺς πρὸς φίλον σου, διότι πολλοί εἰσι, μὴ καταφρονήσῃς αὐτῶν, καὶ λάθρα ἀπέλθῃς καὶ φάγῃς, ἐάσας αὐτούς, ἀλλὰ σκέπησον μετ' αὐτῶν τί δεῖ γενέσθαι, καὶ ὃ ἐὰν εἴπωσί σοι, ἄκουσον αὐτῶν ἐν ταπεινώσει· περιπατῶν δὲ μετ' αὐτῶν, γενοῦ μὴ μετρῶν (σ)ἑαυτὸν καὶ φεύγων τὰς δουλικὰς διακονίας [4]. Ἐὰν ἀπέλθῃς ἐπὶ ξένης, καὶ θελήσῃς ἀπελθεῖν πρὸς ἀδελφόν, καὶ μὴ βουληθῇ δέξασθαί σε, καὶ ἴδῃς αὐτὸν ἐν ὁδῷ, ἢ ἔλθῃ πρὸς σὲ μὴ γινώσκων, περισσότερον τὸ ἀγαθὸν ποίησον μετὰ τούτου. Ἐὰν ἀκούσῃς [5] ὅτι εἶπέ τις κατὰ σοῦ λόγον, καὶ συναντήσῃς αὐτῷ εἴς τινα τόπον, ἢ παραβάλλῃ σοι, ποίησον τὸ πρόσωπόν σου μετ' αὐτοῦ χαροποιὸν καὶ ἀγαθόν, κατὰ τὴν δύναμίν σου, μηδὲ εἴπῃς αὐτῷ ὧν ἤκουσας, διατὶ εἶπες· γέγραπται γὰρ ἐν

1) Εὐεργ. βιβλ. γ, ὑπόθ. μέ. σ. 131.

2) Τὸ «Εἴτε ἐν τῇ λεκάνῃ» δὲν ὑπάρχει ἐν τῷ λατιν. κειμέν. ὡς καὶ τοῦ λατιν «ut et in mensa prius discumbant», «ἵνα καὶ ἐν τῇ τραπέζῃ πρότερον κατακλιθῶσιν» ἐν τῷ ἑλλην.

3) αὐτόθι.

4) πρβλ. Ἰσαὰκ Σύρ. λογ. ζ' σ. 47

5) Εὐεργ. βιβλ β' ὑποθ. μβ' σ. 135.

ταῖς Παροιμίαις (κα΄. 24) «Ὃς μνησικακεῖ παράνομος». Ἐὰν ἐστὲ ἀδελφοὶ καὶ ἀπέλθητε ἐπὶ ξένης πρὸς ἀδελφὸν πτωχόν, μὴ θλίψητε αὐτὸν εἴς τινα χρείαν, ἀγοράσατε ἑαυτοῖς χρείας, ἃς μέλλετε φαγεῖν, ἕως οὗ περισσευθῇ αὐτῷ, καὶ ἀρκέσει ὑμῖν ἡ σκέπη, ἣν εὕρατε. Ἐὰν ἀπέλθῃς πρός τινας γέροντας, οὓς γινώσκεις καὶ εὑρεθῶσι σὺν σοὶ ἄλλοι, οὓς ἀγνοοῦσιν οἱ γέροντες, μὴ παρρησιάσῃ μετὰ τῶν γερόντων ἐνώπιον αὐτῶν, ἀλλὰ ἄφες τὸν τόπον τοῖς ἐλθοῦσι μετὰ σοῦ, εἰς τὸ λαλῆσαι τοὺς λόγους. Ἐὰν οἰκῶσι μετὰ σοῦ ἀδελφοί [1], φρόντισον αὐτῶν ἐν στρυφνότητι, ἐὰν ἀκούσωσί σου, εἰδώς, ὅτι λόγον δώσῃς τῷ Θεῷ ὑπὲρ αὐτῶν. Ἐὰν ξενιτεύσῃς διὰ τὸν Θεόν [2], μὴ θελήσῃς συμμῖξαι σεαυτὸν μετὰ τῶν ἐν τῷ τόπῳ [3], ἐπεὶ συμφέρει σοι σχεδὸν εἶναι μετὰ τῶν κατὰ σάρκα συγγενῶν σου μᾶλλον. Ἐὰν ἀπέλθῃς εἰς ὄρος παραβαλεῖν τοῖς ἀδελφοῖς εἰς μοναστήρια, πρὸς ὃν ἀπέρχῃ μεῖνον, καὶ μὴ ἀπέλθῃς πρὸς ἄλλον εἰ μὴ ἐρωτήσῃς αὐτόν, ὅτι ἀπέλθω ἢ μή, καί, ἐὰν οὐκ ἀναπαύηται, μὴ θλίψῃς αὐτόν, ἕως οὗ ἐξέλθῃς ἀπ' αὐτοῦ. Ἐὰν λάβῃς κελλίον, ὡς γινώσκεις [4], μὴ ἐάσῃς (σ)εαυτῷ πολλοὺς φίλους, ἀρκεῖ σοι εἷς διὰ πρόθεσιν ἀσθενείας, καὶ μὴ ἀπολέσῃς τὴν δύναμιν τῆς ξενιτείας σου.

Γ΄. Ἐὰν εὐεργετήσῃς πτωχόν [5], μὴ καλέσῃς αὐτὸν εἰς πάρεργον, ἵνα μὴ ἀπολέσῃς τὴν εὐεργεσίαν, ἣν ἐποίησας μετ' αὐτοῦ. Ἐὰν εἰσέλθῃς εἰς μοναστήριον, ὃ οὐ γινώσκεις, ὅπου ἐὰν ἐάσῃ σε καθέζεσθαι, καθέζου, καὶ μὴ εἰσέλθῃς εἰς ἕτερον κελλίον [6], ἕως οὗ αὐτός σε καλέσῃ. Ἐὰν ἡσυχάζῃς [7] ἐν τῷ κελλίῳ σου,

---

1) Νουθέτει τοὺς υἱούς σου, μηδὲ φείδου· διότι ἡ καταδίκη αὐτῶν βαρύνει σε. (Μεγ. Ἀντων. καν. 51. Ἀββᾶς Δωρόθεος ἐν τῷ «πρὸς τοὺς ἐν μοναστηρίῳ ἐπιστάτας» λόγῳ, σελ. 1800. Εὐεργετ. βιβλ. δ΄. ὑπόθ. μα΄. σ. 140.

2) Εὐεργετ. βιβλ. α΄. ὑπόθ. ιγ΄. σ. 42.

3) Ἐνταῦθα ὑπάρχει ἕτερον χάσμα τοῦ Πατριαρχ. κώδικος, τὰ ἑπόμενα δὲ μέχρις ἔμπροσθεν: «θερμαίνουσι γὰρ τὸν ἄνθρωπον εἰς πᾶν πρᾶγμα, εἰς ὃ δύναται». παρελάβομεν ἐκ τοῦ ὑπ' ἀρ. 464 ου Σιναΐτ. κώδικος ιζ΄. αἰῶνος.

4) Εὐεργετ. ἔνθ' ἀνωτ. σ. 42.

5) Εὐεργ. βιβλ. γ΄ ὑπόθ. μστ΄. σ. 140.

6) Εὐεργετ. βιβλ. ὑπόθ. με΄. σ. 121, «εἰς μοναχοῦ κελλίον».

7) Τὰ ἑπόμενα μέχρι τοῦ «ἐὰν ἀναχωρήσῃς ἐκ τῶν κατὰ σάρκα συγγενῶν», δὲν ἀναγινώσκονται ἐν τῷ λατινικῷ.

μὴ ἐάσῃς (σ)ἑαυτῷ σκεῦος, καταργοῦν σε ἀπὸ τῆς ἐντολῆς τοῦ ἀδελφοῦ σου, ἐὰν αἰτήσῃ αὐτὸ ἐν χρήσει. Ἐὰν ἕως τῆς χρείας σου μόνον ἔχῃς [1] καὶ μὴ περισσόν, μὴ θελήσῃ σκορπῖσαι αὐτὴν καὶ ταραχθῇς· «συμφέρει γὰρ ἀπολέσαι ἓν τῶν μελῶν σου καὶ μὴ ὅλον τὸ σῶμά σου βληθῆναι εἰς γέενναν» (Ματθ. ι'. 29). Ἐὰν ἀναχωρήσῃς [2] ἐκ τῶν κατὰ σάρκα συγγενῶν, καὶ ξένος γενέσθαι διὰ τὸν Θεόν, μὴ ἐάσῃς τὴν ἡδονὴν αὐτῶν εἰσελθεῖν ἐν σοί· καθήμενος ἐν τῷ κελλίῳ, οἰκτείρων πατέρα ἢ μητέρα, ἢ μεμνημένος ἀδελφοῦ ἢ ἀδελφῆς, ἢ εὐσπλαγχνίας τέκνων, ἢ θελήματος γυναικὸς ἐν τῇ καρδίᾳ σου, ἃ κατέλιπες· μνήσθητι δὲ τῆς ἐξόδου σου, ἐν τῇ ἀνάγκῃ τοῦ θανάτου, ὅτι οὐδεὶς αὐτῶν βοηθεῖ σε, καὶ διατὶ μὴ καταλείψῃς αὐτοὺς διὰ τὴν ἀρετήν; Ἐὰν ἡσυχάζῃς ἐν τῷ κελλίῳ σου [3] καὶ μνησθῇς κακοποιήσαντός σε, ἀνάστηθι καὶ εὖξαι τῷ Θεῷ ἐν ὅλῃ καρδίᾳ σου, ἵνα συγχωρηθῇ αὐτῷ, καὶ ὁ λογισμὸς τῆς ἀνταποδόσεως ἀπέρχεται ἀπὸ σοῦ. Ἐὰν ἀπέρχῃ μεταλαβεῖν τῶν ἁγίων μυστηρίων τῆς προσφορᾶς, φύλαξον πάντα λογισμόν, ἵνα μὴ μεταλάβῃς εἰς κρῖμα. Ἐὰν πειράζῃ ἐν φαντασίᾳ συνουσίας [4] ἐν τῇ νυκτί, φύλαξον τὴν καρδίαν σου μὴ λογίσασθαι αὐτὰ ἐν τῇ ἡμέρᾳ, ποῖα σώματα τῆς φαντασίας ἦν, ἵνα μὴ μιανθῇς ἐν τῇ ἡδονῇ αὐτῶν, καὶ ἐπενέγκῃς σεαυτῷ ὀργὴν πονηράν, ἀλλὰ παράρριπτε ἑαυτὸν τῷ Θεῷ ἐν ὅλῃ καρδίᾳ σου καὶ βοηθεῖ σε, οἰκτίρμων γάρ ἐστιν ἐπὶ τῇ ἀσθενείᾳ τῶν ἀνθρώπων. Ἐὰν ᾖς ἐν ἀσκήσει [5], μὴ θαρρήσῃ ἡ καρδία σου ἐν αὐτῇ, ὅτι αὐτὴ σὲ φυλάττει, ἀλλ' εἰπὲ τῷ λογισμῷ σου, ὅτι, διὰ τῆς κακουχίας τοῦ σώματος, ὁ Θεὸς εἰσακούει τῆς ταλαιπωρίας μου. Ἐάν τις σὲ ὑβρίσῃ, μὴ ἀντείπῃς αὐτῷ, ἕως οὗ σιωπήσῃ· καὶ ἐὰν ἐρευνήσας σεαυτόν, εὑρήσεις ἃ ἤκουσας ἐν σοὶ παρ' αὐτοῦ, μετανόησον ὡς σὺ ἁμαρτήσας, καὶ ἡ ἀ-

---

1) Μὴ κράτει πλέον τοῦ ὅσον ἔχεις ἀνάγκην, καὶ μὴ δώρει πλέον τοῦ ὅ,τι δύνασαι (Μ. Ἀντων. καν. 12).

2) Εὐεργετ. βιβλ. α' ὑπόθ. ιε'. σ. 49.

3) Εὐεργετ. βιβλ. β'. ὑπόθ. μβ'. σ. 135.

4) Εὐεργετ. βιβλ. β'. ὑπόθ. λα'. σ. 95.

5) Εὐεργετ. βιβλ. β'. ὑπόθ. κστ'. σ. 76.

γαθότης τοῦ Θεοῦ δέχεται ἡμᾶς πάλιν. Ἐὰν ὁδεύῃς μετὰ ἀδελφῶν[1] καὶ εὑρεθῇ ἐν αὐτοῖς τις εἰς ὅν ἔχεις ἀγάπην διὰ τὸν Θεόν, μὴ παρρησιάσῃ μετ' αὐτοῦ, ἐκείνων βλεπόντων, μήποτε εὑρεθῇ ἐν αὐτοῖς ἀσθενὴς καὶ ἀποθάνῃ ἀπὸ τοῦ ζήλου, καὶ σὺ βαστάσεις αὐτοῦ τὴν ἁμαρτίαν, ὅτι δέδωκας αὐτῷ τόπον τοῦ ἁμαρτῆσαι. Ἐὰν ἀπέλθῃς πρός τινας, μὴ προσδοκήσῃς, ὅτι χαρῆναι ἔχουσι μετὰ σοῦ πάνυ, ἵνα ἐὰν δέξωνταί σε, εὐχαριστήσῃς τῷ Θεῷ. Ἐὰν ἀσθένεια καταλάβῃ σε[2] ἡσυχάζοντα ἐν τῷ κελλίῳ, μὴ ὀλιγωρήσῃς, ἀλλ' εὐχαρίστησον τῷ Κυρίῳ. Ἐὰν ἴδῃς τὴν ψυχήν σου ταραττομένην, εἰπὲ αὐτῇ οὐ συμφέρει σοι αὕτη ὑπὲρ τὴν γέενναν, εἰς ἣν μέλλεις ἀπελθεῖν; καὶ ἡσυχάσει ἐν σοί. Ἐὰν παραβάλῃς πρὸς ἀδελφοὺς καὶ εἴπῃ εἷς ἐξ αὐτῶν, ὅτι οὐκ ἀναπαύομαι ὧδε, ἀλλὰ θέλω οἰκῆσαι μετὰ σοῦ, μὴ δῷς αὐτῷ τόπον, ἵνα μὴ πρόσκομμα δῷς τοῖς πολλοῖς· ἐὰν δὲ εἴπῃ σοι, ἀποθνήσκει ἡ ψυχή μου διὰ πρᾶγμα κρυπτόν, δὸς αὐτῷ τόπον φυγεῖν, καὶ μὴ ἐάσῃς αὐτὸν οἰκῆσαι μετὰ σοῦ.

Δ'. Ἡσυχάζων δὲ ἐν τῷ κελλίῳ σου[3], τύπωσον σεαυτὸν ἐν τῷ ἐσθίειν, διδοὺς τὴν χρείαν τῷ σώματί σου, ἵνα βαστάξῃ σε ποιῆσαι τὰς λειτουργίας σου, καὶ ἵνα μὴ θέλῃς παραβαλεῖν ἔξω· μηδὲν δὲ ἔσθιε ἐν ἡδονῇ, ἐν ἐπιθυμίᾳ γεύσεως, εἴτε καλὸν εἴτε κακόν. Ἐὰν δὲ γένηται ἀνάγκη ἐπισκέψεως, εἴτε πρὸς ἀδελφὸν εἴτε πρὸς κοινόβιον, πᾶν ἡδὺ εὑρισκόμενον, μὴ δῷς τῷ σώματί σου εἰς πλησμονήν, ἵνα θελήσῃ εὐθέως ἐλθεῖν εἰς τὸ κελλίον, καὶ μὴ προδότης ἑαυτοῦ γένηται. Ἐὰν πείθωσι τὴν καρδίαν οἱ δαίμονες εἰς ἄσκησιν ὑπὲρ τὴν δύναμίν σου, μὴ ἀκούσῃς αὐτῶν, θερμαίνουσι[4] γὰρ τὸν ἄνθρωπον εἰς πᾶν πρᾶγμα εἰς ὃ οὐ δύναται, ἕως οὗ ἐμπέσῃ εἰς τὰς χεῖρας αὐτῶν καὶ χαρῶσιν αὐτόν· ἅπαξ δὲ ἔσθιε[5] τῆς ἡμέρας[6] καὶ δὸς τὴν χρείαν τῷ σώμα-

1) Κλίμαξ Ἰωάν. σχόλ. ιστ'. λογ. Πατρολ. τόμ. 88 σ. 1081.
2) Εὐεργετ. βιβλ. γ'. ὑπόθ. ιη'. σ. 53.
3) « « β'. » » σ. 58 καὶ 62.
4) Ἐντεῦθεν ἄρχεται πάλιν ὁ Πατριαρχ. κῶδιξ.
5) Εὐεργετ. βιβλ. β'. ὑπόθ. ιη'. σ. 57 καὶ 63.
6) Νηστεύετε καθ' ἑκάστην ἡμέραν μέχρι τῆς ἐνάτης, ἐξαιρουμένου τοῦ σαββάτου καὶ τῆς Κυριακῆς (μεγ. Ἀντων. καν. 3).

τί σου, ὥστε ἀναστῆναί σε ἔτι θέλοντα,[1] τὴν δὲ ἀγρυπνίαν σου[2] ποίησον ἐν σεμνότητι, καὶ μὴ ἀποστερήσῃς τὸ σῶμά σου τῆς χρείας αὐτοῦ, ἀλλὰ τέλεσον τὰς λειτουργίας σου μετὰ ἐπιεικείας καὶ γνώσεως, μήποτε ἐκ τῆς πολλῆς ἀγρυπνίας σκοτωθῇ ἡ ψυχή[3] ἐκ τοῦ σταδίου, ἀλλὰ τὸ ἥμισυ τῆς νυκτὸς ἀρκεῖ σοι εἰς τὰς λειτουργίας σου[4], καὶ τὸ ἥμισυ εἰς τὴν ἀνάπαυσιν τοῦ σώματός σου· ποίησον δὲ δύο ὥρας πρὸ τοῦ κοιμηθῆς, εὐχόμενος καὶ ψάλλων, καὶ ἀνάπαυσον σεαυτόν, καὶ ὅταν ὁ Κύριος σὲ ἀναστήσῃ, ποίησον τὴν λειτουργίαν σου ἐν σπουδῇ· ἐαν ἴδῃς τὸ σῶμά σου ὀκνοῦν, εἰπὲ αὐτῷ, θέλεις τὴν ἀνάπαυσιν εἰς τὸν βραχὺν καιρὸν τοῦτον, καὶ ριφθῆναι εἰς τὸ σκότος τὸ ἐξώτερον; καὶ ἐὰν κατὰ μικρὸν ἀναστήσῃς σεαυτὸν, ἔρχεταί σοι ἡ δύναμις. Μὴ σχῇς φιλίαν[5] μετὰ ἀνθρώπων, περὶ ὧν ἡ συνείδησίς σου ἑτέρους[6] γνῶναι, ἵνα μὴ πρόσκομμα δῷς ἐν γνώσει. Ἐὰν ᾖς ἐν μοναστηρίῳ καὶ ἔχῃς δοῦλον[7] καὶ κρατήσῃς αὐτόν, ὑβρίζεις τὸ σχῆμα, ἐὰν δὲ χαρίσῃς αὐτὸν ἀδελφῷ[8], ἥμαρτες εἰς Θεόν· ἀλλ' ἢ ἀπόλυσον αὐτὸν καὶ ἀπέλθῃ, ἢ ποίησον αὐτὸν ἐλεύθερον· ἐὰν δὲ θέλῃ μοναχὸς γενέσθαι, αὐτὸς ὄψεται, σὺ δὲ μὴ ἐάσῃς αὐτὸν μετὰ σοῦ, οὐκ ὠφελεῖ γὰρ τὴν ψυχήν σου.

Ε'. Ἐὰν ᾖς ἐν πολιτείᾳ κακουχῶν τῷ σώματί σου διὰ τὸν Θεόν[9], καὶ ἡ ἀνθρωπότης ζηλώσῃ καὶ τιμήσῃ σε δι' αὐτήν, ἄφες αὐτὴν καὶ ἐπιβαλοῦ εἰς ἄλλην, ἵνα μὴ ὁ κόπος σου εἰς ἀργὸν γένηται. Ἐὰν δὲ παρῆλθες τῇ κενοδοξίᾳ μὴ πρόσχες τῇ

---

1) Ὅρος ἐγκρατείας, ὃν οἱ πατέρες παρέδωκαν οὗτός ἐστι, τὸ μεταλαμβάνειν τινὰ τροφῆς ἔτι τῆς ὀρέξεως ἐγκειμένης ταύτης ἀπέχεσθαι (Κασσιαν. περὶ τῶν ὀκτὼ τῆς κακίας λογισμῶν. Πατρολ. τόμ. 28 σ. 873, ὅρα καὶ Φιλοκαλ. τόμ. α.

2) Εὐεργετ. βιβλ. β'. ὑπόθ. ιγ'. σ. 44.

3) Καὶ φύγῃ ἐκ τοῦ σταδίου. Σιναΐτ. κωδ.

4) Βαρσανουφ. ἀπόκρ. πγ'. σ. 44

5) Μετὰ τὴν λέξιν φιλίαν τὸ λατ. κείμ. λέγει : qui tibi sunt aliorum etiam hominum familiaritatem conciliaturi» τῆς λέξεως συνειδήσεως ἐλλειπούσης.

6) Φοβεῖται. Κλίμαξ Ἰωάν. σχόλ. ιστ'. τοῦ κστ'. λόγ. Πατρολ. τόμ. 88 σ. 1080.

7) Εὐεργ. βιβλ. δ'. ὑπόθ. α'. σ. 5.

8) Ἀντὶ τοῦ »Ἐὰν δὲ χαρίσῃς αὐτὸν ἀδελφῷ» τὸ λατ. κείμ. γράφει : Sin eum ut fratrum diligis».

9) Εὐεργ. βιβλ. ὑπόθ. γ' κστ' σ. 69.

ἀνθρωπότητι εἰδώς, ὅτι, ὃ ποιεῖς, συμπείθεταί σοι ὁ Θεός. Ἐὰν ἀποτάξῃ[1], μηδὲν ἐάσῃς σεαυτῷ πάντῃ, καὶ ἐὰν ἴδῃς σεαυτὸν θέλοντα περιελθεῖν, ἀλλὰ μᾶλλον κοπιάσει τὸ σῶμά σου ἐν τῷ ἐργοχείρῳ σου. ἵνα ἡσυχάσῃς ἐν τῷ κελλίῳ σου μετὰ ἐπιεικείας, ἐσθίων τὸν ἄρτον σου. Ἐὰν ἀπέλθῃς εἰς πόλιν[2] πωλῆσαι τὸ ἐργόχειρόν σου, μὴ φιλονεικήσῃς εἰς τὴν τιμὴν αὐτοῦ, ὡς οἱ κοσμικοί, ἀλλὰ δὸς αὐτῷ ὡς δήποτε, ἵνα μὴ ἀπολέσῃς τὴν δύναμιν τοῦ κελλίου σου. Ἐὰν ἀγοράσῃς τίποτε, ᾧ[3] χρείαν ἔχεις, μὴ φιλονεικήσῃς, ὅτι, εἰ μὴ τόδε, οὐ παρέχω εἰς αὐτό, ἀλλ' εἰ θέλεις αὐτό, βίασαι σεαυτὸν ὀλίγον, εἰ δὲ οὐκ ἔχεις τὴν τιμὴν αὐτοῦ, ἔασον αὐτὸ ἐν σιωπῇ. Ἐὰν δὲ ταράξωσί σε οἱ λογισμοί, ὅτι ποῦ εὑρίσκεις, εἰπὲ αὐτῷ, ὅτι ἤδη ὅλως ἐγενόμην ὡς πάντες οἱ ἅγιοι, οἱ πειρασθέντες ὑπὸ τοῦ Θεοῦ ἐν πτωχείᾳ, ἕως οὗ εἶδε τὴν προαίρεσιν αὐτῶν πιστὴν οὖσαν, καὶ ἤνεγκεν αὐτοὺς εἰς πλατυσμόν· Ἐὰν παράθηταί σοι ἀδελφὸς σκεῦος, καὶ χρείαν αὐτοῦ σχῇς ἐν ἀνάγκῃ, μὴ ἅψῃ αὐτοῦ, ἐκτὸς αὐτοῦ, ἐὰν μὴ εἴπῃς αὐτῷ. Ἐὰν ἀδελφὸς εἴπῃ σοι ἀπερχομένῳ ἐπὶ ξένης ἀγόρασόν μοι σκεῦος, ἐὰν δύνῃ ἀγοράσαι αὐτό, ἀγόρασον κακεῖνο[4]. Ἐὰν δὲ μένῃς μετὰ ἄλλων, μὴ ποιήσῃς αὐτὸ παρὰ γνώμην αὐτῶν, ἐπεὶ θλίψεις τοὺς συνοικοῦντάς σοι. Ἐὰν ἀνάγκη[5] γένηταί σοι παραβαλεῖν εἰς τὴν κώμην σου διὰ πρᾶγμα, φύλαξον σεαυτὸν ἀπὸ τῶν κατὰ σάρκα συγγενῶν, μὴ παρρησιάσασθαι μετ' αὐτῶν, μήτε συμμῖξαι σεαυτὸν μετὰ τῶν λόγων αὐτῶν. Ἐὰν ἐν χρήσει λάβῃς τίποτε ἀπὸ τοῦ ἀδελφοῦ σου, μὴ ἀμελήσῃς, ἀλλὰ φρόντισον ἀποδοῦναι αὐτῷ ἐν τάχει· ἐὰν δέ ἐστι τὸ σκεῦος ἐργα-

1) Τῷ κόσμῳ· Εὐεργετ. βιβλ. δ'. ὑπόθ. α'. σ. 5.

2) Εὐεργετ. βιβλ. γ'. ὑπόθ. μ'. σ. 122. Οἱ μοναχοί, οἵτινες παρέτεινον τὴν διαμονὴν αὐτῶν ἐν ταῖς πόλεσιν ἢ κώμαις, προφάσει τῆς πωλήσεως τοῦ ἰδίου ἐργοχείρου, πολλάκις περιέπιπτον εἰς πειρασμούς· ἐν τῷ Γεροντικῷ καὶ ἐν τοῖς λοιποῖς πατράσι, πλεῖσται διεσώθησαν τοιαύτης φύσεως πληροφορίαι. Τούτου ἕνεκεν παραινεῖ ἐνταῦθα ὁ Πατήρ, ὅπως οἱ μοναχοὶ πωλῶσι τὸ ἐργόχειρον «Μικρὸν τοῦ ἴσου ζημιοῦντες» (Εὐάγριος) ἑαυτούς, ἵνα μὴ ἀπολέσωσιν ἐν τῷ κόσμῳ πᾶν ὅ,τι διὰ κόπων ἀπέκτησαν ἐν τῷ κελλίῳ.

3) Οὗ.

4) Κακείνῳ.

5) Εὐεργετ. βιβλ. α'. ὑπόθ. ιε'. σελ. 49.

λεῖον, ἀπόδος αὐτό, εὐθὺς μετὰ τὸ ποιῆσαι τὸ ἔργον σου· ἐὰν δὲ κλασθῇ παρὰ σοῦ, ποίησον αὐτὸ ἀνώτερον, καὶ μὴ ἀμελήσῃς. Ἐὰν ἐν χρήσει παράσχῃς τίποτε ἀδελφῷ πτωχῷ, καὶ ἴδῃς, ὅτι οὐκ ἔχει ἀποδοῦναι αὐτό, μὴ θλίψῃς αὐτὸν μηδὲ στενώσῃς ἐν οἱῳδήποτε πράγματι, ἐάν τε κέρμα ἐστίν, ἐάν τε ἱμάτιον, πᾶν ὅ δέδωκας αὐτῷ κατὰ τὴν δύναμίν σου.

Στ'. Ἐὰν ἀπέλθῃς εἰς τόπον οἰκῆσαι, καὶ λάβῃς κελλίον, καὶ οἰκοδομήσῃς καὶ ἀναλώσῃς εἰς αὐτό, καὶ μετὰ καιρὸν ἐάσῃς αὐτὸ καὶ μείνῃ ἐν αὐτῷ ἀδελφὸς καὶ μετὰ καιρὸν θελήσῃς ὑποστρέψαι ἐκεῖ, μὴ ἐκβάλῃς αὐτόν, ἀλλὰ ζήτησον σεαυτῷ ἄλλο κελλίον, ἵνα μὴ ἁμάρτῃς εἰς Θεόν. Ἐὰν δέ, τῇ ἑαυτοῦ προθέσει, θέλῃ ἀναχωρῆσαι, ἀθῶος εἶ· εἰ δέ, εἴασας σκεύη ἐν τῷ κελλίῳ καὶ ἠνάλωσεν αὐτά, μὴ ζητήσῃς αὐτὰ παρ' αὐτοῦ. Ἐὰν ἀναχωρήσῃς ἀπὸ κελλίου, βλέπε τὴν χρείαν αὐτοῦ μὴ λάβῃς μετὰ σοῦ, ἀλλ' ἔασον αὐτὴν [1] διὰ ἀδελφὸν πτωχόν, καὶ ὁ Θεὸς οἰκονομήσει σε ἐκεῖ, ὅπου ἂν ἀπέρχῃ. Πάντα λογισμὸν πολεμοῦντά σε μὴ αἰσχυνθῇς εἰπεῖν τῷ μείζονί σου, καὶ κουφίζεται ἀπὸ σοῦ, χώραν [2], γὰρ οὐκ ἔχουσι τὰ πνεύματα, εἰ μὴ εἰς ἄνθρωπον σιωπῶντα τοὺς λογισμοὺς αὐτοῦ, εἴτε καλοί εἰσιν εἴτε κακοί. Φύλαξον σεαυτόν, μεταλαμβάνων τῆς προσφορᾶς, μὴ ἔχειν κακίαν μετὰ τοῦ ἀδελφοῦ σου, ἐπεὶ σεαυτὸν ἀπατᾷς. Ἐὰν ἀποκαλυφθῶσί σοι λόγοι τῆς Γραφῆς, τοῦ ἀλληγορῆσαι αὐτούς, ἀλληγόρησον, φύλαξον δὲ σεαυτὸν μὴ καταργῆσαι τὸ γράμμα, ἵνα μὴ πιστεύσῃς τῇ γνώσει σου ὑπὲρ τὴν Γραφὴν τὴν ἁγίαν, σημεῖον γάρ ἐστι τῆς ὑπερηφανείας. Ἐὰν ἀπατηθῇ ὁ ἀδελφός σου ἐν λόγοις αἱρετικῶν καὶ πλανηθῇ ἀπὸ τῆς πίστεως, μὴ γινώσκων, καὶ ἐπιστρέψῃ πάλιν, μή παρίδῃς αὐτόν, ἀγνωσία γὰρ ἐγένετο αὐτῷ. Φύλαξον σεαυτὸν [3] μὴ διαλέγεσθαι μετὰ αἱρετικῶν, θέλων στῆσαι τὴν πίστιν, μήποτε ὁ ἰὸς τῶν αἰσχρῶν λόγων αὐτῶν πλήξῃ σε. Ἐὰν εὕρῃς βιβλίον, λεγόμενον αἱρετικόν, μὴ

1) Ἐν αὐτῷ δι' ἀδελφόν. Σ. κώδ.
2) Ἐν τῷ λατ. κειμ. Gaudium percipiunt.
3) Εὐεργετ. βιβλ. δ. ὑπόθ. ιη' σ. 68

θελήσῃς αὐτὸ ἀναγνῶναι, μήπως πληρώσῃ τὴν καρδίαν σου ἰοῦ θανάτου, ἀλλ', εἰς ὃ ἐφωτίσθῃς, κάτεχε μηδὲ προσθῇς μηδὲ ἀφέλῃς ἀπ' αὐτοῦ. Φύλαξον [1] σεαυτὸν ἐκ τῆς ψευδωνύμου γνώσεως, ἥτις ἀνθίσταται «τῇ ὑγιαινούσῃ διδασκαλίᾳ» (Α'. Τιμ. α'. 10), καθὼς εἶπεν ὁ ἀπόστολος. Ἐὰν νεώτερος ἦς [2], μήπω ποιήσας τὴν δουλείαν τοῦ σώματος, καὶ ἀκούσῃς ἀρετὰς ὑψηλὰς τῶν Πατέρων, μὴ ἐπιδράμῃς αὐταῖς, θέλων αὐτὰς καταλαβεῖν ἐν ἀναπαύσει, οὐ γὰρ ἔρχονταί σοι, ἐὰν μὴ ποιήσῃς τὴν γεωργίαν αὐτῶν, ἐὰν δὲ ποιήσῃς, ἀφ' ἑαυτῶν ἔρχονταί σοι.

Ζ'. Φύλαξον σεαυτὸν ἀπὸ τῆς ἀκηδίας [3], αὕτη γὰρ ἀφανίζει τὸν καρπὸν τοῦ μοναχοῦ. Ἐὰν ἀγωνίζῃ πρὸς πάθος, μὴ ἐκκακήσῃς ἀλλὰ παράρριψον σεαυτὸν τῷ Θεῷ, λέγων πρὸς αὐτόν, βοήθησόν μοι τὸν ταλαίπωρον [4], ἐν ὅλῃ καρδίᾳ, καὶ ἀναπαύῃ. Ἐὰν αἰσχρότης [5] σπαρῇ ἐν τῇ καρδίᾳ σου, καθημένου σου ἐν τῷ κελλίῳ σου, βλέπε, ἀνθίστασο τῇ ψυχῇ σου, μήποτε ἄρξῃ σου. Σπούδασον μνησθῆναι τοῦ Θεοῦ, ὅτι προσέχει σοι, καί, ἃ διαλογίζῃ ἐν τῇ καρδίᾳ σου, ἀποκεκαλυμμένα ἐνώπιον αὐτοῦ ἐστιν. Εἰπὲ οὖν τῇ ψυχῇ σου, εἰ φοβῇ ἁμαρτωλοὺς ὁμοίους σου, τοῦ μὴ ἰδεῖν τὰς ἁμαρτίας σου, πόσῳ μᾶλλον τὸν Θεόν [6], προσέχοντα ἐπὶ πάντας, καὶ ἐκ τῆς συμβουλῆς ταύτης ἀποκαλύπτεται ὁ φόβος τοῦ Θεοῦ τῇ ψυχῇ, καί, ἐὰν μείνῃς μετ' αὐτοῦ ἀκίνητος, μένεις ἐν τοῖς πάθεσι, καθὼς γέγραπται: «Οἱ πεποιθότες ἐπὶ Κύριον ὡς ὄρος Σιών, οὐ σαλευθήσεται εἰς τὸν αἰῶνα ὁ κατοικῶν Ἱερουσαλὴμ» (Ψαλ. ρκδ'. 1). Ἐὰν ἦς ἐν ἀσκήσει, ἀνθιστάμενος τῇ ἔχθρᾳ [7], καὶ ἴδῃς αὐτὴν ἀσθενήσασαν ἀπὸ σοῦ καὶ φεύγῃ εἰς τὰ ὀπίσω, μὴ χαρῇ σου ἡ καρδία, ὅτι ἡ κακία τῶν πνευμάτων ὀπίσω αὐτῶν ἐστιν, ἑτοιμάζουσι γὰρ πόλεμον χείρονα τοῦ πρώτου καὶ ἐῶσιν αὐτὸν ὀπίσω τῆς πόλεως, καὶ ἐντέλλονται αὐ-

1) Δέ·
2) Εὐεργ. βιβλ. δ'. ὑπόθ. κδ'· σ. 95.
3) » βιβλ. γ' ὑπόθ. ιγ', σ. 37.
4) Τῷ ταλαιπώρῳ.
5) Εὐεργ' βιβλ. δ'. ὑπόθ. ζ'. σ. 43.
6) Τόν.
7) Φιλοκαλία τόμ. α'. σ. 17 κεφ. β'

τῷ τοῦ μὴ κινηθῆναι καί, ἐὰν ἀντιστῇς ἀντιβαίνων αὐτοῖς, φεύγουσιν ἀπὸ προσώπου σου ἐν ἀσθενείᾳ, καὶ ἐὰν ὑψωθῇ ἡ καρδία σου, ὅτι ἐδίωξας αὐτούς, καὶ καταλείψῃς τὴν πόλιν, οἱ μὲν ἐγείρονται ἐκ τῶν ὀπίσω, οἱ δὲ ἵστανται, καὶ ἐῶσι τὴν ταλαίπωρον ψυχὴν ἐν μέσῳ αὐτῶν μὴ ἔχουσαν ἔτι καταφυγήν [1]· ἡ πόλις οὖν ἐστι τὸ παραρρίπτειν ἑαυτὸν ἐνώπιον τοῦ Θεοῦ ἐν ὅλῃ καρδίᾳ, καὶ σώζει σε ἐκ πάντων τῶν πολέμων τοῦ ἐχθροῦ. Ἐὰν εὔχῃ τῷ Θεῷ [2] περὶ πολέμου, ἵνα λάβῃ αὐτὸν ἀπὸ σοῦ, καὶ οὐκ εἰσακούῃ σου, μὴ ἐκκακήσῃς, γινώσκει γὰρ τὸ συμφέρον σου περισσόν σου· ἀλλ' ἐὰν εὔχῃ τῷ Θεῷ περὶ παντὸς αἰτήματός σου ἐν τῷ καιρῷ τοῦ πολέμου [3], μὴ εἴπῃς λάβε ἀπ' ἐμοῦ τόδε ἢ δός μοι τόδε, ἀλλ' εὖξαι λέγων οὕτω : Δέσποτα Ἰησοῦ Χριστέ, βοήθησόν μοι, καὶ μὴ ἐάσῃς με ἁμαρτῆσαι εἰς σέ, ὅτι πεπλανημένος εἰμί, καὶ μὴ ἐάσῃς με ἐξακολουθῆσαι τῷ θελήματί μου, μὴ ἐάσῃς με ἀπολέσθαι ἐν ταῖς ἁμαρτίαις μου, οἰκτείρησον τὸ πλάσμα σου, μὴ ὑπερίδῃς με, ὅτι ἀσθενής εἰμι, μὴ ἐγκαταλίπῃς με, ὅτι πρὸς σὲ κατέφυγον, ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι» (Ψαλμ. μ'. 5), ἐνώπιόν μου εἰσι πάντες οἱ θλίβοντές με καὶ οὐκ ἔστι μοι καταφυγή, εἰ μὴ πρὸς σὲ Κύριε, καὶ σῶσόν με ἕνεκεν τῶν οἰκτιρμῶν σου, αἰσχυνθήτωσαν πάντες οἱ ἐπανιστάμενοι ἐπ' ἐμέ, οἱ ζητοῦντες τὴν ψυχήν μου τοῦ ἐξολοθρεῦσαι αὐτήν, ὅτι σὺ Κύριε δυνατὸς εἶ ἐν πᾶσι, καὶ διὰ σοῦ ἐστιν ἡ δόξα τῷ Θεῷ καὶ Πατρὶ καὶ Πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν. Καὶ τότε ἡ συνείδησις λαλεῖ μετὰ τῆς καρδίας σου κρυπτῶς, ἕνεκεν ποίου πράγματος οὐκ εἰσακούει σου ὁ Θεός, σὺν δέ ἐστι λοιπὸν μὴ καταφρονεῖν, ἀλλ', εἴτι λέγει ποιῆσαι, ποίησον, ἀδύνατον γάρ ἐστι τὸν Θεὸν μὴ εἰσακοῦσαι τοῦ ἀνθρώπου, ἐὰν μὴ παρακούσῃ ὁ ἄνθρωπος τοῦ Θεοῦ· οὐκ ἔστι γὰρ μακρὰν ἀπὸ τοῦ ἀνθρώπου, ἀλλὰ τὰ θελήματα ἡμῶν οὐκ ἐᾷ αὐτὸν ἀκοῦσαι ἡμῶν. Μηδεὶς οὖν ἀπατήσῃ σε, ὅτι καθάπερ ἡ γῆ οὐ δύ-

---

1) Εὐεργ. βιβλ. δ' ὑπόθ. ια'. σ. 57.

2) Ἐν τῷ λατ. κειμ. ἐλλείπουσί τινα τῆς προηγουμένης περιόδου·

3) Ἐν τῷ λατ. κειμ. τὸ : «ἀλλ' ἐὰν εὔχῃ τῷ Θεῷ περὶ παντὸς αἰτήματός σου ἐν τῷ καιρῷ τοῦ πολέμου» δὲν ὑπάρχει.

ναται καρποφορῆσαι, ἄνευ σπέρματος καὶ ὕδατος ἀφ' ἑαυτῆς, οὕτως ἀδύνατον τὸν ἄνθρωπον καρποφορῆσαι χωρὶς κακοπαθείας καὶ ταπεινοφροσύνης.

Η'. Στῶμεν οὖν, ἀγαπητοί[1], ἐν φόβῳ Θεοῦ, φυλάττοντες καὶ τηροῦντες τὸ πρακτικὸν τῶν ἀρετῶν, μὴ παρέχοντες προσκόμματα τῇ συνειδήσει ἡμῶν, ἀλλὰ προσέχοντες ἑαυτοῖς ἐν φόβῳ Θεοῦ, ἕως οὗ καὶ αὐτὴ ἐλευθερώσῃ ἑαυτὴν μεθ' ἡμῶν, ὅπως γένηται μεταξὺ ἡμῶν καὶ αὐτῆς ἕνωσις, καὶ λοιπὸν αὐτὴ γίνεται ἡμῖν φύλαξ, δεικνύουσα ἡμῖν ἕκαστον εἰς[2] ὃ ἐκκόπτομεν, ἐὰν δὲ μὴ ὑπακούσωμεν αὐτῆς, ἀποστήσεται ἀφ' ἡμῶν καὶ καταλείπει ἡμᾶς καὶ ἐμπίπτομεν εἰς τὰς χεῖρας τῶν ἐχθρῶν ἡμῶν, καὶ οὐκ ἐλεοῦσιν ἡμᾶς οὐκέτι. Καθὼς ἐδίδαξεν ἡμᾶς ὁ Δεσπότης ἡμῶν, λέγων: «Γνῶθι τὸν ἀντίδικόν σου ὡς εἶ ἐν τῇ ὁδῷ μετ' αὐτοῦ, μήποτέ σε παραδῷ τῷ κριτῇ καὶ ὁ κριτὴς τῷ ὑπηρέτῃ καὶ βληθῇς εἰς φυλακήν· ἀμὴν ἀμὴν λέγω σοι οὐ μὴ ἐξέλθῃς ἐκεῖθεν, ἕως οὗ ἀποδῷς καὶ τὸν ἔσχατον κοδράντην» (Ματθ. ε'. 25). Λέγουσι τὴν συνείδησιν[3] ἀντίδικον εἶναι, ὅτι ἀνθίσταται τῷ ἀνθρώπῳ, θέλοντι ποιῆσαι τὰ θελήματα τῆς σαρκὸς αὐτοῦ, καὶ ἐὰν μὴ ἀκούσῃ αὐτῆς ὁ ἄνθρωπος, παραδίδωσιν αὐτὸν τοῖς ἐχθροῖς αὐτοῦ. Διὰ τοῦτο πενθῶν ὁ Ὠσηὲ τὸν Ἐφραὶμ ἔλεγεν: «Κατεδυνάστευσεν Ἐφραὶμ τὸν ἀντίδικον αὐτοῦ» καὶ «Κατεπάτησε κρίσιν» (Ὠσηέ, ε'. 11), ἐζήτησεν Αἴγυπτον καὶ βίᾳ ἐλήφθη εἰς Ἀσσυρίους· τοῦτό ἐστιν ἡ Αἴγυπτος, ὅτι ἐζήτησεν ἡ καρδία τὰ ἴδια θελήματα τῆς σαρκός, τὸ δὲ ληφθῆναι βίᾳ εἰς Ἀσσυρίους, τοῦτό ἐστιν, ὅτι, θέλων καὶ μὴ θέλων, δουλεύει τοῖς ἐχθροῖς. Φροντίσωμεν οὖν ἑαυτῶν, ἀγαπητοί, τοῦ μὴ ἐμπεσεῖν ἡμᾶς εἰς τὰς χεῖρας τοῦ θελήματος ἡμῶν τοῦ κατὰ σάρκα, ἵνα μὴ λάβῃ ἡμᾶς βίᾳ ἐν Ἀσσυρίοις, καὶ ἀκούσωμεν τοῦ πικροῦ λόγου, ὅτι ἦλθεν ὁ βασιλεὺς τῶν Ἀσσυρίων ἐπὶ τὴν τοῦ Ἰσραήλ, καὶ μετῴκησε τὸν Ἐφραὶμ

---

1) Φιλοκαλία, τόμ. α' σ. 18 κεφ. γ'.

2) Εἰς; παρέλκει.

3) Ἀββᾶ Δωροθ. λόγ. γ'. περὶ Συνειδήσεως σ. 1653, καὶ ἐν τῷ περὶ ἀταράχως καὶ εὐχαρίστως ὑπομένειν τοὺς πειρασμοὺς λόγῳ ιγ'. σ. 1765.

*

εἰς τὸν Ἰσραὴλ ἐν Ἀσσυρίοις, καὶ κατῴκησεν αὐτοὺς ἐν Ἐλαία καὶ ἐν Ἀβὼρ ποταμῶν Χουζᾶ (Δ' Βασιλ. ιζ'. 6)[1], καί εἰσιν ἐκεῖ ἕως τῆς σήμερον ἡμέρας. Τότε ἀπέστειλεν ὁ βασιλεὺς Ἀσσυρίων ἐκ τοῦ ἔθνους αὐτοῦ, καὶ ἐποίησεν αὐτοῖς οἰκῆσαι ἐν τῷ Ἰσραήλ, καὶ ἕκαστος αὐτῶν ἐποίησε τὸ γλυπτὸν αὐτοῦ καὶ ἐλάτρευσεν αὐτό, καὶ ἰδοὺ ἐκεῖ εἰσιν ἕως τῆς σήμερον· ταῦτα δὲ γέγονε τῷ Ἐφραίμ, ὅτι, «κατεδυνάστευσε τὸν ἀντίδικον αὐτοῦ καὶ κατεπάτησε κρίσιν».

Θ' Ἐγνώκατε τοίνυν, ὦ ἀδελφοί, τοὺς ἐξακολουθήσαντας τοῖς θελήμασιν αὐτῶν τοῖς πονηροῖς καὶ καταπατήσαντας τὴν ἰδίαν συνείδησιν, τί κατέλαβεν αὐτούς; Μὴ οὖν ζηλώσωμεν αὐτούς, ἀγαπητοί, ἀλλὰ ζηλώσωμεν πάντας τοὺς ἁγίους τοὺς μὴ ἀκούσαντας[2] τῇ ἁμαρτίᾳ μέχρι θανάτου ἀλλ' ὑπακούσαντας τῇ ἁγίᾳ αὐτῶν συνειδήσει, καὶ κληρονομήσαντας τὴν οὐράνιον βασιλείαν· ἕκαστος γὰρ αὐτῶν ἐν τῇ ἰδίᾳ γενεᾷ ἐτελειώθη ἐν ἁγιότητι, καὶ ἐγένοντο τὰ ὀνόματα αὐτῶν ἄσβεστα ἐν πάσαις ταῖς γενεαῖς. Λάβωμεν τύπον[3] τοῦ ἀγαπητοῦ Ἰακώβ, τοῦ ὑπακούσαντος, ἐν ἅπασι, τοῖς γονεῦσιν αὐτοῦ κατὰ Θεόν, ὅς, δεξάμενος τὴν εὐλογίαν, ἠθέλησε πορεύεσθαι εἰς τὴν Μεσοποταμίαν, κτήσασθαι ἑαυτῷ υἱοὺς ἐκεῖ· οὐκ ἐβουλεύσατο[4] γὰρ ἑαυτῷ κτήσασθαι υἱοὺς ἐκ τῶν θυγατέρων τῶν Χαναναίων, αἵτινες ἤριζον τοῖς γονεῦσιν αὐτοῦ. Τότε, λαβὼν τὴν ῥάβδον αὐτοῦ καὶ τὸν φακὸν τοῦ ἐλαίου, εἰς τὸν τόπον ἦλθε Βαιθήλ, ὃ ἑρμηνεύεται οἶκος Θεοῦ καὶ ἐκοιμήθη ἐκεῖ, καὶ εἶδεν ἐν ἀποκαλύψει τῇ νυκτὶ τύπον κλίμακος, φθανούσης ἀπὸ τοῦ οὐρανοῦ εἰς τὴν γῆν, καὶ ἀγγέλους Θεοῦ ἀναβαίνοντας δι' αὐτῆς «ὁ δὲ Κύριος ἐπεστήρικτο ἐπ' αὐτῆς» (Γενέσ. κη'. 13)· τοῦτο σημεῖόν ἐστι τῷ ἀρχομένῳ δουλεύειν Θεῷ, ὅτι ἐν ἀρχῇ μὲν ἀποκαλύπτεται αὐτῷ

1) Τὸ κείμενον τῆς Γραφῆς ἔχει οὕτω: «...Συνέλαβε βασιλεὺς Ἀσσυρίων τὴν Σαμάρειαν, καὶ ἀπῴκισεν Ἰσραὴλ εἰς Ἀσσυρίους, καὶ κατῴκισεν αὐτοὺς ἐν Ἀλαέ, καὶ ἐν Ἀβὼρ ποταμοῖς Γαζάν...».
2) Ὑπακούσαντας.
3) Εὐεργετ. βιβλ. δ'. ὑπόθ. κδ'. σ. 94.
4) Ἐβούλετο.

ὁ τύπος τῶν ἀρετῶν, ἀλλ', ἐὰν μὴ ποιήσῃ τὸν κόπον αὐτῶν, οὐ φθάνει τὸν Θεόν. Ἀνέστη Ἰακὼβ καὶ ἔθετο διαθήκην μετὰ τοῦ Θεοῦ εἶναι αὐτὸν δοῦλον αὐτοῦ, καὶ ἐνεδυνάμωσεν αὐτὸν λέγων, ἔσομαι μετὰ σοῦ καὶ φυλάξω σε· τότε ἦλθεν εἰς Μεσοποταμίαν λαβεῖν ἑαυτῷ γυναῖκα ἐν τῷ τόπῳ ἐκείνῳ, καὶ ὅτε εἶδε τὴν Ραχήλ, θυγατέρα τοῦ ἀδελφοῦ τῆς μητρὸς αὐτοῦ, ἠγάπησεν αὐτήν, καὶ ἐδούλευσε δι' αὐτὴν ἔτη ἑπτά, καὶ οὐκ ἐδόθη αὐτῷ, ἕως οὗ λάβῃ τὴν Λείαν πρότερον· καὶ γίνεται στεῖρα ἡ Ραχήλ, ἕως οὗ ποιήσῃ τὴν δουλείαν αὐτῆς ἄλλα ἑπτὰ ἔτη. Οὗτός ἐστιν ὁ λόγος. Ὀνομάζεται ἡ Μεσοποταμία τὸ εἶναι μέσον δύο ποταμῶν, ὄνομα τῷ πρώτῳ Τίγρις, τῷ δὲ δευτέρῳ Εὐφράτης, ὁ πρῶτος ἐκπορεύεται ἄντικρυς Ἀσσυρίων, ὁ δεύτερος οὐκ ἔχει ἐχθρόν [1], ἀλλὰ καλεῖται ἐκπορευόμενος ἐν πλατυσμῷ, ὁ Τίγρις ἑρμηνεύεται διάκρισις, ὁ δὲ Εὐφράτης ἡ ταπεινοφροσύνη· Λεία λαμβάνεται εἰς τύπον τῶν σωματικῶν κόπων, Ραχὴλ δὲ τύπον ἔχει τῆς ἀληθοῦς θεωρίας. Ταῦτα δὲ συμβαίνει τῷ ἀνθρώπῳ, ὄντι ἐν Μεσοποταμίᾳ, ἵνα διὰ τῆς διακρίσεως ποιήσῃ τοὺς σωματικούς [2], ὅτι αὐτοὶ ἀνθίστανται τῇ ἔχθρᾳ τῶν Ἀσσυρίων διὰ τῆς ταπεινοφροσύνης κατὰ τὴν ἀληθῆ θεωρίαν.

Ι'. Ἀλλ' οὐκ ἐγέννησεν αὐτῷ ἡ Ραχήλ [3], ἕως οὗ ἐγέννησεν ἡ Λεία πάντα τὰ τέκνα αὐτῆς, καὶ ἐξετέλεσε τὴν δουλείαν τῆς Ραχὴλ ἄλλα ἑπτὰ ἔτη [4]. Ὅτι ἐὰν μὴ ποιήσῃ ἄνθρωπος ὅλον τὸ πρακτικόν, ἡ ἀληθὴς θεωρία οὐκ ἐλευθεροῦται αὐτῷ. Γυναῖκες [5] ἦσαν αὐτῷ ἀμφότεραι, ἠγάπα δὲ τὴν Ραχὴλ ὑπὲρ τὴν Λείαν, διότι εἶχε τοὺς ὀφθαλμοὺς ἀσθενεῖς. Ραχὴλ δὲ ἦν ὡραία σφόδρα· τοῦτό ἐστι τὸ εἰρημένον, ὅτι ἡ πρώτη αὐτοῦ γυνὴ ἀσθενεῖς εἶχε τοὺς ὀφθαλμούς, τουτέστιν εἶναι μὲν τὸν ἄνθρωπον ἐν τοῖς

1) Ἐν τῷ λατ. Initium (ἀρχή), ὅπερ ὀρθότερον.
2) Κόποις Σ. Κ. ἐν τῷ λατ. Labores.
3) Ἡ Λεία πάντα τὰ τέκνα αὐτῆς καὶ ἐξετέλεσε τὴν δουλείαν τῆς Ραχὴλ κτλ.
4) Οὗτός ἐστιν ὁ λόγος, ὅτι ἐὰν μὴ κτλ.
5) Μέν.

σωματικοῖς, μήπω δὲ ἰδεῖν τὴν δόξαν τῆς ἀληθοῦς θεωρίας[1]· δεῖ γὰρ τὴν ἔχθραν μῖξαι τὴν ἀνθρωπαρέσκειαν τῷ ἔργῳ αὐτοῦ, ἀλλὰ μὴ τούτῳ[2] μελλέτω, ἐὰν γὰρ καὶ στῇ ἡ Λεία μικρὸν τοῦ γεννῆσαι, παρέχει τῷ ἀνδρὶ αὐτῆς Ζελφὰν τὴν δούλην αὐτῆς, τότε προστίθησι τοῦ γεννῆσαι ἄνωθεν καὶ καλεῖται τὸ ὄνομα τοῦ γεννηθέντος Ἀσήρ, ὃ ἑρμηνεύεται πλοῦτος. Καὶ ὅτε, παύσεται γεννᾶν ἡ Λεία, τότε μνήσκεται[3] ὁ Θεὸς τῆς Ραχήλ· οὗτος ἐστὶν ὁ λόγος, ὅτι ἐὰν κτήσωνται οἱ σωματικοὶ κόποι τὰς αἰσθήσεις, καὶ ἐλευθερωθῶσιν ἀπὸ τῶν παθῶν, τότε ἡ ἀληθὴς θεωρία ἀποκαλύπτει τὰς ἰδίας δόξας τῷ νῷ. Εἰ καὶ ἦσαν οἱ υἱοὶ Λείας βοήθεια τῷ Ἰακώβ, ἀλλ' ἠγάπα τὸν Ἰωσὴφ ὑπὲρ πάντας, τουτέστιν, εἰ καὶ οἱ σωματικοὶ κόποι φυλάττουσιν ἀπὸ τοῦ ἐχθροῦ τὸν ἄνθρωπον, ἀλλ' ἡ ἀληθὴς θεωρία συνάπτει αὐτὸν τῷ Θεῷ. Ἀφ' οὗ γὰρ εἶδε τὸν Ἰωσήφ, ἠβουλήθη ἀπελθεῖν εἰς τοὺς γονεῖς αὐτοῦ, ἐπειδὴ εἶδεν, ὅτι ἐγεννήθη αὐτῷ[4] τῶν ἀδελφῶν αὐτοῦ. Ὅτε δέ, φησί, διεπέρασεν ὁ Ἰακὼβ πάσας τὰς παρεμβολὰς αὐτοῦ τὸν χείμαρρον Ἰαβώχ, καὶ ὑπελείφθη πέραν μόνος, ἐδέξατο[5] χαρὰν τῆς εὐλογίας τοῦ Θεοῦ, εἰπόντος αὐτῷ, οὐ κληθήσεται τὸ ὄνομά σου Ἰακὼβ, ἀλλ' Ἰσραὴλ (Γενέσ. λβ'. 28)· Ἰακὼβ ἐκλήθη, ὅτι ἐπτέρνισε τὴν ἔχθραν, ἕως οὗ ἀξιωθῇ τῆς εὐλογίας καὶ σώσῃ τὰς αἰσθήσεις αὐτοῦ, αἵτινες ἦσαν ἐν χειρὶ τῆς ἔχθρας, ὅτε δὲ ἠλευθερώθησαν αὐτῷ, τότε μετωνομάσθη Ἰσραήλ, τουτέστι νοῦς ὁρῶν Θεόν. Ἐὰν γὰρ φθάσῃ ὁ νοῦς ἰδεῖν τὴν δόξαν τῆς θεότητος, φοβεῖται αὐτὸν ἡ ἔχθρα, ὥστε, κἂν ἐλεύσεται Ἡσαῦ εἰς ἀπάντησιν αὐτοῦ ἐν πικρότητι, ἡ ταπεινοφροσύνη τοῦ Ἰακὼβ σβέννυσι τὴν κακίαν ἑαυτοῦ καὶ οὐκ αὐτὸς ἔτι πολεμεῖ αὐτόν, ἀλλὰ τὸ

---

1) Ἐν τῷ λατ. κειμ. ἀπαντᾷ ἡ ἑξῆς περίοδος : «Intermittendi sunt igitur. Quamvis enim paulum cessaverint, dabitur tamen ad illos reditus». Τὰ δὲ ἑπόμενα «Δεῖ γὰρ τὴν ἔχθραν κτλ. μέχρι τοῦ «ἐὰν καὶ στῇ ἡ Λεία» δὲν ὑπάρχουσιν ἐν τῷ λατ.

2) Αὐτῷ.

3) Μιμνήσκεται.

4) Ὁ βασιλεύς.

5) Τήν.

παραρρῖψαι ἑαυτὸν ἐνώπιον τοῦ Θεοῦ· κἂν ζηλώσῃ ἡ ἔχθρα τὸν ἄνθρωπον, θεωροῦσα τὴν μεγάλην δόξαν, ἣν κατέλαβεν, οὐ δυνήσεται βιάσασθαι αὐτόν, Θεὸς γάρ ἐστιν ὁ βοηθῶν αὐτῷ, καθὼς γέγραπται: «Ἀπόστρεψον εἰς τὴν γῆν τῆς γενέσεώς σου καὶ ἔσομαι μετὰ σοῦ» (ἔνθ᾿ ἀν. λϐ΄. 9). Λοιπὸν ἦλθεν εἰς Σαλήμ, καὶ ἠγόρασεν ἐκεῖ ἀγρόν, καὶ ᾠκοδόμησεν ἐν αὐτῷ θυσιαστήριον τῷ Κυρίῳ, τῷ ἐπακούσαντι αὐτοῦ ἐν ἡμέρᾳ θλίψεως[1]· τὸ ὄνομα Σαλὴμ ἐστιν εἰρήνη, τουτέστιν ἐὰν παρέλθῃ ὁ ἄνθρωπος τὸν πόλεμον, ἐν ᾧ ὑπερασπίζει αὐτοῦ ὁ Θεός, φθάνει εἰς τὴν εἰρήνην καὶ ἵστησι θυσιαστήριον ἐν δώδεκα λίθοις. Καὶ ἀνήνεγκεν ἐπ᾿ αὐτῷ ἐκ τῶν κόπων τῆς δουλείας, ἧς ἐποίησεν ἐν Μεσοποταμίᾳ, ἐν τῇ γῇ τῆς ἐπαγγελίας.

ΙΑ΄. Τοιοῦτος ἦν καὶ ὁ ἠγαπημένος[2] Μωϋσῆς, ὅτε ἐξήγαγε τὸν λαὸν ἐξ Αἰγύπτου, καὶ ἔσωσεν αὐτὸν ἐκ χειρὸς Φαραώ, καὶ διεπέρασεν αὐτὸν τὴν Ἐρυθρὰν θάλασσαν, καὶ εἶδε τὸν θάνατον πάντων τῶν ἐχθρῶν αὐτοῦ, καὶ ἀπέστειλεν Ἰησοῦν ἐξολοθρεῦσαι τὸν Ἀμαλήκ, αὐτὸς δὲ ἦν ἑστὼς ἐπὶ τῆς κορυφῆς τοῦ ὄρους, ὑποστηριζομένων τῶν χειρῶν αὐτοῦ ὑπὸ Ἀαρὼν καὶ Ὢρ, εἰς τὸ μὴ κατελθεῖν αὐτοῦ τὰς χεῖρας ἐκ τοῦ σημείου τοῦ σταυροῦ· καὶ ὑπέστρεψεν Ἰησοῦς μετὰ χαρᾶς, ἐξολοθρεύσας τὸν Ἀμαλήκ. Τότε ᾠκοδόμησε θυσιαστήριον ἐν δώδεκα λίθοις ὑπὸ[3] τοῦ ὄρους καὶ ὠνόμασε τὸ ὄνομα τοῦ τόπου: «Κύριός μου καταφυγή, ὅτι ἐν κρυφίᾳ χειρὶ πολεμεῖ ὁ Θεὸς» (Γενέσ. ιζ΄. 9, 15)[4], «τότε ᾠκοδόμησε θυσιαστήριον ἐν δώδεκα λίθοις ἀπὸ γενεᾶς γενεῶν»[5]. Τὸ ὄνομα τοῦ Ἀμαλὴκ ἐστιν ἀκηδία, ἐὰν γὰρ ἄρξηται φεύγειν ἄνθρωπος ἐκ τῶν θελημάτων αὐτοῦ, καὶ καταλείψῃ τὰς

---

1) Ἡ φράσις «τῷ ἐπακούσαντι αὐτοῦ ἐν ἡμέρᾳ θλίψεως» δὲν ἀναγινώσκεται ἐν τῷ λατιν.

2) Ἐν τῷ λατ. Deo.

3) Μᾶλλον, ἐπί.

4) Ἐν τῷ λατ. Cum Amalec.

5) Τά: «Τότε ᾠκοδόμησε θυσιαστήριον ἐν δώδεκα λίθοις ἀπὸ γενεᾶς γενεῶν», ἂν δὲν εἶνε ἐπανάληψις τῶν προηγουμένων, δὲν ὑπάρχουσιν ἐν τῷ λατ. κειμ.

ἁμαρτίας αὐτοῦ καὶ προσφεύγῃ τῷ Θεῷ, ἡ ἀκηδία πρώτη πολεμεῖ αὐτῷ, βουλομένη πάλιν ὑποστρέψαι αὐτὸν εἰς τὰς ἁμαρτίας αὐτοῦ· τὸ δὲ ἐξαλεῖφον αὐτόν ἐστιν ἡ πρὸς τὸν Θεὸν ἀδολεσχία, τὸ δὲ περιποιοῦν τὴν ἀδολεσχίαν ἐστὶν ἡ ἐγκράτεια, ὁ δὲ φυλάσσων τὴν ἐγκράτειάν ἐστιν ὁ σωματικὸς κόπος, καὶ διὰ τούτων ἐλευθεροῦται ὁ Ἰσραήλ. Τότε παρέχει τὴν εὐχαριστίαν τῷ Θεῷ ὁ ἄνθρωπος, λέγων, ὅτι ἐγὼ οὐ δύναμαι, ἀλλὰ σύ μου εἶ βοηθὸς ἀπὸ γενεᾶς γενεῶν. Τοιοῦτος ἦν καὶ ὁ μέγας προφήτης Ἠλίας, μὴ δυνάμενος ἐξολοθρεῦσαι πάντας τοὺς προφήτας τῆς αἰσχύνης, τοὺς ἀντιτασσομένους αὐτῷ, εἰ μὴ πρότερον ἤγνισε [1] τὸ θυσιαστήριον ἐν δώδεκα λίθοις καὶ ἐπέβαλλε ἐπ' αὐτῷ τὰς (τοὺς) σχίδακας τῶν ξύλων, καὶ ἐπέχεεν ἐπ' αὐτὰς ὕδωρ, ἐπέθηκεν ἐπ' αὐτὰς ἁγίαν θυσίαν καὶ ἐγένετο αὐτῷ ὁ Θεὸς «πῦρ καταναλίσκον», τὸ θυσιαστήριον καὶ τὰ ἐν αὐτῷ. Ἐν τῇ ὥρᾳ ἐκείνῃ ἐπαρρησιάσατο κατὰ τῶν ἐχθρῶν αὐτοῦ, καὶ ὅτε ἐξωλόθρευσεν αὐτούς, ἕως οὐδεὶς ἀπελείφθη, δέδωκεν εὐχαριστίαν τῷ Θεῷ, λέγων, Σὺ εἶ ἐν πᾶσι τούτοις· γέγραπται γάρ: «Ὅτι ἔθηκε τὸ πρόσωπον αὐτοῦ ἀναμέσον τῶν γονάτων αὐτοῦ» (Γ'. Βασιλ. ιη'. 42)· ἐὰν γὰρ ἐπιμελῶς σταθῇ ὁ νοῦς ἐπὶ ταῖς αἰσθήσεσιν αὐτοῦ, κτᾶται τὴν ἀθανασίαν, καὶ ἡ ἀθανασία φέρει αὐτὸν ἐπὶ τὰς δόξας ταύτας, ὡς [2] ἀποκαλύπτει αὐτὰς ὁ Θεός. Καὶ ἐὰν προσέχῃ ὁ λειτουργὸς Ἠλιοῦ, καὶ μὴ ἴδῃ τι τῶν ἑπτὰ παθῶν ἐγειρόμενον, τότε βλέπει «Νεφέλην μικρὰν ὡς ἴχνος ἀνδρὸς ἀνάγουσαν ὕδωρ» ἀπὸ θαλάσσης, ὅ ἐστιν ἡ ἀνάπαυσις τοῦ ἁγίου Παρακλήτου. Τοῦτο γάρ ἐστιν ἡ ἀθανασία τὸ ἔχειν τοὺς κόπους ὑγιεῖς καὶ μὴ ὑποστρέφειν εἰς ἐκεῖνα, εἰς ἃ εὔχου [3] συγχωρηθῆναί σοι. Ἐὰν γὰρ ἀποδέξηται ὁ Θεὸς τοὺς κόπους τοῦ ἀνθρώπου, καί, ἃ ποιεῖ, σῶα ἔσται [4] ἀπὸ τῆς ἔχθρας, τότε οὐ δυνήσονται στῆναι πρὸς αὐτὸν οἱ ἐχθροὶ αὐτοῦ, ὅταν ἴ-

1) Ἐν τῷ λατιν. construeret, ἔκτισεν.
2) Ἃς, τότε δὲ τὸ ἑπόμενον «αὐτὰς» παρέλκει.
3) Ηὔχου.
4) Ἐστίν.

δωσιν, ὅτι οὐκ ἔστι θέλημα αὐτῶν ἐν αὐτῷ, τότε αὐτοὶ ἀφ' ἑαυτῶν ἐκλείπουσιν, καθὼς γέγραπται, ὅτι ἐπικαλεῖσθε τὰ ὀνόματα τῶν θεῶν ἡμῶν «κἀγὼ ἐπικαλέσομαι τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ μου» (ἔνθ' ἀν. 24)[1] καὶ ἐπειδὴ οὐκ ἦν θέλημα[2] ἐν αὐτῷ εἰς οὐδὲν ἐπήκουσεν αὐτῶν.

ΙΒ'. Οἱ λόγοι οὗτοι οὐκ εἰσιν ἐκείνων μόνον, ἀλλὰ πάντων εἰσὶ τῶν ἐξακολουθησάντων τῷ θελήματι τοῦ Θεοῦ, καὶ φυλαξάντων αὐτοῦ τὰς ἐντολάς, καὶ διὰ τοῦτο ταῦτα τύποι[3] μὲν ἐκείνοις, ἡμῖν δὲ πρὸς νουθεσίαν ἐγράφη τοῖς ἐξακολουθήσασι τοῖς ἐκείνων ἴχνεσι τῶν ἀγωνισαμένων κτήσασθαι τὴν ἀθανασίαν, καὶ ἡ ἁμαρτία[4] ἐφύλαξεν αὐτοὺς ἀπὸ παντὸς βέλους τοῦ ἐχθροῦ· ἐγένοντο γὰρ παραρεῤῥιμένοι ὑπὸ τὴν σκέπην τοῦ Θεοῦ, δεόμενοι τῆς βοηθείας αὐτοῦ, μὴ πεποιθότες ἐπί τινι κόπῳ αὐτῶν καὶ ἐγένετο αὐτοῖς ἡ σκέπη τοῦ Θεοῦ εἰς πόλιν περιοχῆς, ἠπίσταντο γάρ, ὅτι δίχα τῆς βοηθείας τοῦ Θεοῦ οὐδὲν δύνανται, καὶ εἶπον ἐν ταπεινοφροσύνῃ μετὰ τοῦ ψαλμῳδοῦ: «Ἐὰν μὴ Κύριος οἰκοδομήσῃ οἶκον, εἰς μάτην ἐκοπίασαν οἱ οἰκοδομοῦντες, ἐὰν μὴ Κύριος φυλάξῃ πόλιν εἰς μάτην ἠγρύπνησεν ὁ φυλάσσων» (Ψαλμ. κστ'. 1). Ἐὰν γὰρ ἴδῃ ὁ Θεὸς[5], ὅτι ὑπετάγη αὐτῷ ὁ νοῦς, ὅλῃ δυνάμει, καὶ οὐκ ἔχει ἄλλην βοήθειαν, εἰ μὴ αὐτὸν μόνον, ἐνδυναμοῖ αὐτὸν λέγων: «Μὴ φοβοῦ παῖς μου Ἰακὼβ ὀλιγοστὸς Ἰσ-

---

1) Ἕπονται τὰ ἑξῆς ἐν τῷ Σιναΐτ. χειρογράφῳ, ἅπερ ἐλλείπουσιν ἐκ τοῦ Ἱεροσολ. «Καὶ ἔσται ὁ Θεὸς ὃς ἐὰν ἐπακούσηται ἐν πυρὶ αὐτός ἐστι Κύριος ὁ Θεός». Τοῦτό ἐστιν εἰς πᾶν τὸ σπειρόμενον παρὰ τῆς ἔχθρας τῷ ἀνθρώπῳ τῷ μὴ θέλοντι. οὐ δύνανται ἐκτελέσαι οἱ ἐχθροὶ τὸ θέλημα αὐτῶν· ποιοῦσι μὲν γὰρ τὴν δύναμιν αὐτῶν, ἀλλ' οὐκ ἀκούει αὐτῶν ὁ τοῦ Θεοῦ ἄνθρωπος, ὅτι οὐ θέλει αὐτὰ ἡ καρδία αὐτοῦ, ἐπειδὴ ἐστιν ἐν τῷ θελήματι αὐτοῦ, καθὼς γέγραπται, ὅτι ἐπικαλέσασθε τὸ ὄνομα τοῦ Θεοῦ ἡμῶν, κἀγὼ ἐπικαλέσομαι τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ μου», καὶ ἐπειδὴ οὐκ ἦν θέλημα. κτλ. Καὶ ἐν τῷ λατινικῷ: Et quicunque audiverit in igne, is ιιi. Dominus Deus. Εἶτα δὲ ἐν τῷ λατινικῷ ὑπάρχουσιν ἀρκετὰ μὴ ὑπάρχοντα ἐν τοῖς ἑλληνικοῖς.

2) Αὐτῶν.

3) Εὐεργετ. βιβλ. δ'. ὑπόθ. κδ' σ. 94. Ἐκ τοῦ: «Καὶ διὰ τοῦτο ταῦτα τύποι μὲν ἐκείνοις» κλ. μέχρι τοῦ: «ἐγένοντο γάρ» κλ. ἐλλείπει ἐν τῷ λατ.

4) Ἡ ἀθανασία.

5) Φιλοκαλ. τόμ. α'. σ. 18 κεφ. δ'.

ραήλ» καὶ πάλιν «μὴ φοβοῦ, ὅτι ἐλυτρωσάμην σε, ἐκάλεσα τὸ ὄνομά σου ἐμὸς εἶ σύ, καὶ ἐὰν διαβαίνῃς δι' ὕδατος μετὰ σοῦ εἰμι καὶ ποταμοὶ οὐ συγκλείσουσί σε, καὶ ἐὰν διέλθῃς διὰ πυρὸς οὐ μὴ κατακαυθῇς, φλὸξ οὐ κατακαύσῃ σε, ὅτι ἐγὼ Κύριος ὁ Θεός σου ὁ ἅγιος Ἰσραὴλ ὁ σώζων σε» (Ἠσ. μγ'. 1-3). Ἐὰν οὖν ἀκούσῃ ὁ νοῦς [1] τὴν παρρησίαν ταύτην, κατατολμᾷ τῆς ἔχθρας λέγων, τίς ἐστιν ὁ πολεμῶν με ἀντιστήτω μοι, τίς ὁ κρινόμενός μοι; ἐγγισάτω, ἰδοὺ Κύριος βοηθός μου, τίς κακώσει με; ἰδοὺ πάντες ὑμεῖς ὡς ἱμάτιον παλαιωθήσεσθε καὶ ὡσεὶ ἔριον βρωθήσεσθε ὑπὸ σητὸς (αὐτόθ. ν'. 8, 9). Δυνατὸς δὲ ὁ Θεὸς εὑρεθῆναι ἡμᾶς μετὰ τῶν ἐχόντων ταπεινοφροσύνην καὶ φυλαχθέντων ὑπ' αὐτῆς, γενομένης ὑπ' αὐτῶν περικεφαλαίας καὶ φυλαξάσης αὐτοὺς ἀπὸ παντὸς βέλους τοῦ ἐχθροῦ διὰ τῆς χάριτος τοῦ Θεοῦ, οὗ ἐστιν ἡ δύναμις καὶ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

1) Φιλοκαλ. τ. α'. σ. 18, κεφ. ε'.

# ΤΟΥ ΑΥΤΟΥ

## ΠΕΡΙ ΕΝΤΟΠΩΝ ΠΙΣΤΩΝ ΚΑΙ ΟΙΚΟΔΟΜΗΣ ΤΩΝ ΘΕΛΟΝΤΩΝ ΜΕΤ' ΕΙΡΗΝΗΣ ΟΙΚΗΣΑΙ ΜΕΤ' ΑΛΛΗΛΩΝ.

### *Λόγος ε΄.*

Α΄. Ἐὰν περιπατῆτε μετ' ἀλλήλων ἐν ὁδῷ[1], προσέχετε ἐν ἅπασι τῷ λογισμῷ τοῦ ἐν ὑμῖν ἀσθενοῦς, κἄν τε χρήζῃ τοῦ καθῖσαι ὀλίγον, κἄν τε γεύσασθαι πρὸ τῆς ὥρας μικρόν. Ἐὰν ἐξέλθητε[2] μετ' ἀλλήλων εἰς πάρεργον, ἕκαστος ὑμῶν πρόσχῃ ἑαυτῷ καὶ μὴ τῷ ἀδελφῷ αὐτοῦ, μὴ διδάξῃ[3] αὐτόν· ἐὰν ποιῆτε πάρεργον ἔνδον ἐν τῷ κελλίῳ ἢ οἰκοδομῆτέ τι ἕως ἱστίας[4], ἢ οἱονδήποτε πρᾶγμα, τὸν ποιοῦντα τὸ ἔργον, ἐάσατε ποιῆσαι, ὡς ἂν βούληται· ἐὰν δὲ εἴπῃ, ποιήσατε ἀγάπην, διδάξατέ με, ὅτι οὐκ οἶδα, καὶ ἔστιν ἄλλος ἐπιστάμενος, μὴ πονηρεύσηται, καὶ εἴπῃ[5] οὐκ οἶδα· οὐκ ἔστιν αὕτη γὰρ ταπείνωσις κατὰ Θεόν. Ἐὰν ἀδελφός σου, ὡς δήποτε ποιεῖ πρᾶγμα, καὶ ἴδῃς αὐτόν, μὴ εἴπῃς αὐτῷ, ὅτι ἠφάνισας αὐτό, ἀλλ' ἐὰν εἴπῃ, ποίησον ἀγάπην, δίδαξόν με, καὶ μὴ διδάξῃς αὐτόν, ἀλλὰ σιωπήσῃς, οὐκ ἔχεις τὴν ἀγάπην τοῦ Θεοῦ ἐν σοί, ὅτι κατέχεις πονηρίαν. Ἐὰν ὁ ἀδελφὸς ἑψήσῃ ἑψητὸν[6] καὶ μὴ καλῶς[7] γένηται, μὴ εἴπῃς αὐτῷ, ὅτι κακῶς ἕψησας, θάνατος γάρ ἐστι τῇ ψυχῇ σου, ἀλλὰ ἐρεύνησον[8],

---

1) Εὐεργετ. βιβλ. γ΄. ὑπόθ. με΄. σ. 131.
2) Εὐεργετ. βιβλ. β΄. ὑπόθ. ε΄. σ. 25.
3) Διδάξετε· αἱ ἐφεξῆς παραλλαγαὶ τοῦ κειμένου κατὰ τὸν 378 Σαβαΐτ. κώδικα.
4) Ἑστίας.
5) Ὅτι.
6) Εὐεργετ. βιβλ. ε΄. ὑπόθ. κγ΄. σ. 67.
7) Καλόν.
8) Ἤτοι, σεαυτόν.

ὅτι, εἰ ἧς σὺ ἀκούσας παρ' ἄλλου, πῶς ἔμελλες θλίβεσθαι, καὶ ἀναπαύῃ. Ἐὰν ψάλλητε μετ' ἀλλήλων, καὶ εἷς πλανηθῇ εἰς λέξιν, μὴ ταχέως εἴπητε αὐτῷ καὶ ταράξητε αὐτόν· ἐὰν παρέλθῃ ἡ λέξις παρῆλθεν, ἐὰν δὲ εἴπῃ, ποιήσατε ἀγάπην, εἴπατέ μοι, εἴπατε αὐτῷ. Ἐὰν ἐσθίητε τίποτε ἐν τῇ τραπέζῃ, καὶ ἔστι τις ἐξ ὑμῶν, μὴ θέλων αὐτό, μὴ εἴπῃ, ὅτι οὐ δύναμαι φαγεῖν, ἀλλὰ βιασάτω ἑαυτὸν διὰ τὸν Θεὸν ἕως θανάτου, καὶ ὁ Θεὸς αὐτὸν ἀναπαύει [1]. Ἐὰν ἔργον ποιήσητε [2] μετ' ἀλλήλων, καὶ εἷς ἐξ ὑμῶν, ἀπὸ μικροψυχίας, καταλύσῃ, μηδεὶς αὐτῷ ἐπιπλήξῃ, ἀλλὰ μᾶλλον χάρητε μετ' αὐτοῦ. Ἐὰν ἀδελφοὶ παραβάλλωσιν ὑμῖν [3], μὴ θελήσητε παντελῶς ἐρωτῆσαι αὐτούς τι τῶν βλαπτόντων, καὶ ἐάσωσιν ὑμῖν αἰχμαλωσίαν ἐν τῷ κελλίῳ, εἰ δὲ ὁ παραγενόμενος, μὴ δυνηθεὶς ἐγκρατεύσασθαι, εἴπῃ ἑνὶ ἐξ ὑμῶν, ὡς εἴρηται, τί τῶν βλαπτόντων ὑμᾶς, μὴ θελήσῃ ὁ ἀκούσας τινὶ τῶν ἀδελφῶν ταῦτα ἐξειπεῖν, ἀλλὰ σιωπήσῃ, ἕως οὗ ἡ αἰχμαλωσία αὐτῶν παρέλθῃ ἀπ' αὐτοῦ, ἵνα μὴ ἰοῦ θανατηφόρου ἐμπλήσῃ τὰς καρδίας αὐτῶν. Ἐὰν ἀπέλθῃς ἐπὶ ξένης διὰ χρείαν σου, μὴ ἐρωτήσῃς τινὰ περί τινος, τῶν μὴ ἀνηκόντων σοι, ἵνα εἰσέλθῃς εἰς τὸ κελλίον σου σῶος. Εἰ δὲ καὶ μὴ θέλων ἀκούσῃς, ἐλθὼν μὴ ἐξαγγείλῃς τοῖς ἀδελφοῖς σου. Ἐὰν εὑρεθῆτε ἐπὶ ξένης [4], μὴ παρρησιασθῆτε, εἰς ὃν ἂν εἰσέλθητε τόπον ἐν μηδενὶ πράγματι, ἵνα ὠφεληθῶσιν ἐκ τοῦ τύπου ὑμῶν, μάλιστα ἐν τῇ κρυπτῇ καὶ φαινομένῃ σιωπῇ· ἐκεῖνα γὰρ πάντα τὰ πάθη ἐν τῷ ἀσθενεῖ εὑρίσκεται διὰ τὴν καρδίαν καὶ [5] τῆς ἀργίας αὐτῆς, ὅτι οὐ βλέπει τὰς ἑαυτοῦ ἁμαρτίας, ἡ δὲ βοήθεια τοῦ Θεοῦ, καὶ ἡ ἐλπίς, καὶ ἡ πραότης, καὶ ἡ συνείδησις καὶ τὸ ἀπολῦσαι τὸ θέλημά σου,

---

1) Ἀδελφός τις ἐκ τῆς παρὰ τὴν Γάζαν μονῆς τοῦ ἀββᾶ Σερίδου, ἠρώτησε τὸν ἀββᾶν Βαρσανούφιον: «Πῶς εἶπεν ὁ ἀββᾶς Ἡσαΐας, ὅτι ἐὰν εἰσέλθῃ βρῶμα εἰς τράπεζαν καὶ βλάπτῃ σε, βίασαι σεαυτὸν φαγεῖν αὐτό; Πρὸς ὃν ἀπεκρίθη: «Σχολαστικῷ τινί, εἶπεν ὁ ἀββᾶς Ἡσαΐας, ὑγιαίνοντι τῷ σώμα, καὶ δυναμένῳ λαβεῖν ἐκ τῶν εὑρισκομένων, ἵνα κόψῃ τὸ θέλημα αὐτοῦ». (ἀπόκρ. φκε'.).

2) Μᾶλλον, ποιῆτε. Εὐεργετ. βιβλ. β'. ὑπόθ. ε'. σ. 25.

3) Εὐεργ. βιβλ. γ' ὑπόθ. μα'. σ. 125.

4) » » » » με'. σ. 132.

5) Ἤτοι, ἕνεκα.

καὶ βιάσασθαι ἑαυτὸν ἐν πᾶσιν, ἐν τῇ ταπεινοφροσύνῃ ἐστίν.

Β΄. Ἡ δὲ ὑψηλοφροσύνη, καὶ ἡ φιλονεικία, καὶ τὸ λογίσασθαι ἑαυτὸν ἐπίστασθαι ὑπὲρ τὸν ἀδελφόν σου, καὶ τὸ καταπατεῖν τὴν συνείδησιν, καὶ τὸ μὴ μέλεσθαί σοι, ὅτι θλίβεται κατὰ σοῦ ὁ ἀδελφός σου, καὶ λέγειν τί ἔχω πρᾶγμα ἐγώ [1], ἐν τῇ σκληροκαρδίᾳ ἐστίν. Ἐὰν ἐργάζῃ τὸ ἐργόχειρόν σου, καὶ εἰσέλθῃ εἰς τὸ κελλίον σου ὁ ἀδελφός σου, μὴ κατανοήσῃς πάντῃ, ὅτι ἐποίησας ὑπὲρ αὐτὸν ἢ αὐτὸς ὑπὲρ σέ [2]. Ἐὰν ἐργάζῃ μετὰ ἀσθενοῦς [3], μὴ φιλονεικήσῃς κρυπτῶς [4], θέλων ὑπὲρ αὐτὸν ποιῆσαι. Ἐὰν ὁ ἀδελφός σου ἐργάζηται εἰς ἔργον καὶ ἀφανίσῃ αὐτό, μηδὲν αὐτῷ εἴπῃς, ἐὰν μὴ αὐτὸς εἴπῃ σοι, ποίησον ἀγάπην, ἀδελφέ, δίδαξόν με, καὶ ἐὰν οἶδας, καὶ σιωπήσῃς, θάνατός σου ἐστίν [5]. Ἐὰν ποιῆτε ἐργόχειρον [6] ὑμῶν, οἷόν ἐστιν, ποιήσατε τὴν δύναμιν ὑμῶν μὴ καταμαθεῖν τί ἐποίησας ἢ [7] ἐποίησεν ὁ ἀδελφός σου ἐν τῇ ἑβδομάδι, ἀπαιδευσία γάρ ἐστιν. Ἐὰν ἀπέλθῃς εἰς πάρεργον μετὰ τῶν ἀδελφῶν σου, μὴ θελήσῃς, ἵνα μάθωσιν, ὅτι ἐποίησας πλέον αὐτῶν, πᾶν γὰρ ἔργον, ὃ ἐὰν ποιήσῃ ἄνθρωπος ἐν τῷ κρυπτῷ, τοῦτό ἐστιν, ὃ ζητεῖ ὁ Θεὸς παρ' αὐτοῦ. Ἐάν, ἀπὸ μικροψυχίας [8], ἀποκριθῇ σοι ὁ ἀδελφός σου λόγον, βάσταξον αὐτὸν μετὰ χαρᾶς, καί, ἐὰν ἐκζητήσῃς τὸν λογισμόν σου ἐν κρίματι Θεοῦ, εὑρήσεις (σ)ἑαυτὸν ἁμαρτήσαντα. Ἐὰν οἰκήσῃς μετὰ ἀδελφῶν, καὶ ὁ λογισμός σου θελήσῃ δεσμεῦσαί σε ἐν τῷ φαγίῳ(;), εἰπὲ τῷ λογισμῷ σου, ὅτι ὁ ἀσθενὴς ὁ ὧδε δεσπότης μου ἐστίν. Εἰ θέλεις ἐγκρατεύσασθαι πλέον, λάβε σεαυτὸν [9] μικρὸν κελλίον κατὰ μόνας, καὶ μὴ θλίψῃς τὸν ἀδελφόν σου τὸν ἀσθενῆ. Ἐάν

---

1) Ἤτοι, τί κοινὸν μεταξὺ ἐμοῦ καὶ αὐτοῦ.
2) «Ἢ αὐτὸς ὑπὲρ σέ» ἐλλείπει ἐν τῷ λατιν..
3) Εὐεργετ. βιβλ. β΄. ὑπόθ. ε΄. σ. 25.
4) «Κρυπτῶς», δὲν ὑπάρχει ἐν τῷ λατιν.
5) Ἀπὸ τοῦ «Ἐὰν ὁ ἀδελφός σου ἐργάζηται» κλ. μέχρι τέλους τῆς περιόδου ἐλλείπει ἐν τῷ λατιν.
6) Εὐεργ. βιβλ. β΄. ὑπόθ. ε΄. σ. 25.
7) Ἤτοι, τί.
8) Εὐεργ. βιβλ. β΄. ὑπόθ. β΄. σ. 14.
9) Μᾶλλον, «σεαυτῷ».

τις ξένος ἀδελφὸς [1] παραβάλῃ ὑμῖν, καὶ προηκούσατε περὶ αὐτοῦ, ὅτι φιλοσχισματικός ἐστι [2], μὴ ἐξερευνήσητε αὐτὸν ἐν λόγοις, ἕως οὗ φανερωθῇ ὑμῖν τὸ ἐλάττωμα αὐτοῦ· φυλάξατε δὲ ἑαυτοὺς μὴ ποιήσητέ τι, ὃ οἴδατε ὅτι, ἐὰν καταλάβῃ ὁ ἀδελφὸς ὑμῶν, θλίβεται. Ἐὰν θέλῃς τίποτε λαβεῖν [3], καὶ χρείαν αὐτοῦ ἔχῃς, μὴ γογγύσῃς κατὰ τοῦ ἀδελφοῦ σου, ὅτι διατὶ οὐκ ἐνόησε δοῦναί μοι αὐτὸ ἀφ' ἑαυτοῦ, ἀλλ' εἰπέ, ἐν παῤῥησίᾳ, μετὰ ἁπλότητος, ὅτι, ποίησον ἀγάπην, δός μοι τόδε, ὅτι χρείαν ἔχω, αὕτη γάρ ἐστιν ἡ ἁγνεία ἐν καρδίᾳ ἡ ἁγία· ἐὰν γὰρ μὴ εἴπῃς, γογγύσῃς δὲ καὶ μέμψῃ ἐν τῇ καρδίᾳ σου, ἔχεις τὸ κρῖμα. Ἐὰν λόγος τῆς Γραφῆς [4] ἔλθῃ ἀναμέσον ὑμῶν, ὁ γινώσκων τὸν λόγον καὶ εἰδὼς αὐτόν, κατὰ τὴν δύναμιν αὐτοῦ, ἐνέγκῃ ὀπίσω τοῦ ἀδελφοῦ τὸ θέλημα αὐτοῦ, καὶ ἀναπαύσῃ τὸν ἀδελφὸν αὐτοῦ ἐν χαρᾷ, καὶ ὁ λόγος ὁ ζητούμενος οὗτός ἐστιν, τὸ ταπεινῶσαι ἑαυτὸν τῷ ἀδελφῷ σου. Ὁ προσέχων τῷ κρίματι τοῦ βήματος, οὗ μέλλει παραστῆναι, τὴν δύναμιν αὐτοῦ ποιεῖ, ἵνα μὴ σφαλῇ [5] αὐτοῦ τὸ στόμα, μὴ εὑρίσκων ἀπολογίαν εἰπεῖν ἐν τῇ φρικτῇ ὥρᾳ ἐκείνῃ.

Γ'. Μὴ θελήσητε ἐρευνῆσαι τὰ ἔργα τοῦ καιροῦ τούτου, ἵνα μὴ γένησθε ὡς τὰ σελάρια [6], ὅτι ἕκαστος ἔρχεται, ἵνα ἀποβάλῃ τὰ ἐν τῇ κοιλίᾳ αὐτοῦ, πολλῆς οὔσης τῆς δυσωδίας, ἀλλὰ γίνεσθε μᾶλλον θυσιαστήριον [7] τοῦ Θεοῦ ἐν ἁγνείᾳ, ποιοῦντες τὸν ἔνδοθεν ἱερέα, πάντοτε θυμιάματα ἐπιβάλλοντα, ὄρθρου τε καὶ ἑσπέρας, ἵνα μὴ μείνῃ τὸ θυσιαστήριον ἐκτὸς θυμιάματος, ἀλλὰ πάντοτε βιάσασθε ἑαυτοὺς ἐνώπιον τοῦ Κυρίου ἐν πάσῃ δεήσει, ἵνα χαρίσηται ὑμῖν ἁπλότητα καὶ ἀκεραιότητα, καὶ λάβῃ ἀφ' ὑμῶν τὰ ἐναντία τούτων, ἅ ἐστιν ἡ πανουργία, καὶ ἡ δαιμονιώ-

---

1) Εὐεργ. βιβλ. γ'. ὑπόθ. μα'. σ. 125.
2) Ἄλλη γραφή, φιλοσχημιτικός.
3) Εὐεργ. βιβλ. γ'. ὑπόθ. α'. σ. 4.
4) Εὐεργ. βιβλ. α'. ὑπόθ. νε'. σ. 155.
5) Φραγῇ.
6) Ἤτοι, ἀφοδευτήριον. Εὐεργ' βιβλ. γ'. ὑπόθ. μα'. σ. 125.
7) Ἐν τῷ λατιν. Templa et altaria.

δης σοφία, καὶ περιέργεια, καὶ φιλαυτία, καὶ ἡ κακοκαρδία, ταῦτα γὰρ καταλύει τοὺς κόπους τῶν ποιούντων αὐτά. Τέλος δὲ τούτων πάντων, ἐὰν ἄνθρωπος φοβῆται τὸν Θεὸν ἐν γνώσει, καὶ αἱ ἀκοαὶ αὐτοῦ ὑποτάσσωνται τῇ συνειδήσει αὐτοῦ κατὰ Θεόν, ὑπὲρ τὰ προειρημένα διδάξει ἑαυτὸν ἐν τῷ κρυπτῷ. Ἐὰν δὲ μὴ ᾖ ἐκεῖ ὁ οἰκοδεσπότης, ἐκεῖνος ὁ ταλαίπωρος ἄνθρωπος τὸν οἶκον ἔχει προκείμενον τῷ θελήματι, καὶ ὁ βουλόμενος λαλεῖ, ὃ θέλει ἐν αὐτῷ, ὅτι οὐκ ἔστιν ἡ καρδία ὑπὸ τὴν ἐξουσίαν αὐτοῦ, ἀλλ' ὑπὸ τοὺς ἐχθρούς. Ἐὰν θέλητε ἐξελθεῖν εἰς μικρὸν πάρεργον [1], μὴ καταφρονήσῃ ὁ εἷς τοῦ ἑτέρου καὶ ἐξέλθῃ μόνος καὶ ἐάσῃ τὸν ἀδελφὸν αὐτοῦ, τὴν συνείδησιν πάσχοντα ἐν τῷ κελλίῳ, ἀλλ' εἴπῃ αὐτῷ ἐν ἀγάπῃ, θέλεις ἀπελθεῖν [2] ἡμᾶς; Καὶ ἐὰν ἴδῃ τὸν ἀδελφὸν αὐτοῦ μὴ ἀναπαυόμενον ἐν τῇ ὥρᾳ ἐκείνῃ, ἢ κατὰ τὸ σῶμα αὐτοῦ ἀσθενοῦντα, μὴ φιλονεικήσῃ, ὅτι νῦν ἔχομεν ἐξελθεῖν, ἀλλ' ὑπέρθηται τέως [3], καὶ ἀπέλθῃ εἰς τὸ κελλίον αὐτοῦ ἐν ἀγάπῃ εὐσπλαγχνίας· φυλάξατε δὲ τοῦ μὴ ἀντιστῆναι τῷ ἀδελφῷ ἔν τινι, ἵνα μὴ θλίψητε αὐτόν. Ἐάν τις οἰκῇ μετὰ πατρὸς ἢ ἀδελφοῦ αὐτοῦ [4], συνείδησιν πάντῃ οὐκ ἔχει τῶν ἔξω μετά τινος, εἰ μὴ μετὰ τοῦ κατοικοῦντος μετ' αὐτοῦ ἐν ἅπασι, καὶ αὕτη ἐστὶν ἡ εἰρήνη καὶ ὑποταγή. Ἐὰν κατοικῇς μετὰ πατρός σου ἢ ἀδελφοῦ σου [5], μὴ εὑρεθῇς ἔχων φιλίαν μετά τινος ἐν τῷ κρυπτῷ, ἢ γράμματα γράφων τινὸς ἐν τῷ κρυπτῷ, μὴ θέλων τοὺς μετὰ σοῦ ἀδελφοὺς γνῶναι, ἐπεὶ καὶ σεαυτὸν ἀπόλλυς κακείνους. Ἐὰν οἰκῇς μετὰ μείζονός σου, μὴ θελήσῃς ποιῆσαι πρᾶγμα εὐεργετικὸν πτωχῷ, εἰ μὴ πρότερον ἐρωτήσῃς αὐτόν, καὶ μὴ ποιήσῃς ἐν κρυπτῷ. Ἐὰν ἐρωτᾷς [6] περὶ λογισμῶν σου, μὴ μετὰ τὸ ποιῆσαι ἐρωτήσῃς, ἀλλ' εἰπέ, ὃ πολεμεῖ σε ἐπὶ τοῦ παρόντος, εἴτε διὰ μετοίκησιν, εἴτε διὰ τὸ μαθεῖν ἐργόχει-

---

1) Εὐεργ. βιβλ. α'. ὑπόθ. νδ'. σ. 155.
2) Ἀπέλθωμεν.
3) Ἤτοι, μέχρι τινός.
4) Ἐν τῷ λατιν. Spirituali, πνευματικοῦ.
5) Εὐεργ. βιβλ. α'. ὑπόθ. νδ. σ, 155.
6) Εὐεργ. βιβλ. α'. ὑπόθ. κα'. σ. 66.

ρον, ἢ ἀλλάξαι ἐργόχειρον, ἢ συνοικῆσαι μετά τινος ἢ ἐξελθεῖν ἀπό τινων, ἐρώτησον μετ' ἐλευθερίας πρὸ τοῦ σὲ πρᾶξαι αὐτό, εἴτε περὶ ἀσθενείας ψυχῆς, ἢ παθῶν σωματικῶν ἔτι καταφερόντων σε εἰς αὐτά, μὴ ἐρωτήσῃς περὶ αὐτῶν, ὡς μήπω αὐτὰ πράξας, ἀλλ' ἐρώτησον περὶ τῆς πληγῆς λέγων, ὅτι ἤδη ἐπλήγην, ἵνα θεραπευθῇς πρὸς τὴν πληγήν. Ἐὰν δὲ λαλῇς περὶ λογισμῶν σου, μὴ γίνου ὑποκριτὴς [1] καὶ λέγε ἄλλου [2] ἀντὶ ἄλλου, ἢ ὡς ἄλλου πεποιηκότος, ἀλλ' εἰπὲ τὴν ἀλήθειαν καὶ ἑτοίμασον (σ)εαυτόν, ἵνα, ὅ ἐὰν εἴπωσί σοι, ποιήσῃς, ἐπεὶ σεαυτὸν μόνον χλευάζεις καὶ οὐχὶ τοὺς γέροντας [3].

Δ'. Ἐὰν ἐρωτᾷς γέροντας περὶ πολέμου, μὴ ἐπακούσῃς τοῖς ἔνδοθεν λαλοῦσι, πλείω τῶν γερόντων, ἀλλὰ δεήθητι τοῦ Θεοῦ πρότερον λέγων, ποίησον μετ' ἐμοῦ ἔλεος, καί, ὅ θέλεις, παράσχου τοῖς πατράσι μου εἰπεῖν μοι, καί, ὅ ἐὰν εἴπωσί σοι οἱ Πατέρες, ποίησον ἐν πίστει καὶ ἀναπαύει σε ὁ Θεός. Ἐὰν οἰκήσῃς μετὰ ἀδελφῶν, καὶ οὐκ ἀναπαύῃ διὰ προφάσεις τινάς, ἢ περὶ ἐργοχείρου, ἢ περὶ δεσμοῦ, ἢ περὶ ἀναπαύσεως, ἢ μὴ δυνάμενος ὑπομεῖναι, ἢ περὶ ἀκηδίας, ἢ ὅτι ἡσυχάσαι θέλεις, ἢ ὅτι οὐ δύνῃ βαστάξαι τὸν ζυγόν, ἢ ὅτι οὐ δύνῃ ποιῆσαι τὸ θέλημά σου, ἢ ὅτι τὴν χρείαν σου οὐκ ἔχεις, ἢ ὅτι θέλεις ἑαυτὸν δῆσαι περισσὸν ἐν κακοπαθείᾳ, ἢ ὅτι ἀσθενὴς εἶ καὶ οὐ δύνῃ τὸν κόπον βαστάξαι, ἢ οἱαδήποτε πρόφασις εἴ ἡ πείθουσα τὴν καρδίαν ἐξελθεῖν, βλέπε μὴ πεισθῇς ἐξελθεῖν μηδὲ ἀποζυγώσῃς καὶ ἐξέλθῃς μετὰ λύπης, ἢ φύγῃς κρυπτῶς ἐν θλίψει, ἢ ἐν καιρῷ μέμψεως οὔσης ἐν τῷ μέσῳ [4], καὶ μὴ μνησθῇς τῆς ἀδελφότητος διὰ τὸ κώλυμα τῆς κακίας, ἀλλὰ μᾶλλον ζήτησον εἰρήνης καιρόν, ἵνα ἀναπαῇ ἡ καρδία σου, ὅπου δ' ἂν ἀπέρχῃ, καὶ τὴν μέμψιν

---

1) Εὐεργ. βιβλ. α'. ὑπόθ. κα'. σ. 66.

2) Ἄλλο ἀντ' ἄλλου. Μὴ λέγε.

3) Οὓς ἐρωτᾷς, Λατιν. quos consulis.

4) Ἔλεγον οἱ Πατέρες, ἐὰν συμβῇ σοι πειρασμὸς ἐν τῷ τόπῳ, ὅπου οἰκεῖς, μὴ καταλίπῃς τὸν τόπον ἐν τῷ καιρῷ τοῦ πειρασμοῦ, εἰ δὲ μή, ὅπου ἐὰν ἀπέλθῃς, εὑρήσεις ἔμπροσθέν σου, ὃ φεύγεις, ἀλλ' ὑπόμεινον, ἕως οὗ παρέλθῃ ὁ πειρασμός, ἵνα ἀσκανδάλιστος γένηται ἡ ἀναχώρησίς σου, καὶ ἐν καιρῷ εἰρήνης· ὅπως τοῖς κατοικοῦσι τὸν τόπον μή τινα θλίψιν, ὡς τὸ εἰκός, ἐμποιῆσαι τὸν χωρισμόν σου. (Γεροντ. Σιναϊτ. 448 κώδ. σ. 191 б.

σου βάλε ἐπάνω σου, μὴ καταλαλῶν μεθ' ὧν ᾤκησας ἀδελφῶν, μηδὲ ὑπακούσῃς τοῖς ἐχθροῖς σου μεταβαλεῖν τὰς εὐεργεσίας αὐτῶν εἰς κακοποιΐας, φεύγων τὸ ὄνειδος, καὶ θέλων, ἵνα τὸ ὄνειδος τοῦ ἀδελφοῦ σου καλύψῃ τὸ σὸν καὶ πέσῃς ὑπὸ τοὺς ἐχθρούς σου, ὅπου μέλλεις οἰκῆσαι. Ἐὰν ἀπέλθῃς εἰς τόπον οἰκῆσαι [1], μὴ θελήσῃς ταχέως λαβεῖν σεαυτῷ κελλίον εἰς οἴκησιν, ἕως οὗ μάθῃς τὴν διαγωγὴν [2] τοῦ τόπου, μήπως πρόσκομμα σοί ἐστιν ἐκεῖ, ἢ διὰ φροντίδα, ἢ διὰ τό τινας βλέπειν, ἢ διὰ δόξαν, ἢ δι' ἀνάπαυσιν, ἢ διὰ πρόσκομμα σῶν φίλων· ἐὰν γὰρ ᾖς σοφός, συνήσῃς πάντα ἐν ὀλίγαις ἡμέραις, τὸν θάνατόν σου καὶ τὴν ζωήν σου.

Ε΄. Ἐὰν παράσχῃς ἀδελφῷ κελλίον σου, ἵνα ποιήσῃ ἐν αὐτῷ ὀλίγας ἡμέρας, μὴ ἔχε τὸν ἀδελφόν σου ὡς ὑπὸ τὴν ἐξουσίαν σου. Ἐὰν λάβῃς κελλίον ποιῆσαι ὀλίγας ἡμέρας ἐν αὐτῷ, μὴ καταστρέψῃς, μηδὲ οἰκοδομήσῃς ἐν αὐτῷ, ἐὰν μὴ πρότερον ἐρωτήσῃς τὸν παρέχοντά σοι τὸ κελλίον, εἰ ἀναπαύεται ἢ οὔ, ἐπεὶ ἀσυνειδησία ἐστίν [3]. Ἐὰν οἰκῇς μετά τινος ἢ παροικῇς, καὶ λάβῃς παρ' αὐτοῦ ἐντολήν, φύλαξον διὰ τὸν Θεὸν μὴ καταφρονῆσαι, μήτε, ἐν τῷ κρυπτῷ μηδὲ ἐν τῷ φανερῷ, λῦσαι τὴν ἐντολήν. Ἐὰν ἡσυχάζῃς ἐν τῷ κελλίῳ σου [4] καὶ ἔδησας ἑαυτὸν εἰς τὴν ὥραν τοῦ φαγητοῦ, ἢ μὴ ἐσθίειν ἑψητόν, ἢ ἄλλο οἱονδήποτε πρᾶγμα, καὶ ἐξέλθῃς ἐπὶ ξένης, φύλαξον μὴ εἰπεῖν τινι, καθεζόμενος ἐν τῇ τραπέζῃ, ὅτι συγχώρησόν μοι, οὐκ ἐσθίω τοῦτο· ἐπεὶ ὅλος ὁ κόπος σου εἰς χεῖρας τῶν ἐχθρῶν σου ἀπῆλθεν ἐν ματαιότητι [5]· ὁ Δεσπότης γάρ σου ὁ Σωτὴρ εἶπεν, ὅτι, ποίησον ἐν τῷ κρυπτῷ, ἵνα ὁ πατήρ σου ὁ βλέπων παράσχῃ σοι ἐν τῷ φανερῷ (Ματθ. στ΄. 4). Ὁ ἀγαπῶν τοὺς κόπους αὐτοῦ φυλάξει αὐ-

---

1) Εὐεργ. βιβλ. α΄. ὑπόθ. ιγ΄. σ. 42.

2) Ἤτοι, τὴν φύσιν.

3) «Ἐπεὶ ἀσυνειδησία ἐστίν» δὲν ὑπάρχει ἐν τῷ λατιν.

4) Εὐεργ. βιβλ. γ΄. ὑπόθ. με΄. σ. 132.

5) Σχετικὸν πρὸς ταῦτα τὸ ἑξῆς διεσώθη διήγημα παρὰ τῷ Γεροντικῷ: «Ἑορτῆς γενομένης εἰς τὰ κελλία (τῆς Νιτρίας) ἤσθιον οἱ ἀδελφοὶ ἐν τῇ ἐκκλησίᾳ· ἦν δὲ ἐκεῖ ἀδελφὸς καὶ εἶπε τῷ ὑπηρετοῦντι, οὐκ ἐσθίω ἕψημα, ἀλλὰ ἅλας. Καὶ ἐφώνησεν ὁ διακονῶν ἄλλον ἀδελφὸν ἔμπροσθεν τοῦ λαοῦ λέγων, ὁ δεῖνα ἀδελφὸς οὐκ ἐσθίει ἕψημα, ἀλλὰ ἅλας φέρε αὐτῷ· καὶ ἀνέστη τις τῶν γερόντων καὶ εἶπεν αὐτῷ: συνέφερέ σοι σήμερον ἐν τῷ κελλίῳ σου φαγεῖν κρέα, ἢ ἀκοῦσαι τὴν φω-

τούς, ἵνα μὴ ἀπόλωνται. Ἐὰν οἰκῆτε μετ' ἀλλήλων [1], πᾶν ἐργόχειρον, ὅ ἐὰν ἐργάζησθε, κἄν τε ἔσω κἄν τε ἔξω, καὶ καλέση σε ὁ ἀδελφός σου, μὴ εἴπῃς, ὅτι μακροθύμησον, ἵνα ἀπόσχω ἔτι τὸ ὀλίγον τοῦτο, ἀλλ' εὐθέως ὑπάκουσον. Ἐὰν ποιῆτε ἔργον μετ' ἀλλήλων [2], πᾶν ἐλάττωμα, ὅ εἶδες ἔξω παρ' ἄλλοις, μὴ βαστάσῃς καὶ εὑρεθῇ ἐν τῷ στόματί σου τοῦ εἰπεῖν τοῖς ἀδελφοῖς, θάνατος γάρ ἐστι τῇ ψυχῇ σου, εἴπερ εἶ σοφός [3]. Ἐὰν οἰκῶσι μετὰ σοῦ ἀδελφοί, καὶ κοπιάσωσι μίαν ἡμέραν, ἀνάπαυσον αὐτοὺς πρὸ τῆς ὥρας γεύσασθαι· μὴ πρόσχῃς (σ)εαυτῷ ἀλλὰ πρόσεχε τῷ κρίματι τοῦ Θεοῦ, ἔχε τὸν Θεὸν ἐνώπιον τῶν ὀφθαλμῶν σου, ἐν παντὶ ἔργῳ, ὅ ποιεῖς. Ἐὰν ἀπέλθῃς εἰς τόπον οἰκῆσαι [4], ἢ μόνος, ἢ μετὰ τῶν πρὸ σοῦ, καὶ ἴδῃς ἐκεῖ τέχνην, ἢ ἔργα ζημίαν ἔχουσαν [5], ἢ βλάβην, ἢ μὴ ὄντα μοναχικά, μὴ ἀνοίξῃς τὸ στόμα σου ἐλέγξαι αὐτά, ἀλλ', ἐὰν οὐκ ἀναπαύῃ, ἄπελθε εἰς τόπον ἄλλον, καὶ φύλαξον τὴν γλῶσσάν σου, ἵνα μὴ καταλαλήσῃς αὐτῶν· θάνατος γάρ σοι ἐστὶ τοῦτο. Ἐὰν ἧς ἀσθενὴς τοῖς πάθεσι [6], φύλαξον σεαυτὸν μὴ ἐᾶσαι τινὰ εἰπεῖν σοι τὰ πάθη τῶν λογισμῶν αὐτοῦ ὡς πιστῷ, ἀπώλεια γάρ ἐστι τῇ ψυχῇ σου τοῦτο τὸ ἔργον. Ἐὰν λόγος [7] γένηται ἐν ὑμῖν γελωτοποιός, φυλάξατε ἑαυτούς, μὴ ἐᾶσαι τὴν φωνὴν ὑμῶν ἐξάκουστον γενέσθαι, ἐπεὶ σημεῖον ἐστιν ἀπαιδευσίας καὶ ἀφοβίας Θεοῦ, ὅτι οὐκ ἔστι φυλακὴ ἐντὸς ὑμῶν.

Στ'. Ἐπειδὴ ἡ ὀργὴ ἐπῆλθεν ἐπὶ τὴν οἰκουμένην ἐν ταῖς ἡμέραις ἡμῶν, πᾶν ὅ ἀκούετε, μὴ ταραχθῆτε, ἀλλ' εἴπατε ἐν ταῖς καρδίαις ὑμῶν, ὅτι τί ἐστι ταῦτα πρὸς τὸν τόπον, εἰς ὅ(ν) μέλλομεν ἐμβαίνειν διὰ τὰς ἁμαρτίας ἡμῶν· ποιήσατε τὴν ἀγάπην διὰ τὸν Θεόν, ἀνάγνωτε εἰς τὸ φυλάξαι, ὅτι οὐκ ἔστι μι-

---

νὴν ταύτην ἔμπροσθεν τοῦ λαοῦ» (Σιναΐτ. μεμβράν. κώδ. 448, αἰῶν. ΙΑ'. σ. 202 6. Εὐεργ. βιβλ. γ'. ὑπόθ. με'. σ. 132.

1) Εὐεργ. βιβλ. α' ὑπόθ. μβ'. σ. 155.

2) Εὐεργ. βιβλ. β'. ὑπόθ. ε'. σ. 25.

3) «Εἴπερ εἶ σοφός» ἐλλείπει ἐν τῷ λατιν.

4) Εὐεργ. βιβλ. δ'. ὑπόθ. μβ'. σ. 141.

5) Μᾶλλον, ἔχοντα, ἐν συναφείᾳ πρὸς τὸ ἑπόμενον «ὄντα».

6) Εὐεργ. βιβλ. α' ὑπόθ. κα'. σ. 66. πρβλ. Ἐφραὶμ σ. ρξη'. ἐν τῷ «πρόσεχε ἑαυτῷ».

7) Εὐεργ. βιβλ. β' ὑπόθ. λδ'. σ. 108·

κρὸν τῷ πιστῷ ἔχειν τὸ ἔργον παραμικρόν [1]. Ἐὰν οὖν φυλάξητε ταῦτα ἐν ἁπλότητι, ἐν γνώσει, ἀπελεύσεσθε εἰς τὴν κατάπαυσιν τοῦ Υἱοῦ τοῦ Θεοῦ ἐν χαρᾷ, ἐὰν δὲ μὴ φυλάξητε, ποιεῖτε τὸν κόπον ἐνταῦθα [2], καί, ὅταν ἐξέλθητε ἐκ τοῦ σώματος, καὶ [3] ἀπαχθήσεσθε εἰς τὴν κόλασιν, κατὰ τὰς Γραφάς· διὰ γὰρ τὰ προειρημένα ἦλθεν ὁ Δεσπότης ἡμῶν Χριστός· ἀλλ' ἡ σκληροκαρδία ἡμῶν τυφλοῖ ἡμᾶς διὰ τὰ θελήματα τῆς καρδίας ἡμῶν, ὅτι ἀγαπῶμεν ταῦτα ὑπὲρ τὸν Θεόν, καὶ οὐκ ἔχομεν ἀγάπην πρὸς αὐτόν, ὥσπερ ἀγαπῶμεν τὰ πάθη. Ἰδοὺ ἐβιασάμην ἐμαυτὸν γράψαι ὑμῖν, καὶ ταῦτα, ὁπότε τὰ πρότερα οὐκ ἠρκέσθη ὑμῖν. Ποιήσατε οὖν ἀγάπην, καὶ ἀπὸ τοῦ νῦν ἀγωνίσασθε, καὶ μὴ μείνητε ἐν τῇ ἀπεριτμήτῳ ὑμῶν καρδίᾳ, ἀλλὰ βοηθήσατε ἑαυτοῖς τὰς ὀλίγας ἡμέρας ἡμῶν, καὶ ἐὰν φυλάξητε αὐτά, αὕτη ἐστὶν ἡ ταπεινοφροσύνη, καὶ ἡ εἰρήνη καὶ ἡ ὑπακοή [4], καὶ τὸ κόψαι τὸ θέλημα, καὶ ἡ ἀγάπη. Ἐὰν δὲ μὴ φυλάξητε, ἀλλ' ἔστιν ἐν ὑμῖν ζῆλος καὶ ἔρις, ἢ φιλονεικία, ἢ ὑψηλοκαρδία, ἢ μέμψις ἢ γογγυσμός, ἢ παρακοή, ἀναλίσκετε τὸν χρόνον κακῶς, καὶ ἐν ἀληθείᾳ ἀπέρχεσθε εἰς τὴν κόλασιν, ὅταν ἐξέρχησθε ἐκ τοῦ σώματος. Διό, ἀγαπητοί, ἀγαπήσατε τοὺς ἀδελφοὺς ὑμῶν ἐν ἀγάπῃ ἁγίᾳ, καὶ φυλάξατε τὴν γλῶσσαν ὑμῶν, μὴ ἐκβάλλοντες ἐκ τοῦ στόματος ὑμῶν λόγον φιλονεικίας, ἵνα μὴ ἐκπλήξῃς [5] τὸν ἀδελφόν σου. Δυνατὸς δέ ἐστιν ὁ Δεσπότης δοῦναι πᾶσιν ὑμῖν τοῦ ἐργάσασθαι καὶ φυλάξαι, ὅπως εὕρωμεν ἔλεος διὰ τῆς χάριτος αὐτοῦ μετὰ ἁπάντων [6] τῶν εὐαρεστησάντων αὐτῷ ἁγίων [7]. Ὅτι αὐτοῦ ἐστιν ἡ δόξα, καὶ ἡ τιμὴ καὶ ἡ προσκύνησις, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

1) Τό : «Ἀνάγνωτε εἰς τὸ φυλάξαι—παραμικρὸν» δὲν ὑπάρχει ἐν τῷ λατιν.
2) Ἤτοι, μάταιοι οἱ κόποι ὑμῶν.
3) Τὸ «καὶ» παρέλκει.
4) Ὑπομονή, καὶ ἐν τῷ λατιν. Patientia.
5) Πλήξῃς, καὶ ἐν τῷ λατιν. Offendatis. Μᾶλλον ἐκπλήξητε, κατὰ πληθ.
6) Τῶν ἁγίων εἰς τοὺς αἰῶνας. Ἀμήν.
7) Καὶ ἐν τῷ λατιν. «Qui ei placuerunt»

## ΤΟΥ ΑΥΤΟΥ

### ΠΕΡΙ ΤΩΝ ΘΕΛΟΝΤΩΝ ΗΣΥΧΑΣΑΙ ΕΝ ΗΣΥΧΙΑι ΚΑΛΗ, ΙΝΑ ΠΡΟΣΕΧΩΣΙΝ ΕΑΥΤΟΙΣ ΑΦΟΡΙΣΑΙ ΤΟΥΣ ΚΛΕΠΤΟΝΤΑΣ ΑΥΤΟΥΣ, ΚΑΙ ΜΗ ΑΝΑΛΩΣΑΙ ΤΟΝ ΚΑΙΡΟΝ ΕΝ ΑΙΧΜΑΛΩΣΙΑι ΚΑΙ ΔΟΥΛΕΙΑι ΠΙΚΡΑι, ΟΙ ΠΕΙΘΟΥΣΙ ΤΑΣ ΚΑΡΔΙΑΣ ΑΥΤΩΝ ΕΙΣ ΠΡΑΓΜΑΤΑ, Α ΟΥΚ ΑΝΗΚΕΙ ΑΥΤΟΙΣ ΚΑΤΑΛΙΠΟΝΤΑΣ ΤΑΣ ΕΑΥΤΩΝ ΑΜΑΡΤΙΑΣ [1].

### *Λόγος ς΄.*

Α΄. Τὸ ἀγαπῆσαι τὸ περιεργάζεσθαι [2] τὴν Γραφήν, τίκτει τὴν ἔχθραν καὶ τὴν ἔριν, τὸ δὲ κλαίειν περὶ τῶν ἁμαρτιῶν, φέρει τὴν εἰρήνην· ἁμαρτία γάρ ἐστι μοναχῷ καθημένῳ ἐν τῷ κελλίῳ αὐτοῦ, καὶ καταλιμπάνοντι τὰς ἑαυτοῦ ἁμαρτίας καὶ περιεργαζομένῳ τὴν Γραφήν. Ὅστις παρέχει τὴν καρδίαν αὐτοῦ [3], ὅτι πῶς εἶπεν ἡ Γραφή, οὕτως ἢ οὕτως, πρὶν ἑαυτὸν κτήσηται, ὁ τοιοῦτος καρδίαν περίεργον ἔχει, καὶ αἰχμαλωσίαν σφόδρα. Ὅστις δὲ γρηγορεῖ [4] περὶ τοῦ μὴ αἰχμαλωτισθῆναι [5], ἀγαπᾷ τὸ παραρρίπτειν ἑαυτὸν ἐνώπιον τοῦ Θεοῦ ἀεί. Ὅστις ἐκζητεῖ ὁμοίωμα περὶ τοῦ Θεοῦ, βλασφημεῖ τὸν Θεόν, ὅστις δὲ ἐκζητεῖ τιμῆσαι αὐτόν, ἀγαπᾷ τὴν ἁγνείαν, ἐν φόβῳ Θεοῦ. Ὅστις φυλάττει τοὺς λόγους τοῦ Θεοῦ, ἔγνω τὸν Θεὸν καὶ ποιεῖ αὐτοὺς ὡς ἐποφείλων [6]· μὴ ζητήσῃς τὰ ὑψηλά [7], ἐν ὅσῳ εὐχῃ αὐτῷ περὶ βοη-

---

1) Ὁ τίτλος τοῦ ἑλλην. κειμ. εἶνε πληρέστερος τοῦ λατ. Ὀρθότερον «καταλιπόντες».
2) Ἄλλη γραφή, περιεργάζεσθαι. Εὐεργ. βιβλ. δ΄. ὑπόθ. ιζ΄. σ. 68.
3) Αὐτόθι.
4) Αὐτόθι.
5) Ἤτοι, ὑπὸ τῆς ἁμαρτίας.
6) «Καὶ ποιεῖ αὐτοὺς ὡς ἐποφείλων» δὲν ὑπάρχει ἐν τῷ λατιν.
7) Ἔνθ᾽ ἀνωτέρω.

θείας, ἵνα ἔλθῃ σοι, καὶ σώσῃ σε ἀπὸ τῆς ἁμαρτίας, τὰ γὰρ τοῦ Θεοῦ ἀφ' ἑαυτῶν ἔρχονται, ἐὰν ὁ τόπος ἀβέβηλος καὶ ἁγνὸς γένηται. Ὅστις στηρίζει [1] ἑαυτὸν ἐπὶ τῇ ἰδίᾳ γνώσει, καὶ κατέχει τὸ θέλημα αὐτοῦ, κτᾶται τὴν ἔχθραν, καὶ ἐκ τοῦ πνεύματος οὐ δύναται εἶναι τοῦ φέροντος λύπην ἐν τῇ καρδίᾳ. Ὅστις ὁρᾷ [2] τοὺς λόγους τῆς Γραφῆς, καὶ ποιεῖ αὐτοὺς κατὰ τὴν ἰδίαν γνῶσιν καὶ ἐπιστηρίζει ἑαυτὸν ἐπ' αὐτῆς, ὅτι οὕτως ἐστίν, ὁ τοιοῦτος ἀγνοεῖ τὴν δόξαν τοῦ Θεοῦ καὶ τὸν πλοῦτον αὐτοῦ, ὁ δὲ βλέπων καὶ λέγων οὐκ οἶδα, ἄνθρωπός εἰμι, τὴν δόξαν τῷ Θεῷ παρέχει· εἰς τὸν τοιοῦτον ὁ πλοῦτος τοῦ Θεοῦ κατοικεῖ, κατὰ τὴν αὐτοῦ δύναμιν καὶ τὸν αὐτοῦ λογισμόν [3]. Μὴ θελήσῃς γυμνάσαι [4] τὸν λογισμόν σου μετὰ πάντων, εἰ μὴ μετὰ τῶν Πατέρων σου, ἵνα μὴ ἑλκύσῃς ἑαυτῷ λύπην ἐν τῇ καρδίᾳ σου. Φύλαξον τὸ στόμα σου, ἵνα ὁ πλησίον σου εὑρεθῇ παρὰ σοὶ τίμιος. Δίδαξον τὴν γλῶσσάν σου [5] εἰς τοὺς λόγους τοῦ Θεοῦ ἐν γνώσει, καὶ τὸ ψεῦδος φεύγει ἀπὸ σοῦ· τὸ ἀγαπᾶν τὴν δόξαν τῶν ἀνθρώπων τίκτει τὸ ψεῦδος [6], τὸ δὲ ἀναστρέψαι αὐτὸν ἐν ταπεινώσει, ποιεῖ τὸν φόβον τοῦ Θεοῦ μείζονα ἐν τῇ καρδίᾳ σου. Μὴ θελήσῃς φίλος γενέσθαι τῶν ἐνδόξων τοῦ κόσμου, ἵνα μὴ ἡ δόξα αὐτοῦ [7] ἀμβλυνθῇ παρὰ σοί. Ἐάν τις καταλαλήσῃ τοῦ ἀδελφοῦ αὐτοῦ παρὰ σοί, καὶ καταβάλῃ αὐτόν, καὶ ἐκφαίνῃ κακίαν, μὴ θελήσῃς ἐκκλῖναι κατ' αὐτοῦ, ἵνα μὴ καταλάβῃ σε, ἃ οὐ θέλεις.

Β'. Ἡ ἁπλότης [8] καὶ τὸ μὴ μετρεῖν ἑαυτόν, ἁγνίζει τὴν καρδίαν ἀπὸ τοῦ πονηροῦ. Ὅστις περιπατεῖ μετὰ τοῦ ἀδελφοῦ αὐτοῦ ἐν πανουργίᾳ, οὐ μὴ παρέλθῃ αὐτὸν λύπη καρδίας. Ὅστις λαλεῖ

---

1) Αὐτόθι.

2) Αὐτόθι.

3) «Κατὰ τὴν αὐτοῦ δύναμιν καὶ τὸν αὐτοῦ λογισμόν» δὲν ἀναγινώσκονται ἐν τῷ λατιν.

4) Προτιμότερον «γυμνῶσαι» ὡς ἐν τῷ λατιν. «Aperire».

5) Εὐεργετ. βιβλ. β'. ὑπόθ. με'. σ. 137. Κλίμαξ Ἰωάν. σχόλ. ε'. τοῦ ιδ'. λόγου. Πατρολ. τόμ. 886, 857.

6) Κλίμαξ Ἰωάν. σχολ. δ'. τοῦ ιδ'. λόγ.

7) Ἤτοι, τοῦ Θεοῦ. «Dei gloriam» ἐν τῷ λατιν.

8) Εὐεργετ. βιβλ. γ'. ὑπόθ. ε'. σ. 19.

ἄλλο; καὶ [1] ἐν τῇ καρδίᾳ αὐτοῦ ἄλλο ἐν πονηρίᾳ [2], πᾶσα ἡ λειτουργία τοῦ τοιούτου ματαία. Μὴ κολληθῇς τινι τοιούτῳ, ἵνα μὴ σπιλωθῇς ἐκ τοῦ ἰοῦ αὐτοῦ τοῦ μεμιασμένου· περιπάτησον μετὰ τῶν ἀκάκων, ἵνα κοινωνὸς γένῃ τῆς δόξης αὐτῶν καὶ τῆς ἁγνείας· μὴ σχῇς πονηρίαν εἰς ἄνθρωπον, ἵνα μὴ τοὺς κόπους σου ἀργοὺς ποιήσῃς· ἅγνισόν σου τὴν καρδίαν μετὰ πάντων [3], ἵνα θεωρήσῃς τὴν εἰρήνην τοῦ Θεοῦ ἐν σοί. Ὥσπερ γὰρ ἐάν τις κρουσθῇ ὑπὸ σκορπίου ὁ ἰὸς αὐτοῦ εἰσέρχεται εἰς ὅλον τὸ σῶμα αὐτοῦ καὶ βλάπτει τὴν καρδίαν αὐτοῦ, τοιαύτη ἐστὶν ἡ πρὸς τὸν πλησίον κακία ἐν τῇ καρδίᾳ, ὁ γὰρ ἰὸς αὐτῆς κεντεῖ τὴν ψυχὴν καὶ κινδυνεύει ἀπὸ τῆς πονηρίας. Ὅστις οὖν φείδεται τῶν κόπων αὐτοῦ, ἵνα μὴ ταχέως ἀπόλωνται, ἐκτινάσσει ἀπ' αὐτοῦ τὸν σκορπιὸν τοῦτον, τουτέστι τὴν πονηρίαν καὶ τὴν κακίαν [4].

---

1) Ἤτοι, ἔχει.

2) Κλίμαξ Ἰωάν. σχόλ. ϐʹ. τοῦ ιϐʹ. λόγ. Πατρολ. τόμ. 88. σ. 857.

3) Πρὸς πάντας, δῆλον ὅτι.

4) Ἐν δὲ τῷ λατιν. ἕπονται τὰ ἑξῆς : «Ἐκ δὲ τῆς φθορᾶς ταύτης ἀπελευθερωσάτω ἡμᾶς ἡ ἀγαθότης τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, οὗτινος ἡ δόξα καὶ ἡ λατρεία εἰς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

# ΤΟΥ ΑΥΤΟΥ

## ΠΕΡΙ ΑΡΕΤΩΝ [1].

### *Λόγος ζ΄.*

Α΄. Τρεῖς ἀρεταί εἰσιν, προνοοῦσαι τοῦ νοῦ [2] διὰ παντός, καὶ χρείαν αὐτῶν ἔχει ἡ κατὰ φύσιν ὁρμή, καὶ ἡ ἀνδρεία, καὶ ἡ ἀοκνησία [3].

Β΄. Τρεῖς εἰσὶν ἀρεταί [4], ἅς, ἐὰν ἴδῃ ὁ νοῦς μετ' αὐτοῦ [5], πιστεύει, ὅτι ἔφθασεν εἰς τὴν ἀθανασίαν· ἡ διάκρισις, τὸ [6] ἀφορίσαι ἕκαστον ἀπ' ἀλλήλων, καὶ τὸ προβλέπειν πάντα πρὸ καιροῦ, καὶ τὸ μὴ συμπείθεσθαι μετά τινος ἀλλοτρίου.

Γ΄. Τρεῖς ἀρεταί εἰσιν ἐπιχορηγοῦσαι φῶς τῷ νοῒ διαπαντός, τὸ μὴ εἰδέναι πονηρίαν τινὸς ἀνθρώπου, καὶ τὸ ἀγαθοποιῆσαι τοὺς κακοποιοῦντάς σε [7], καὶ τὸ ὑποφέρειν [8] τὰ ἐπερχόμενά σοι ἀταράχως [9]· αἱ τρεῖς αὗται ἀρεταὶ γεννῶσιν ἄλλας τρεῖς μείζους αὐτῶν· τὸ μὴ εἰδέναι πονηρίαν ἀνθρώπου, γεννᾷ τὴν ἀγάπην, καὶ τὸ ἀγαθοποιῆσαι τοὺς κακοποιοῦντάς σε, κτᾶται τὴν εἰρήνην καὶ

---

1) Ἐν χειρογράφῳ ΙΒ΄. αἰῶνος Σαβαΐτ. συλλογῆς ὑπ' ἀριθμ. 78 τῆς Ἱεροσολ. βιβλιοθήκης ἡ ἐπιγραφὴ ἔχει ὡς ἑξῆς : «Τοῦ ἀββᾶ Ἠσαΐου τοῦ ἡσυχαστοῦ καὶ πρεσβυτέρου περὶ ἀρετῶν».

2) Τῷ νοΐ· αἱ διορθώσεις κατὰ τὸν ἀνωτέρω κώδικα.

3) Ὀργή, καὶ ἀοκνησία, καὶ ἀνδρεία.

4) Εὐεργετ. βιβλ. δ΄. ὑπόθ. κδ΄. σ. 96.

5) Ἤτοι, μεθ' ἑαυτοῦ, secum.

6) Καὶ τό.

7) Τοῖς κακοποιοῦσί σε.

8) Πάντα τά.

9) Ἐντεῦθεν μέχρι τοῦ : «Τέσσαρες ἀρεταί εἰσιν» ἐλλείπουσιν ἐκ τοῦ Σαβαϊτικοῦ κώδικος.

τὸ ἐπενεγκεῖν τὰ ἐπερχόμενά σοι ἀταράχως, φέρει τὴν πραότητα.

Δ'. Τέσσαρες ἀρεταί εἰσιν αἱ ἁγνίζουσαι τὴν ψυχήν [1], ἡ σιωπή, καὶ τὸ φυλάξαι τὰς ἐντολάς, καὶ ἡ στενοχωρία, καὶ ἡ ταπεινοφροσύνη· ὁ νοῦς [2] χρήζει τῶν τεσσάρων ἀρετῶν πάντοτε τούτων, τὸ εὔχεσθαι τῷ Θεῷ προσπίπτοντα ἀδιαλείπτως [3], καὶ τὸ παραρρίπτεσθαι ἐνώπιον τοῦ Θεοῦ, καὶ τὸ ἀμεριμνῆσαι ἀπὸ παντὸς ἀνθρώπου τὸ [4] μὴ κρῖναι αὐτόν, καὶ τὸ κωφεῦσαι πρὸς τὰ λαλοῦντα [5] αὐτῷ πάθη.

Ε'. Τέσσαρες ἀρεταὶ περιτειχίζουσι τὴν ψυχήν, καὶ ἀναπνεῦσαι αὐτὴν ποιοῦσιν [6] ἀπὸ τῆς ταραχῆς τῶν ἐχθρῶν· ὁ ἔλεος [7], καὶ ἡ ἀοργησία, καὶ ἡ μακροθυμία, καὶ τὸ ἀποτινάξαι πάντα σπόρον ἐπερχόμενον τῆς ἁμαρτίας [8]· τὸ δὲ ἀντιστῆναι τῇ λήθῃ ταῦτα πάντα φυλάττει.

ΣΤ'. Τέσσαρες ἀρεταί εἰσιν, αἱ βοηθοῦσαι τῇ νεότητι μετὰ Θεόν [9], ἡ μελέτη ἐν πάσῃ ὥρᾳ, καὶ ἡ ἀοκνησία, καὶ ἡ ἀγρυπνία, καὶ τὸ μὴ μετρεῖν ἑαυτόν.

Ζ'. Διὰ τεσσάρων πραγμάτων ἡ ψυχὴ μιαίνεται, διὰ τὸ περιπατεῖν ἐν πόλει, καὶ μὴ φυλάττειν τοὺς ὀφθαλμούς, καὶ τὸ ἔχειν φιλίαν μετὰ γυναικὸς ὅλως καὶ τὸ ἔχειν φιλίαν μετὰ τῶν

---

1) Ἐν χειρογράφῳ 181 τοῦ ΙΓ'. αἰῶνος πατριαρχ. συλλογῆς καὶ ἀγνώστου κειμένου τοῦ ἀββᾶ Ἡσαΐου πρὸ τοῦ: «Τέσσαρες ἀρεταί εἰσιν αἱ ἁγνίζουσαι» εὑρίσκονται τὰ ἑξῆς: «Εἶπε πάλιν (ὁ ἀββᾶς Ἡσαΐας) ἀρεταὶ ψυχῆς εἰσιν δεκαοκτώ: ἀγάπη, ταπείνωσις, πραΰτης, μακροθυμία, ἀνεξικακία, ἀμνησικακία, ἀοργησία, ἀθυμυσία, ἀφθονησία, ἀκατακρισία, ἀκενοδοξία, ἐλεημοσύνη, σωφροσύνη, ἀφιλοργησία, συμπάθεια, ἀτυφία, ἀνυπερηφανία, κατάνυξις. Ἀρεταὶ σώματος ἕξ: νηστεία, χαμευνία, ἀγρυπνία, ἐγκράτεια, ἀκτημοσύνη, ἀπερισπασία». Κλίμαξ Ἰωάν. σχόλ. κ'. τοῦ ιε'. λόγ. Πατρολ. τόμ. 88 σ. 812. Εὐεργ. βιβλ. δ'. ὑπόθ. κδ'. σ. 96.

2) Διαπαντός.

3) Τά: «Προσπίπτοντα ἀδιαλείπτως» ἐλλείπουσι ἐκ τοῦ Σαβ. κώδ.

4) Μᾶλλον, τοῦ.

5) Λαλούμενα.

6) Αὐτὴν ἀναπαῆναι.

7) Ἡ ἐλεημοσύνη.

8) Πάντα τὰ ἐπερχόμενά σοι σπόρον ἁμαρτίας. Ἐν τῷ λατιν. Injuriarum oblivio, ὕβρεων λήθη.

1) Ἤτοι, παρὰ Θεῷ.

ἐνδόξων τοῦ κόσμου, καὶ τὸ ἀγαπῆσαι τοὺς κατὰ σάρκα γονεῖς ἐν ὁμαλίαις [1].

Η'. Διὰ τεσσάρων πραγμάτων πληθύνεται ἡ πορνεία ἐν τῷ σώματι [2]· διὰ τὸ κοιμηθῆναι εἰς κόρον, καὶ φαγεῖν εἰς πλησμονήν, καὶ ἀπὸ εὐτραπελίας, καὶ ἀπὸ κοσμήσεως.

Θ'. Διὰ τεσσάρων πραγμάτων σκοτίζεται ἡ ψυχή [3]· διὰ τὸ μισῆσαι τὸν πλησίον, καὶ ἐξουδενῶσαι [4], καὶ ζηλῶσαι, καὶ γογγύσαι.

Ι'. Διὰ τεσσάρων πραγμάτων γίνεται ἔρημος ἡ ψυχή· διὰ τὸ περιέρχεσθαι ἀπὸ τόπου εἰς τόπον, καὶ ἀγαπῆσαι τὸν περισπασμόν, καὶ ἀγαπῆσαι τὴν ὕλην, καὶ διὰ σκνιπείαν [5].

ΙΑ'. Διὰ τεσσάρων πραγμάτων ἡ ὀργὴ πληθύνεται· διὰ τῆς δοσοληψίας [6], καὶ τοῦ κρατῆσαι τὸ θέλημά σου, καὶ τοῦ θέλειν διδάσκειν, καὶ τοῦ λογίζεσθαι ἑαυτὸν [7] φρόνιμον.

ΙΒ'. Τρία ἐστὶ πράγματα [8], ἃ δυσκόλως κτᾶται ὁ ἄνθρωπος, καὶ αὐτὰ φυλάττει πάσας τὰς ἀρετάς· τὸ πένθος, καὶ τὸ κλαίειν ἐπὶ ταῖς ἁμαρτίαις αὐτοῦ, καὶ τὸ ἔχειν πρὸ ὀφθαλμοῦ [9] τὸν ἑαυτοῦ θάνατον. Τρία εἰσὶ πράγματα [10], τὰ κατακυριεύοντα [11] τῆς ψυχῆς, ἕως οὗ φθάσῃ εἰς μέγα μέτρον, καὶ αὐτά εἰσιν τὰ μὴ συγχωροῦντα τὰς ἀρετὰς οἰκῆσαι μετὰ τοῦ νοῦ [12], ἡ αἰχμαλωσία, ἡ ὀκνηρία, καὶ ἡ λήθη. Πολεμεῖ γὰρ μετὰ τοῦ ἀνθρώπου ἡ λήθη, ἕως αὐτῆς τῆς ἀναπνοῆς, εἰς ἀγωνίαν φέρουσα, καὶ ἰσχυροτέρα

---

1) Ὁμιλίαις, ἤτοι, ἔχειν οἰκειότητα.
2) Κλίμαξ Ἰωάν, σχολ δ'. τοῦ ιδ'. λόγ.
3) Εὐεργ. βιβλ. δ'. ὑπόθ. κδ'. σ. 96.
4) Ἐξουθενῆσαι.
5) Μᾶλλον «κνιπείαν», φιλαργυρία, avaritia ἐν τῷ λατ.
6) Διὰ τὸ δοῦναι καὶ λαβεῖν. Ἐν τῷ λατιν. Cum non assequimur concupita, μὴ ἐφικνούμενοι τῶν ποθουμένων.
7) Εἶναι φρόνιμον.
8) Κλίμαξ Ἰωάν. σχολ. κε'. τοῦ η'. λόγ. Πατρολ. τόμ. 88. σ. 828. Εὐεργ. βιβλ. α'. ὑπόθ. ε'. σ. 36.
9) Πρὸ ὀφθαλμῶν.
10) Εὐεργ. βιβλ. δ'. ὑπόθ. στ'. σ. 32.
11) Τρία πράγματά εἰσι τὰ κυριεύοντα.
12) Νοός.

ἐστὶ πάντων τῶν λογισμῶν, καὶ γεννητική ἐστι πάντων τῶν πονηρῶν, καὶ τὰ οἰκοδομούμενα ὑπὸ [1] τοῦ ἀνθρώπου καθ' ἑκάστην ὥραν καταλύει.

ΙΓ'. Ἰδοὺ τὰ ἔργα τοῦ καινοῦ ἀνθρώπου καὶ τοῦ παλαιοῦ. «Ὁ ἀγαπῶν τὴν ψυχὴν αὐτοῦ εἰς τὸ μὴ ἀπολέσαι αὐτὴν» (Ματθ. ι'. 39), φυλάττει τὰ τοῦ καινοῦ ἀνθρώπου· καὶ ὁ θέλων τὴν ἀνάπαυσιν ἐν τῷ βραχεῖ καιρῷ τούτῳ, πραγματεύει καὶ πράττει τὰ τοῦ παλαιοῦ ἀνθρώπου· τὴν δὲ ψυχὴν αὐτοῦ ἀπόλλυσιν [2]. Ὁ δὲ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, φανερῶν [3] τὸν νέον ἄνθρωπον ἐν τῷ αὐτοῦ σώματι, ἔλεγεν: «Ὁ ἀγαπῶν τὴν ψυχὴν αὐτοῦ ἀπολέσει αὐτήν, ὃς δ' ἂν ἀπολέσῃ αὐτήν, ἕνεκεν ἐμοῦ, εὑρήσει αὐτὴν» (Ματθ. ι'. 39). Αὐτὸς γάρ ἐστιν ὁ Δεσπότης τῆς εἰρήνης, καὶ δι' αὐτοῦ ἐλύθη: «Τὸ μεσότοιχον τῆς ἔχθρας» (Ἐφεσ. β'. 14). καὶ ἔλεγεν: «Οὐκ ἦλθον βαλεῖν εἰρήνην, ἀλλὰ μάχαιραν» (Ματθ. ι'. 34). Καὶ πάλιν λέγει: «Πῦρ ἦλθον βαλεῖν ἐπὶ τὴν γῆν καὶ ἤθελον [4] εἰ ἤδη ἀνήφθη»» (Λουκ. ιβ'. 49)· τουτέστιν ὅτι, ἐν τοῖς ἐξακολουθήσασι [5] ταῖς διδαχαῖς [6] αὐτοῦ ταῖς ἁγίαις, ἐγένετο τὸ πῦρ τῆς θεότητος αὐτοῦ [7]. τότε εὗρον τὴν μάχαιραν τοῦ Πνεύματος, καὶ ἤγρευσαν πᾶσι τοῖς θελήμασι τῆς σαρκὸς [8] αὐτῶν, καὶ λοιπὸν ἔδωκεν αὐτοῖς τὴν χαρὰν λέγων: «Εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν, εἰρήνην τὴν ἐμὴν ἀφίημί ὑμῖν» (Ἰωάν. ιδ'. 27)[9].

---

1) Ἀπό.
2) Αὐτοῦ.
3) Φανερώσας.
4) Καὶ τί θέλω.
5) Ἐξακολουθοῦσιν.
6) Ἐντολαῖς.
7) Τῆς ἑαυτοῦ θεότητος.
8) Καρδίας.
9) Ἕπονται τὰ ἑξῆς, μεθ' ἃ περατοῦται ὁ λόγος ἐν τῷ Σαβαΐτ. κώδικι: «Λέγει ὁ ἀδελφὸς τῷ γέροντι· τί ποιήσει ὁ ἄνθρωπος ἐν παντὶ πειρασμῷ ἐρχομένῳ ἐπ' αὐτῷ, ἢ ἐν παντὶ λογισμῷ τοῦ ἐχθροῦ; λέγει αὐτῷ ὁ γέρων· κλαίειν ὀφείλει ἐνώπιον τῆς ἀγαθότητος τοῦ Θεοῦ, ἵνα βοηθήσῃ αὐτῷ καὶ ἀναπαύεται ταχέως, ἐὰν παρακαλῇ ἐν γνώσει, γέγραπται γάρ: «Κύριος ἐμοὶ βοηθός, καὶ οὐ φοβηθήσομαι, τί ποιήσει μοι σάρξ» (Ψαλμ. ριζ'. 9). Ἐν τοῖς Ἀποφθέγμασι τῶν Πατέρων ταῦτα ἀποδίδονται τῷ ἀββᾷ Μωϋσῇ τῷ Αἰθίοπι (σελ. 288, Migne τ. 65).

Ἰδοὺ οἱ φροντίσαντες ἀπώλεσαν τὴν ψυχὴν αὐτῶν ἐν τῷ αἰῶνι τούτῳ, καί, κόψαντες τὰ θελήματα ἑαυτῶν, ἐγένοντο αὐτοῦ πρόβατα ἅγια εἰς θυσίαν, καί, ὅταν φανερωθῇ ἐν τῇ δόξῃ τῆς θεότητος αὐτοῦ, καλέσει αὐτοὺς εἰς τὰ δεξιὰ αὐτοῦ, λέγων: «Δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου· ἐπείνασα γὰρ καὶ ἐδώκατέ μοι φαγεῖν» (Ματθ. κε'. 34-35) καὶ τὰ ἑξῆς. Ἰδοὺ οἱ ἀπολέσαντες τὴν ψυχὴν αὐτῶν ἐν τῷ βραχεῖ καιρῷ τούτῳ, εὗρον αὐτὴν ἐν τῷ καιρῷ τῆς ἀνάγκης, ἀπολαβόντες τὸν μισθὸν πολυπλασίονα [1], ὑπὲρ ὧν προσεδόκουν [2] ἀπολαβεῖν. Οἱ δὲ ἐκτελέσαντες τὰ θελήματα αὐτῶν, ἐφύλαξαν τὴν ψυχὴν αὐτῶν ἐν τῷ ἁμαρτωλῷ αἰῶνι τούτῳ, ἀπατηθέντες τῇ ματαιότητι τοῦ πλούτου αὐτῶν, καὶ μὴ φυλάξαντες τὰς ἐντολὰς τοῦ Θεοῦ, ἀλλὰ νομίσαντες, ὅτι, ἕως τέλους μένουσιν ἐν τῷ αἰῶνι τούτῳ· διὰ τοῦτο φανερωθήσεται ἡ αἰσχύνη τῆς τυφλώσεως αὐτῶν ἐν τῇ ὥρᾳ τῆς κρίσεως, καὶ γενήσονται ἐρίφια κατηραμένα· καὶ ἀκούσουσι τῆς φοβερᾶς ἀποφάσεως τοῦ κριτοῦ λέγοντος: «Ἀπέλθετε ἀπ' ἐμοῦ οἱ κατηραμένοι εἰς τὸ πῦρ, καὶ εἰς τὸ σκότος τὸ ἐξώτερον, τὸ αἰώνιον, τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ, ἐπείνασα γὰρ καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν» (Ματθ. κε'. 41) καὶ τὰ ἑξῆς· αὐτῶν δὲ φιμωθήσεται τὸ στόμα, καὶ οὐχ εὑρήσουσι τί εἰπεῖν, μνησθήσονται γὰρ τῆς ἀνελεημοσύνης καὶ πτωχείας αὐτῶν [3]· τότε λέξουσι: «Κύριε, πότε σε εἴδομεν πεινῶντα καὶ οὐ διηκονήσαμέν σοι», ἀποφιμώσει δὲ τὸ στόμα αὐτῶν, λέγων: «Ὁ ἀγαθοποιήσας ἑνὶ τούτων τῶν πιστευόντων ἐμοὶ ἐποίησεν» (αὐτόθ. 45).

ΙΔ'. Ἐρευνήσωμεν οὖν ἑαυτούς, ἀγαπητοί, εἰ ἕκαστος ἡμῶν ἐπιτελεῖ τὰς ἐντολὰς αὐτοῦ κατὰ τὴν δύναμιν αὐτοῦ ἢ οὔ· ὀφειλέται γὰρ πάντες ἐσμὲν [4] ἐπιτελέσαι αὐτάς, κατά τὴν δύναμιν

1) Πολλαπλασίονα.
2) Προσεδόκων.
3) «Μνησθήσονται γὰρ τῆς ἀνελεημοσύνης καὶ πτωχείας αὐτῶν» ἐλλείπουσιν ἐν τῷ λατιν.
4) Εὐ. γ.τ. βιβλ. γ'. ὑπόθ. ια'. σ. 29.

ἡμῶν, ὁ μικρὸς κατὰ τὴν μικρότητα, καὶ ὁ μέγας κατὰ τὴν μεγαλειότητα αὐτοῦ· καὶ γὰρ οἱ βάλλοντες τὰ δῶρα αὐτῶν ἐν τῷ γαζοφυλακίῳ πλούσιοι ἦσαν, ἀλλ' ἐχάρη μᾶλλον μετὰ τῆς πενιχρᾶς χήρας διὰ τὰ δύο αὐτῆς λεπτὰ (Μάρκ. ιβ'. 41-43, Λουκ. κα'. 1-3)· εἰς γὰρ τὴν προαίρεσιν ἡμῶν προσέχει ὁ Θεός· μὴ δώσωμεν οὖν τόπον τῇ ἀκηδίᾳ ἐν τῇ καρδίᾳ ἡμῶν, ὅπως μὴ ἡ βασκανία ἀφορίσῃ ἡμᾶς ἀπὸ τοῦ Θεοῦ, ἀλλ' ἐπιτελέσωμεν τὰς διακονίας ἡμῶν, κατὰ τὴν πτωχείαν ἡμῶν. Ὥσπερ γὰρ ἐποίησεν ἔλεος μετὰ τοῦ ἀρχισυναγώγου τῆς θυγατρός, ἀναστήσας αὐτὴν (Ματθ. θ'. 25), καὶ ὡς ἠλέησε καὶ τὴν αἱμορροοῦσαν τὰ ἑαυτῆς τοῖς ἰατροῖς ἀναλώσασαν (αὐτόθ. 22), πρὸ τοῦ αὐτὴν γνῶναι τὸν Χριστόν· καὶ ὥσπερ ἰάσατο τὸν παῖδα τοῦ ἑκατοντάρχου, διότι ἐπίστευσεν (Ματθ. η'. 13), οὕτως ἠλέησε τὴν Χαναναίαν, ἰασάμενος τὴν θυγατέρα αὐτῆς (Ματθ. ιε'. 28)· καὶ ὥσπερ ἀνέστησε Λάζαρον τὸν ἀγαπητὸν αὐτοῦ (Ἰωάν. ια'. 44), οὕτως ἤγειρε τὸν μονογενῆ υἱὸν τῆς πενιχρᾶς χήρας διὰ τὰ δάκρυα αὐτῆς (Λουκ. ζ'. 15)· καὶ ὥσπερ οὐχ ὑπερεῖδε Μαρίαν, τὴν ἀλείφουσαν τοὺς πόδας αὐτοῦ μύρῳ (Ἰωάν. ιβ'. 3), οὕτως οὐκ ἀπεσείσατο τὴν γυναῖκα τὴν ἁμαρτωλόν, ἀλείφουσαν τοὺς πόδας αὐτοῦ μῦρον μετὰ δακρύων (Λουκ. ζ'. 38)· καὶ ὥσπερ ἐκάλεσε Πέτρον καὶ Ἰωάννην ἀπὸ τοῦ πλοιαρίου αὐτῶν λέγων, ἀκολουθήσατέ μοι (Ματθ. δ'. 20), οὕτως ἐκάλεσε καὶ Ματθαῖον, ἐν τῷ τελωνείῳ καθήμενον (Ματθ. θ'. 9)· καὶ ὥσπερ ἔνιψε τοὺς πόδας τῶν μαθητῶν (Ἰωάν. ιγ'. 5), οὕτως ἔνιψε καὶ τοῦ Ἰούδα, διαφορὰν οὐ ποιήσας· καὶ ὥσπερ ἦλθε τὸ Παράκλητον Πνεῦμα ἐπὶ τοὺς Ἀποστόλους (Πράξ. β'. 4), οὕτως ἦλθε καὶ ἐπὶ Κορνήλιον (αὐτόθ. ια'. 44) μετὰ παρρησίας· καὶ ὥσπερ ἠνάγκασεν Ἀνανίαν ἐν Δαμασκῷ διὰ Παύλου λέγων: «Ὅτι σκεῦος ἐκλογῆς μοι ἐστὶν» (αὐτ. θ'. 15), οὕτως ἠνάγκασε Φίλιππον ἐν Σαμαρείᾳ διὰ τὸν Εὐνοῦχον τὸν αἰθίοπα (αὐτ. η'. 27). Οὐκ ἔστι γὰρ ἐνώπιον αὐτοῦ προσωποληψία (Ρωμ. β'. 11) τοῦ μικροῦ καὶ τοῦ μεγάλου, οὐ πλουσίου καὶ πτωχοῦ, ἀλλὰ προαίρεσιν ζητεῖ, καὶ πίστιν εἰς αὐτόν, καὶ τήρησιν τῶν ἐντολῶν αὐτοῦ, καὶ ἀγάπην εἰς πάντας. Αὕτη γὰρ σφραγίς ἐστι τῇ ψυχῇ, ὅταν ἐξέρχηται ἐκ τοῦ σώματος, καθὼς

καὶ ἐνετείλατο τοῖς μαθηταῖς αὐτοῦ λέγων: «Ἐν τούτῳ γνώσονται πάντες, ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγαπᾶτε ἀλλήλους» (Ἰωάν. ιγ'. 35)· Περὶ τίνων οὖν λέγει, ὅτι γνώσονται ἡμᾶς, εἰ μὴ περὶ τῶν δυνάμεων τῆς δεξιᾶς καὶ τῆς ἀριστερᾶς[1]; ἐὰν γὰρ ἴδωσιν οἱ ἀντικείμενοι τὸ σημεῖον τῆς ἀγάπης μετὰ τῆς ψυχῆς πορευόμενον, ἀφίστανται ἀπ' αὐτῆς ἐν φόβῳ, καὶ τότε χαρήσονται πάντες μετ' αὐτῆς, πᾶσαι αἱ ἅγιαι δυνάμεις.

ΙΕ'. Ἀγωνισώμεθα οὖν, ἀγαπητοί, κατὰ τὴν δύναμιν ἡμῶν, κτησώμεθα αὐτήν, ὅπως μὴ κατάσχωσιν ἡμᾶς οἱ ἐχθροὶ ἡμῶν. αὐτὸς γὰρ εἶπεν: «Οὐ δύναται πόλις κρυβῆναι ἐπάνω ὄρους κειμένη» (Ματθ. ε'. 15). Περὶ ποίου ὄρους λέγει, εἰ μὴ περὶ τοῦ ἁγίου αὐτοῦ λόγου; ποιήσωμεν οὖν ἀγαπητοὶ τὸν κόπον ἡμῶν μετὰ σπουδῆς καὶ γνώσεως, ἀποπληροῦντες τὸν λόγον αὐτοῦ τὸν λέγοντα, ὁ ἀγαπῶν με τὰς ἐντολάς μου φυλάξει (Ἰωάν. ιδ'. 23), ἵνα ἔσωνται ἡμῖν οἱ κόποι, ὡς πόλις σῶα καὶ ὀχυρά, φυλάττουσα ἡμᾶς ἐν τῷ λόγῳ αὐτοῦ ἐκ χειρὸς πάντων τῶν ἐχθρῶν ἡμῶν, ἕως οὗ ἀπαντήσωμεν αὐτῷ. Ἐὰν γὰρ εὕρωμεν παρρησίαν, σκορπίζονται πάντες οἱ ἐχθροὶ ἡμῶν, διὰ τοῦ ἁγίου αὐτοῦ λόγου, ὅπερ ἐστὶ τὸ ὄρος, ὅθεν ἐτμήθη λίθος ἄνευ χειρῶν, ὁ συντρίψας τὴν εἰκόνα τὴν χρυσῆν, καὶ τετράμορφον τὴν ἐξάργυρον, χαλκοῦ, σιδήρου, ὀστράκου (Δαν. β'. 34-35)· καθὼς εἶπεν ὁ ἀπόστολος: «Ἐνδύσασθε τὴν πανοπλίαν τοῦ Θεοῦ πρὸς τὸ δυνηθῆναι ὑμᾶς στῆναι πρὸς τὰς μεθοδείας τοῦ διαβόλου· ὅτι οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχάς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις» (Ἐφεσ. στ'. 11-12). Αἱ τέσσαρες ἀρχαὶ αὗται εἰσίν: ἡ τετράμορφος εἰκών, ἥτις ἐστὶν ἡ ἔχθρα, ἃς ἐξήλειψεν ὁ τοῦ Θεοῦ ἅγιος Λόγος[2], καθὼς γέγραπται, ὅτι ὁ λίθος ὁ συντρίψας τὴν εἰκόνα ἐ-

1) Ἐκ τοῦ «Περὶ τίνων οὖν λέγει ὅτι» κλ. μέχρι τέλους, δὲν ἀναγινώσκονται ἐν τῷ λατιν.

1) Τά: «Ἥτις ἐστὶν ἡ ἔχθρα, ἃς ἐξήλειψεν ὁ τοῦ Θεοῦ ἅγιος λόγος» δὲν ὑπάρχουσιν ἐν τῷ λατιν.

γένετο εἰς ὄρος μέγα καὶ ἐπλήρωσε πᾶσαν τὴν γῆν (Δαν. β'. 35). Φύγωμεν, ἀδελφοί, ὑπὸ τὴν σκέπην αὐτοῦ, ἵνα ἔσηται ἡμῖν καταφυγή, καὶ σώσῃ ἡμᾶς ἐκ τῶν τεσσάρων τούτων ἐξουσιῶν τῶν πονηρῶν, ὅπως ἀκούσωμεν καὶ ἡμεῖς τὴν χαράν, μετὰ πάντων τῶν ἁγίων αὐτοῦ, τῶν συναγομένων πρὸς αὐτὸν ἐκ τῶν τεσσάρων περάτων τῆς γῆς, ὅτι ἕκαστος αὐτῶν ἀκούσει τὸν ἴδιον μακαρισμόν, κατὰ τὰ ἔργα αὐτοῦ. Δυνατὸν δέ ἐστι τὸ ὄνομα αὐτοῦ τὸ ἅγιον, ἵνα ἔσηται μεθ' ἡμῶν, καὶ ἐνδυναμώσῃ ἡμᾶς εἰς τὸ ἔργον αὐτοῦ, καὶ μὴ ἐάσῃ τὴν καρδίαν ἡμῶν πλανηθῆναι ἀπὸ τῆς λήθης τοῦ ἐχθροῦ, ἀλλὰ φυλάξει ἡμᾶς, κατὰ τὴν δύναμιν ἡμῶν, ἐπενεγκεῖν τὰ ἐπερχόμενα ἡμῖν διὰ τὸ ἅγιον αὐτοῦ ὄνομα, ὅπως εὕρωμεν ἔλεος μετὰ τῶν ἀξιωθέντων τυχεῖν τῶν μακαρισμῶν αὐτοῦ· ὅτι αὐτῷ πρέπει ἡ δόξα, καί ἡ τιμή, καὶ ἡ προσκύνησις, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

# ΤΟΥ ΑΥΤΟΥ

## ΑΠΟΦΘΕΓΜΑΤΑ.

### *Λόγος η'.*

Α'. Εἶπεν ὁ ἀββᾶς Ἡσαΐας, ὅτι τέως ἐγὼ βλέπω ἐμαυτόν, ὡς ἵππον πλανώμενον, μὴ ἔχοντα δεσπότην, καὶ ὁ εὑρίσκων αὐτὸν ἐπικαθέζεται αὐτῷ, καὶ ὅταν ἀπολύσῃ αὐτόν, ἕτερος πιάσας ἐπικαθέζεται.

Β'. Εἶπε πάλιν, ὅτι ὅμοιος εἰμί τινι, ὃν πιάσαντες οἱ ἐχθροὶ αὐτοῦ, δήσαντες ἔβαλον εἰς λάκκον βορβόρου, καὶ ἐὰν βοήσῃ πρὸς τὸν Κύριον αὐτοῦ, συγκόπτουσιν αὐτὸν πληγαῖς, πρὸς τὸ σιωπῆσαι.

Γ', Εἶπε πάλιν, ὅμοιός εἰμι στρουθίῳ [1], τὸν πόδα δεθέντι ὑπὸ παιδίου [2], καί, ἐὰν αὐτῷ χαυνώσῃ, εὐθέως ἀνίπταται, νομίζον ἀπολελύσθαι, ἐὰν δὲ καθελκύσῃ αὐτὸ τὸ παιδίον, πάλιν καταφέρει αὐτό· οὕτως οὖν ἐμαυτὸν ὁρῶ. Τοῦτο δὲ λέγω, ὅτι οὐ δεῖ τινα ἀμεριμνῆσαι, ἕως ἐσχάτης ἀναπνοῆς.

Δ'. Εἶπε πάλιν, ἐὰν χρήσῃς τινὶ τί ποτε, εἰ μὲν συγχωρήσῃς [3] αὐτῷ, τὴν φύσιν ἐμιμήσω τοῦ Ἰησοῦ, εἰ δὲ ἀπαιτήσῃς, τὴν φύσιν τοῦ Ἀδάμ, εἰ δὲ τόκον λάβῃς, παρὰ φύσιν καὶ τοῦ Ἀδάμ.

Ε'. Εἶπε πάλιν, ἐὰν ἐγκαλέσῃ σέ τις διὰ πρᾶγμα, ὃ ἐποίησας ἢ οὐκ ἐποίησας, εἰ μὲν σιωπήσῃς, κατὰ φύσιν ἐστὶ τοῦ Ἰησοῦ, εἰ δὲ ἀποκριθῇς, καὶ εἴπῃς, τί γὰρ ἐποίησα; οὐκ ἔστι τῆς αὐτῆς φύσεως, ἐὰν δὲ ἀντείπῃς ῥῆμα πρὸς ῥῆμα, παρὰ φύσιν ἐστί.

---

1) Εὐεργ. βιβλ. γ'. ὑπόθ. η' σ. 25.
2) Ἄλλη γραφή, «πεδίου», ἣν ἀκολουθεῖ καὶ τὸ λατ. κείμενον.
3) Ἤτοι, ἐὰν δὲν ἀπαιτήσῃς παρ' αὐτοῦ.

ΣΤ. Εἶπε πάλιν, ποιῶν τὰς λειτουργίας σου, ἐὰν ποιήσῃς ἐν ταπεινοφροσύνῃ, ὡς ἀνάξιος ὤν, δεκτά εἰσι τῷ Θεῷ· εἰ δὲ ἀναβῇ [1] ἐν τῇ καρδίᾳ σου, καὶ μνησθῇς ἑτέρου κοιμωμένου, ἢ ἀμελοῦντος, ἀργός ἐστιν ὁ κόπος σου.

Ζ'. Εἶπε πάλιν διὰ τὴν ταπεινοφροσύνην [2], ὅτι γλῶσσαν οὐκ ἔχει λαλῆσαι πρός τινα, ὡς ἀμελοῦντα, ἢ πρὸς ἄλλον ὡς καταφρονοῦντα, οὔτε ὀφθαλμοὺς ἔχει ἄλλου ἐλαττώματα προσέχειν, οὔτε ὦτα ἔχει ἀκοῦσαι τὰ μὴ ὠφελοῦντα τὴν ψυχὴν αὐτοῦ, καὶ οὐκ ἔχει μετά τινος πρᾶγμα, πλὴν τῶν ἁμαρτιῶν αὐτοῦ, ἀλλὰ πρὸς πάντας ἀνθρώπους ἐστὶν εἰρηνικὸς διὰ τὴν ἐντολὴν τοῦ Θεοῦ, καὶ οὐ διά τινα φιλίαν. Ἐὰν γάρ τις νηστεύσῃ ἓξ ἕξ, καὶ ἐκδῷ ἑαυτὸν εἰς μεγάλους κόπους καὶ ἐντολάς, ἐκτὸς τῆς ὁδοῦ ταύτης [3], πάντες οἱ κόποι αὐτοῦ μάταιοί εἰσιν.

Η'. Εἶπε πάλιν, ὅτι ἐάν τις κτήσηται σκεῦος πρὸς τὴν ἑαυτοῦ χρείαν, καί, ἐν καιρῷ τῆς χρείας, μὴ εὕρῃ αὐτό, εἰς μάτην αὐτὸ κέκτηται. Τοιοῦτός ἐστιν ὁ λέγων, ὅτι φοβοῦμαι τὸν Θεόν, ἐπὰν δὲ φθάσῃ εἰς τὴν ὥραν τῆς χρείας, καὶ εὕρῃ αὐτὸν ἐν καιρῷ ῥήματος, ἢ θυμοῦ, ἢ παρρησίας, εἰς τὸ διδάξαι ἕτερον, εἰς ὃ μὴ ἔφθασε δι' ἀνθρωπαρέσκειαν, ἢ διὰ τὸ ὀνομασθῆναι ἐν μέσῳ ἀνθρώπων, καὶ τὰ λοιπὰ τῶν παθῶν· ἐὰν οὖν μὴ εὕρῃ τὸν φόβον τοῦ Θεοῦ ἐν τῷ καιρῷ τούτων, μάταιοί εἰσι πάντες οἱ κόποι αὐτοῦ.

Θ'. Εἶπε πάλιν, εἰ μὴ πρότερον [4] ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐθεράπευσε πάντα τὰ πάθη τοῦ ἀνθρώπου, δι' ὃν ἐπεδήμησεν, οὐκ ἀνῆλθεν ἐπὶ τὸν σταυρόν· πρὶν ἢ γὰρ ἐλθεῖν τὸν Κύριον ἐν σαρκί, ἦν ὁ ἄνθρωπος τυφλός, καὶ ἄλαλος, καὶ παραλυτικός, καὶ κωφός, λεπρὸς καὶ χωλός, καὶ θανατωθεὶς ἐν πάσαις ταῖς παραφύσεσιν. Ὅτε δὲ ἐποίησε τὸ ἔλεος καὶ ἐπεδήμησε δι' ἡμᾶς, ἤγειρε τὸν νεκρόν, καὶ ἐποίησε τὸν χωλὸν πε-

1) Ὀρθότερον, «ἀναβῇς».
2) Εὐεργ. βιβλ. α'. ὑπόθ. με'. σ. 168. Κλίμαξ Ἰωάν. σχολ. ιγ'. τοῦ κε'. λόγ. Πατρολ. τόμ. 88 σ. 1005.
3) Ἤτοι, τῆς ταπεινοφροσύνης.
4) Εὐεργ. βιβλ. α'. ὑπόθ. λα'. σ. 108.

ριπατῆσαι, καὶ τὸν τυφλὸν ἀναβλέψαι, καὶ τὸν ἄλαλον λαλῆσαι, καὶ τὸν κωφὸν ἀκοῦσαι, καὶ ἀνέστησε τὸν ἄνθρωπον καινόν, πάσης ἀσθενείας ἐλεύθερον· καὶ τότε ἀνῆλθεν ἐπὶ τὸν σταυρόν, καὶ ἐκρέμασαν σὺν αὐτῷ δύο λῃστάς, καὶ ὁ μὲν ἐκ δεξιῶν ἐδόξασεν [1] αὐτὸν καὶ παρεκάλει λέγων : «Μνήσθητί μου, Κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου» (Λουκ. κβ'. 42), ὁ δὲ ἐξ εὐωνύμων ἐβλασφήμει αὐτόν. Τοῦτό ἐστί, πρὶν ὁ νοῦς ἀνανήψῃ ἐκ τῆς ἀμελείας, μετὰ τῆς ἔχθρας ἐστίν· ἐὰν δὲ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἀναστήσῃ αὐτὸν ἐκ τῆς ἀμελείας αὐτοῦ καὶ δώῃ [2] αὐτῷ ἀναβλέψαι, καὶ διακρίναι πάντα, οὕτω δυνήσεται ἀναβῆναι ἐπὶ τὸν σταυρόν. Τότε ἡ ἔχθρα βλασφημοῦσα διαμένει ἐν ῥήμασι βαρέσιν ἴσως ὁ νοῦς χαυνωθεὶς ἀποστῇ τοῦ κόπου καὶ ἐπιστρέψῃ πάλιν εἰς τὴν ἀμέλειαν [3]. Τοῦτό ἐστι τῶν δύο λῃστῶν, οὓς ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐχώρισε τῆς πρὸς ἀλλήλους φιλίας, ὧν ὁ εἷς ὠνείδιζεν αὐτόν [4], ἴσως ἀποστήσῃ [5] αὐτὸν τῆς ἐλπίδος· ὁ δὲ ἄλλος ὑπέμεινε παρακαλῶν, ἕως ἤκουσεν, ὅτι : «Σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ» (αὐτόθ. 43)· οὗτός ἐστιν ὁ λῃστεύσας καὶ ἐν τῷ παραδείσῳ, καὶ φαγὼν ἐκ τοῦ ξύλου τῆς ζωῆς.

Ι'. Εἶπε πάλιν περὶ τῆς ἁγίας Κοινωνίας [6], ὅτι καλοῦσιν αὐτὴν ἕνωσιν πρὸς τὸν Θεόν· ὅσον οὖν νικώμεθα ὑπὸ παθῶν, εἴτε θυμοῦ, εἴτε ζήλου, ἢ ἀνθρωπαρεσκείας, ἢ κενοδοξίας, ἢ μίσους, ἢ ὑφ' ἑτέρου πάθους, μακρὰν ἐσμὲν ἀπὸ τοῦ Θεοῦ· ποῦ οὖν ἐστὶν ἡ ἕνωσις, ἡ πρὸς τὸν Θεόν;

ΙΑ'. Εἶπε πάλιν, ἐὰν ποιῆτε τὰς λειτουργίας ὑμῶν [7], καὶ μετὰ τὸ ποιῆσαι κινηθῇ τι [8] τούτων ἐν τῇ καρδίᾳ ὑμῶν πάντες οἱ

1) Μᾶλλον, «ἐδόξαζεν».
2) Μᾶλλον, «δῷ».
3) Ἐλλείπουσί τινα ἐν τῷ λατινικῷ.
4) Ἤτοι, προσδοκῶν.
5) Ἀποστῆσαι.
6) Εὐεργ. βιβλ. δ'. ὑπόθ. λγ'. 5, 118.
7) » » » « κδ'. σ. 81.
8) Ἤτοι, πάθος.

κόποι ὑμῶν εἰς μάτην εἰσίν. Ὁ γὰρ Θεὸς οὐ προσδέχεται αὐτάς [1].

ΙΒ'. Εἶπεν αὐτῷ τις τῶν γερόντων, τί οὖν οὐ κρούουσι Πάτερ [2]; καὶ εἶπεν· ὅταν βρέξῃ ἐπὶ τὴν γῆν τὸν σπόρον ἔχουσαν φύει, ἐὰν δὲ μὴ ἔχῃ σπέρμα, πῶς ἔχει βλαστῆσαι; ἐὰν δέ τις ἀγωνίσηται ἐκβάλαι τὰς παραφύσεις ἐκ τῆς καρδίας αὐτοῦ, οὐκ ἔτι κινοῦνται ἐν αὐτῷ· ὁ γὰρ Θεὸς θέλει τὸν ἄνθρωπον ὅμοιον αὐτοῦ εἶναι ἐν πᾶσι, καὶ διὰ τοῦτο ἐπεδήμησε καὶ ἔπαθεν, ἵνα μεταβάλῃ τὴν φύσιν ἡμῶν τὴν σκληράν, καὶ κόψῃ τὰ θελήματα ἡμῶν, καὶ τὴν ψευδῆ γνῶσιν, τὴν κατακυριεύσασαν [3] ἡμῶν τῆς ψυχῆς. Καὶ γὰρ τὰ ἄλογα ζῶα τὴν ἑαυτῶν φύσιν ἐφύλαξαν, ὁ δὲ ἄνθρωπος τὴν ἰδίαν φύσιν ἐνήλλαξε. Δεῖ οὖν, ὃν τρόπον ὑποτάσσεται [4] τὸ κτῆνος τῷ ἀνθρώπῳ, οὕτως ὀφείλει πᾶς ἄνθρωπος ὑποτάσσεσθαι τῷ πλησίον διὰ τὸν Θεόν· εἰς τοῦτο γὰρ ἦλθεν ὁ Κύριος. Βλέπε οὖν πόσον ὑπερέχει σου τὸ κτῆνος, τοῦ ἐπιστηριζομένου ἐπὶ τῇ δοκήσει τῆς εἰδήσεώς σου· ἐὰν οὖν θελήσω ἐλθεῖν ἐπὶ τὸ φυσικόν, ὥσπερ τὸ κτῆνος, οὐκ ἔχει ἴδιον θέλημα, οὐδὲ γνῶσιν, οὕτω κἀγὼ ὀφείλω ποιεῖν, οὐ μόνον μετὰ τοῦ συμβούλου καὶ συνόντος μοι, ἀλλὰ καὶ μετὰ τοῦ ἐναντιουμένου μου· τοῦτο γάρ ἐστι τὸ θέλημα τοῦ Θεοῦ.

ΙΓ'. Ὁ θέλων οὖν ἐλθεῖν ἐπὶ τὴν ἀνάπαυσιν τοῦ Κυρίου [5], καὶ μὴ πλεονεκτηθῆναι ὑπὸ τῆς ἔχθρας, ἀφιστᾷ ἑαυτὸν ἀπὸ τῶν ἀνθρώπων ἐν παντὶ πράγματι, τοῦ μὴ ψέξαι τινά, ἐπαινέσαι ἢ δικαιῶσαι, ἢ μακαρίσαι, ἢ ἐξειπεῖν τὴν δικαιοσύνην αὐτοῦ ἢ ἔν τινι λυπῆσαι αὐτόν, ἢ προσέχειν ἐλαττώματα [6] αὐτοῦ, καὶ μὴ

1) Αὐτάς, ἀποδοτέον εἰς τὸ «λειτουργίας» ἢ εἰς τὸ «κόπους», ὁπότε διορθωτέον τὴν λέξιν εἰς «αὐτούς».

2) Ἐν τῷ λατ. «Cur igitur, respondit quidam e senibus, eo tempore», τί οὖν, ἀπεκρίνατό τις τῶν γερόντων, κατὰ τὸν χρόνον ἐκεῖνον. καὶ ἐν ὑποσημ. «Τὸ χωρίον ἠκρωτηριασμένον».

3) Τὴν κατακυριεύουσαν.

4) Εὐεργετ. βιβλ. α'. ὑπόθ. νϐ'. σ. 155.

5) Τὸ λατ. κείμενον ἔχει: «qui cellulæ suæ quiete vult frui», ὁ θέλων ἀπολαῦσαι τῆς ἀναπαύσεως τοῦ κελλίου, ἐπ' ἴσης δὲ καὶ παρὰ Εὐεργετηνῷ βιβλ. δ'. ὑπόθ. ε'. σ. 26. «Ὁ θέλων ἐλθεῖν ἐπὶ τὴν ἀνάπαυσιν τοῦ κελλίου». Ἀλλ' ἡ γραφὴ «κελλίου» προτιμοτέρα, λαμβανομένου ὑπ' ὄψει τοῦ νοὸς τῆς ιγ'. παραγράφου.

6) Μᾶλλον, ἐλαττώματι, ἐν τῷ λατ. Sed sibi ipse attendat, ἀλλὰ προσέχει ἑαυτῷ.

ἐάσας[1] κέντημα ἐννοίας τῆς ἔχθρας ἐν τῇ καρδίᾳ σου κατ' αὐτοῦ καὶ ἀπολύειν τὴν γνῶσίν σου τῷ ἀγνοοῦντι, καὶ τὸ θέλημά σου τῷ ἄφρονι, καὶ τότε ἐπιγνώσῃ σεαυτόν, καὶ κατανοήσει τὸ βλάπτον σε. Ὁ δὲ πεποιθὼς ἐπὶ τὴν δικαιοσύνην αὐτοῦ καὶ τὸ θέλημα αὐτοῦ κρατῶν, οὐ δυνήσεται τὴν ἔχθραν ἐκφυγεῖν, οὔτε ἀναπαυθῆναι, οὔτε ἰδεῖν τι, ὧν ὑστερεῖται, καί, ἐὰν ἐξέλθῃ ἀπὸ τοῦ σώματος, κόπος ἐστὶν εὑρεῖν ἔλεος. Τέλος δὲ πάντων, τὸ προσκαρτερεῖν τῷ Θεῷ, ἐν ὅλῃ καρδίᾳ σου, καὶ ἐν ὅλῃ τῇ ἰσχύϊ σου, καὶ ἔχειν εὐσπλαγχνίαν εἰς πάντας, καὶ πενθεῖν[2], καὶ δέεσθαι τοῦ Θεοῦ διὰ τὴν βοήθειαν αὐτοῦ, καὶ τὸ ἔλεος.

ΙΔ'. Εἶπε πάλιν, περὶ τοῦ διδάσκειν τὸν πλησίον περὶ ἐντολῆς Θεοῦ· πόθεν οἶδα ἐγώ[3], ὅτι προσεδέχθην παρὰ τῷ Θεῷ, ἵνα εἴπω ἄλλῳ, ποίησον τοῦτο ἢ ἐκεῖνο, αὐτὸς ἐγὼ ὑπὸ μετάνοιαν ὢν διὰ τὰς ἁμαρτίας μου; Ὁ γάρ ποτε πεσὼν ἄνθρωπος ὑπὸ μετάνοιάν ἐστι, καὶ οὐκ ἔχει τὸ ἀσφαλές, ἐφ' ὅσον οὐκ οἶδας, εἰ γέγονέ σοι συγχώρησις. Τὸ μέντοι ἁμάρτημα βεβαίως ἐγένετο, τοῦ Θεοῦ δέ ἐστι τὸ ἔλεος· οὐ δύνασαι γὰρ ἀμεριμνῆσαι τῇ καρδίᾳ σου, ἕως οὗ ἀπαντήσῃς ἐν τῷ κριτηρίῳ τοῦ Θεοῦ. Εἰ δὲ θέλεις γνῶναι, εἰ γέγονεν ἐν σοὶ συγχώρησις τῶν ἁμαρτιῶν σου, τοῦτο σημεῖον ἐστίν· ἐὰν μηδὲν κινηθῇ ἐν τῇ καρδίᾳ σου, ὧν ἥμαρτες, ἢ ἄλλου λαλοῦντός σοι περὶ αὐτῶν μηκέτι γνῷς ὁποῖα ἦν, ἄρα ἐγένετό σοι ἔλεος[4]. Εἰ δὲ ἔτι ζῶσιν ἐν σοί, κάτεχε αὐτὰ καὶ κλαῖε περὶ αὐτῶν· φόβος γάρ ἐστι, καὶ τρόμος,

1) Καὶ μὴ ἐᾶσαι. Τὸ χωρίον τοῦτο διορθωτέον οὕτω : ....«Ἢ προσέχειν ἐλαττώματι αὐτοῦ, καὶ μὴ ἐᾶσαι κέντημα ἐννοίας τῆς ἔχθρας ἐν τῇ καρδίᾳ κατ' αὐτοῦ καὶ ἀπολύειν τὴν γνῶσιν αὐτοῦ τῷ ἀγνοοῦντι καὶ τὸ θέλημα αὐτοῦ τῷ ἄφρονι· καὶ τότε ἐπιγνώσεται ἑαυτὸν, καὶ κατανοήσει τὸ βλάπτον αὐτόν». Ἡ ἀρχὴ τῆς ὅλης περιόδου (ὁ θέλων κτλ.) δικαιολογεῖ τὴν διόρθωσιν ταύτην.

2) Τὰς ἁμαρτίας αὐτοῦ. ὡς ἐν τῷ λατιν.

3) Εὐεργ. βιβλ. δ'. ὑπόθ. λη'. σ. 128.

4) Ἀδελφός τις ἐκ τῆς μονῆς τοῦ ἀββᾶ Σερίδου ἠρώτησε τὸν ἀββᾶν Βαρσανούφιον λέγων : «Ὁ ἀββᾶς Ἡσαΐας λέγει, ὅτι, ἕως οὗ ὁ ἄνθρωπος ἔχει τὴν ἡδονὴν αὐτῶν (τῶν ἁμαρτιῶν), ἀκμὴν οὐκ ἀφέθησαν (αἱ ἁμαρτίαι αὐτοῦ)...... διὰ τὸν Κύριον σαφήνισόν μοι ταῦτα· θλίβεταί μου γὰρ ὁ λογισμός». Πρὸς ὃν ἀπεκρίθη : Ὁ τρόπος, δι' ὃν εἶπεν ὁ ἀββᾶς Ἡσαΐας, περὶ τῶν ἡδονῶν ἐστι καὶ τῶν ἐργαζομένων αὐτάς· καὶ γὰρ ἄλλο ἐστὶ τὸ μνημονεῦσαι τινὰ τῆς τοῦ μέλιτος γλυκύτητος, καὶ ἄλλο ἐστὶ

καὶ ὀδύνῃ, ἀμεριμνῆσαι περὶ αὐτῶν, ἕως εἰς τὸ βῆμα τοῦ Θεοῦ ἀπαντήσῃς. Εἰ δέ τις αἰτήσῃ σε, δίδαξον αὐτόν τι· καί, δοὺς τὴν ψυχήν σου εἰς θάνατον, εἴπῃς αὐτῷ τὴν ἐλευθερίαν [1], καὶ ἐπιστρέφῃ πρὸς σὲ πάλιν τὰ αὐτὰ λέγων, εἰς οὐδὲν προκόψας, ἐξ ὧν εἶπας αὐτῷ, ἄρα οὐκ εἰργάσατο αὐτά· ἀπόστα οὖν ἀπ' αὐτοῦ, ἐπεὶ θανατοῖ τὴν ψυχήν σου [2]. Τοῦτο γὰρ μέγα ἐστὶ τῷ ἀνθρώπῳ, ἵνα ἀφῇ τὸ ἴδιον θέλημα καὶ δικαίωμα, ὃ νομίζει κατὰ Θεὸν εἶναι, καὶ φυλάξῃ τὸ ῥῆμα τοῦ κατὰ Θεὸν διδάσκοντος. Ὁ γὰρ ἄνθρωπος τοῦ Θεοῦ ὁ ἀββᾶς Νισθερώ [3], ἰδὼν τὴν δόξαν τοῦ Θεοῦ, καὶ ἔχων τοὺς υἱοὺς τῆς ἀδελφῆς αὐτοῦ συνοικοῦντας αὐτῷ, εἰς οὐδὲν αὐτοῖς διετάξατο [4], ἀλλ' εἴα ἕνα ἕκαστον ἐν τῷ ἰδίῳ θελήματι, εἴτε καλοὶ ἐγένοντο εἴτε κακοί, μὴ μεριμνῶν περὶ αὐτῶν [5]. Ἔλεγον περὶ τοῦ Κάϊν καὶ Ἄβελ [6], μήπω νόμου ὄντος μηδὲ Γραφῆς, τίς ἐδίδαξεν αὐτοὺς τοῦτο ἢ ἐκεῖνο ποιῆσαι;

---

τὸ ἔχειν σὺν τῇ μνήμῃ τὴν γεῦσιν. Ὥστε οὖν τῷ μνημονεύοντι τῆς τῶν ἁμαρτιῶν ἡδονῆς, μὴ πράττοντι δὲ τὰ τῆς ἡδονῆς, ἀλλ' ἀντιλέγοντι, καὶ ἀνταγωνιζομένῳ, τῷ τοιούτῳ ἀφέθησαν αἱ πρότερον ἁμαρτίαι (Βαρσανούφ. ἀπόκρ. σλθ'. σ. 130).

1) Δίδαξον αὐτόν τι, καὶ δοὺς τὴν ψυχήν σου εἰς θάνατον, εἴπῃς αὐτῷ τὴν ἐλευθερίαν». δὲν ἀναγινώσκονται ἐν τῷ λατιν.

2) «Ἐπεὶ θανατοῖ τὴν ψυχήν σου» δὲν ὑπάρχει ἐν τῷ λατιν.

3) «Ὁ γὰρ ἄνθρωπος τοῦ Θεοῦ ὁ ἀββᾶς Νισθερῶ» κτλ. μέχρι τέλους τῆς περιόδου δὲν ὑπάρχει ἐν τῷ λατιν.

4) Ἐν τοῖς ἀποφθέγμασι τοῦ ἀββᾶ Ποιμένος καὶ παρὰ τῷ ἀββᾷ Βαρσανουφίῳ, μνεία μόνον ἑνὸς μαθητοῦ γίνεται.

5) «Ἠρώτησάν τινες τῶν Πατέρων τὸν ἀββᾶν Ποιμένα λέγοντες, πῶς οὕτως ἠνέσχετο ὁ ἀββᾶς Νισθερὼ τοῦ μαθητοῦ αὐτοῦ; λέγει αὐτοῖς ὁ ἀββᾶς Ποιμήν : Εἰ ἐγὼ ἤμην καὶ τὸ κερβηκάριον (=προσκεφάλαιον) ἐτίθουν πρὸς κεφαλὴν αὐτοῦ· λέγει αὐτῷ ὁ Ἀββᾶς Ἀνούβ, καὶ τί λέγεις τῷ Θεῷ; λέγει ὁ ἀββᾶς Ποιμήν· ἐρῶ οὖν, ὅτι σὺ εἶπας : «Ἔκβαλε πρῶτον τὴν δοκὸν ἐκ τοῦ ὀφθαλμοῦ σου, καὶ τότε διαβλέψεις τὸ κάρφος ἐκ τοῦ ὀφθαλμοῦ τοῦ ἀδελφοῦ σου» Ματθ. ζ.' 5. ἀποφθέγμ. ρλα'. Πατρολ. τ. 65. σ. 586. Βαρσανουφ. ἀπόκρ. χξα'). «Καλῶς οὖν ἐποίει ὁ Γέρων; ἐρωτᾷ τις τὸν ἀββᾶν Βαρσανούφιον «μὴ διορθούμενος τὸν ἀδελφὸν αὐτοῦ»; πρὸς ὃν ἀποκρίνεται : «Ἀδελφέ, οὐχ ὡς ἔτυχεν ἀφῆκεν ὁ γέρων μὴ νουθετῶν αὐτόν, ἀλλὰ πολλάκις μὲν αὐτὸν ἐνουθέτησεν, ἐκεῖνος δὲ οὐκ ἐδέχετο τὴν νουθεσίαν, καὶ βλέπων αὐτὸν ἀδιόρθωτον ἀφῆκε τὸ πρᾶγμα εἰς τὸ κρῖμα τοῦ Θεοῦ, λέγων : ὁ Θεός οἶδε τὸ συμφέρον, ὁ ἀδελφὸς γὰρ ἐμοῦ καλλιώτερός ἐστι· τοῦτο δὲ ἐποίουν οἱ τέλειοι, οἱ μὴ τολμῶντες κρῖναι τινά, πρὸς αἰσχύνην τῶν μηδὲν ὄντων καὶ πάντας κρινόντων» (ἀποκρ. χξϐ'. Κλίμαξ Ἰωάν. σχολ. γ'. τοῦ ι'. λόγου Πατρολ. τ. 88 σ. 849.

6) Εὐεργ. βιβλ. δ' ὑποθ. λη'. σ. 128.

διότι, εἰ μὴ ὁ Θεὸς διδάξει τὸν ἄνθρωπον, εἰς μάτην κοπιᾷ.

ΙΔ'. Εἶπε πάλιν, ἐάν τις λέγῃ σοι λόγους ἀνωφελεῖς[1], μὴ θελήσῃς ἀκοῦσαι αὐτούς, ἵνα μὴ ἀμελῇς[2] τὴν ψυχήν σου· καὶ μὴ αἰδεσθῇς τὸ πρόσωπον αὐτοῦ, εἰς τὸ λυπῆσαι αὐτόν, καὶ μὴ ἀνάσχῃ τῶν λεγομένων, λέγων, ὅτι τῇ καρδίᾳ μου οὐ παραδέχομαι· μὴ εἴπῃς τοῦτο, οὐδὲ γὰρ εἶ ὑπὲρ τὸν πρωτόπλαστον, ὃν ἔπλασε τῇ ἰδίᾳ χειρί, ὃν οὐκ ὠφέλησεν ἡ κακὴ ἀμέλεια[3]. Φεῦγε οὖν καὶ μὴ θέλε ἀκούειν· ὅρα δὲ μήποτε φεύγων τῷ σώματι, βουληθῇς γνῶναι τὰ ῥηθέντα. Ἐὰν γὰρ στιγμὴν λόγου ἀκούσῃς, οἱ δαίμονες οὐκ ἐῶσι τὸ ῥηθέν, ὃ ἤκουσας, ἀλλὰ φονεύουσι τὴν ψυχήν σου· φεύγων φεῦγε παντελῶς.

ΙΕ'. Εἶπε πάλιν, ἐξ ὧν ὁρῶ, τὸ κέρδος, καὶ ἡ τιμή, καὶ ἡ ἀνάπαυσις πολεμοῦσι τὸν ἄνθρωπον, ἕως θανάτου.

ΙΣΤ'. Εἶπε πάλιν, τὸ διδάξαι τὸν πλησίον, ἔκπτωσίς ἐστι τῆς ψυχῆς[4], καὶ τὸ θέλειν αὐτὸν ἀναγαγεῖν ἐν καλῇ φύσει, μέγα σύντριμμά ἐστι τῆς ψυχῆς. Ἐν ὅσῳ γὰρ διδάσκεις τὸν πλησίον σου, ὅτι ποίησον τοῦτο ἢ ἐκεῖνο, κατανοῆσαι αὐτόν νόμισον, ὅτι σκαλίδιν κατέχεις, καταστρέφων τὸν οἶκόν σου, θέλων τὸν οἶκον ἐκείνου οἰκοδομῆσαι.

ΙΖ'. Εἶπε πάλιν, οὐαὶ ψυχῇ ἁμαρτησάσῃ μετὰ τὸ ἅγιον βάπτισμα[5]. οὐ γὰρ δύναται[6] ὁ τοιοῦτος ἄνθρωπος ἀμεριμνῆσαι ὑπὸ μετάνοιαν ὤν, ἢ πεσὼν τῷ σώματι, ἢ κλέψας, ἢ σύν τινι πταίσας τῶν λοιπῶν, ἢ τῷ ὀφθαλμῷ σῶμα ἐμπαθῶς θεασάμενος, ἢ καὶ μέχρι τοῦ γεύσασθαί τινος λάθρα περιβλεπόμενος τοῦ μὴ ὁραθῆναι ὑπό τινος, ἢ ἑτέρου θέντος τὸ μηλωτάριον αὐτοῦ, ἢ περιεργασαμένου[1] σου τί ἔχει· ὁ γὰρ ταῦτα ποιῶν τὸν Ἰησοῦν

1) Εὐεργ. βιβλ. α'. ὑπόθ. κϐ'. σ. 75.
2) Ἐν τῷ λατ. Perdat, ἀνέλῃ.
3) Ὁμιλία, παρ' Εὐεργ. ἔνθ' ἀν. ὡς καὶ ἐν τῷ λατινικῷ Colloquium.
4) Εὐεργ. βιβλ. δ'. ὑπόθ. λη'. σ. 128.
5) » » γ'. » ϐ'. σ. 7.
6) Ἐν Κλίμακι Ἰωάν. σχόλ. ιδ'. τοῦ ε'. λόγου «Διατί οὐαί; διότι οὐ δύναται ὁ τοιοῦτος ἄνθρωπος κτλ. Πατρολ. τ. 88 σ. 788.
7) Περιεργασάμενος τί ἔχει.

ὑβρίζει. Καὶ εἶπεν αὐτῷ τις· τοσαύτην ἔχει ἀκρίβειαν τὸ πρᾶγμα πάτερ; καὶ εἶπεν: ὃν τρόπον ὁ διορυχὴν [1] ποιήσας εἰς τοῖχον, καὶ χρήματα λαβών, ἠπατήθη παρὰ τοῦ ἐχθροῦ [2], τὸν αὐτὸν τρόπον καὶ οὗτος· ὁ γὰρ ἐκεῖνον νικήσας, καὶ τοῦτον ἐνίκησεν, ὁ γὰρ ἐν μικροῖς ἡττώμενος καὶ ἐν μεγάλοις ἡττᾶται.

ΙΗ'. Εἶπε πάλιν, ὅτι ἐὰν ὁ ἄνθρωπος [3] ποιήσῃ δύναμιν, καὶ θαυματουργίας, καὶ ἰάσεις, καὶ ἔχῃ πᾶσαν τὴν γνῶσιν, καὶ ἀναστήσῃ νεκρούς, ἐφ' ὅσον ἔπεσεν εἰς ἁμαρτίαν, οὐ δύναται ἀμεριμνῆσαι, ὅτι ὑπὸ μετάνοιαν ὤν [4], καὶ κρίνων ἐστίν· εἰ δὲ καὶ ἐν πολλοῖς ἐστι κόποις [5] καὶ ἴδῃ τινὰ ἐν πάσῃ ἁμαρτίᾳ, ἢ ἀμελείᾳ ὄντα, καὶ ἐξουδενώσῃ αὐτόν, εἰς μάτην ἐστὶ πᾶσα ἡ μετάνοια αὐτοῦ, ὅτι ἀπέρριψε μέλος Χριστοῦ, κρίνας αὐτό, καὶ μὴ ἐάσας τὸ κρίμα τῷ κριτῇ Θεῷ [6].

ΙΘ'. Εἶπε πάλιν, πάντες ὡς ἐν ἰατρείῳ ἐσμέν [7]. Ὁ μὲν νοσῶν τοὺς ὀφθαλμούς, ὁ δὲ τὴν χεῖρα, ὁ δὲ σύριγγα ἔχων, καὶ ὅσα εἰσὶ τῶν ἀσθενημάτων· καὶ εἰσὶν ἐξ αὐτῶν τραύματα ἤδη θεραπευθέντα, ἀλλ' ὅταν φάγῃ [8] τι τῶν βλαπτόντων, πάλιν ἀναλύεται· οὕτως ἐστὶν ὁ ἐν μετανοίᾳ ὢν καὶ κρίνων, ἢ ἐξουθενῶν τινα, ὡς πάλιν ἀναλύσας τὴν μετάνοιαν. Τῶν γὰρ ἐν ἰατρείῳ, διάφορα ἀσθενήματα ἐχόντων, ἐὰν ὁ εἷς περὶ τοῦ οἰκείου πάθους βοᾷ, μή τις ἕτερος ἐρεῖ διατί βοᾷς; οὐχὶ ἕκαστος περὶ τοῦ ἰδίου πάθους ἐννοεῖ; Οὕτως, εἰ ἦν πάθος τῶν ἁμαρτιῶν μου ἐνώπιόν μου, οὐκ ἂν ἔβλεπον εἰς ἄλλον ἁμαρτάνοντα· πάντες γὰρ ὡς ἐν ἰατρείῳ ἀνακείμενοι, πρὸς τὸν ἰατρὸν ἕκαστος φυλάττει ἑαυτὸν μὴ ἐσθίειν τὸ βλάπτον τὸ τραῦμα αὐτοῦ [9]· πλὴν οὐαὶ τῇ ψυ-

---

1) Μεταγ. «διορυγή».
2) Ἤτοι τοῦ διαβόλου.
3) Εὐεργ. βιβλ. γ'. ὑπόθ. η'. σ. 25. Κλίμαξ Ἰωάν. σχόλ. ιδ'. τοῦ ε'. λόγ. Πατρ. τ. 88 σ. 788.
4) Μᾶλλον, «ἐστί».
5) Εὐεργ. βιβλ. γ'. ὑπόθ. ϛ'. σ. 6.
6) Τὰ τῆς ΙΗ'. παραγράφου φαίνονται μικρόν τι παρηλλαγμένα ἐν τῷ λατ.
7) Ἤτοι, ἐν τῷ κόσμῳ τούτῳ.
8) Ὁ ἰαθείς, δῆλον ὅτι.
9) Ἐλλείπουσί τινα ἐν τῷ λατιν.

χῇ [1], τῇ μὴ βουλομένῃ φυγεῖν ἀπὸ πάσης ἁμαρτίας [2], ὅτι πολλὰς ἔχει θλίψεις ἐκ τῶν φθονούντων καὶ συναντώντων αὐτῇ, διότι χεὶρ ἀνέχῃ πολλῆς μακροθυμίας καὶ εὐχαριστίας ἐν παντί.

Κ'. Ὅτε γὰρ ἦν ὁ λαὸς ἐν Αἰγύπτῳ, ἤσθιον καὶ ἔπινον ἐν εὐθυμίᾳ, πλήν, δουλεύοντες τῷ Φαραώ· καί, ὅτε ἀπέστειλεν αὐτοῖς ὁ Κύριος βοήθειαν, τουτέστι τὸν Μωσέα, ὅπως λυτρώσηται αὐτοὺς ἐκ τοῦ Φαραώ, τότε κατεσινήθησαν καὶ ἐθλίβησαν, καὶ ἐν πάσαις ταῖς πληγαῖς, αἷς ἐπήγγειλεν ὁ Θεὸς τῷ Φαραὼ οὐκ ἐθάρρησε Μωϋσῆς ἐπὶ τῇ ἀπωλείᾳ αὐτῶν, ἕως οὗ γέγονε καιρός, εἰπόντος τοῦ Θεοῦ πρὸς αὐτόν: «Ἔτι μίαν πληγὴν ἐπάξω τῷ Φαραὼ» (Ἐξόδ. ια'. 1), καὶ ἐρεῖς αὐτῷ, ἀπόλυσον τὸν λαόν μου, ἐπεὶ πατάξω τὸν πρωτότοκόν σου», τότε λοιπὸν ἐθάρσησε Μωϋσῆς. Καὶ εἶπεν αὐτῷ ὁ Θεός: «Λάλησον λάθρα εἰς τὰ ὦτα τοῦ λαοῦ μου, καὶ αἰτήσει ἕκαστος ἄνθρωπος τὸν πλησίον αὐτοῦ, καὶ γυνὴ τὴν γείτονα, σκεύη ἀργυρᾶ καὶ χρυσᾶ, καὶ ἱματισμόν, καὶ ἐπίθετε τοῖς τραχήλοις τῶν τέκνων ὑμῶν, καὶ σκυλεύσατε τοὺς Αἰγυπτίους» (Ἐξοδ. ια'. 2), καὶ ἐξ αὐτῶν τινα ἀνάλωσαν καὶ ἐποίησαν τὴν σκηνήν [3].

ΚΑ'. Εἶπεν οὖν, ὅτι τοῦτο λέγουσιν οἱ γέροντες, ὅτι τὰ σκεύη τὰ χρυσᾶ καὶ ἀργυρᾶ, καὶ ὁ ἱματισμός, αἱ αἰσθήσεις εἰσίν, αἱ δουλεύουσαι τῇ ἔχθρᾳ. Τοῦτο λοιπόν ἐστι τὸ σημεῖον, ὅτι ἂν μὴ ὁ ἄνθρωπος ἀποστήσῃ αὐτὰς ἀπὸ τῆς ἔχθρας, ἵνα καρποφορήσωσι τῷ Θεῷ, ἡ σκέπη τῆς ἀναπαύσεως τοῦ Θεοῦ οὐκ ἔρχεται ἐπ' αὐτόν· ἐὰν δὲ ἀποστήσῃ αὐτὰς ἀπὸ τῆς ἔχθρας καὶ καρποφορήσῃ τῷ Θεῷ, ἔρχεται ἐπ' αὐτόν. Οὐ γὰρ ἐπεσκίασεν ἡ νεφέλη ἐν τῇ σκηνῇ, ἔν τινι ἐλαττουμένῃ, ἀλλὰ τελειωθεῖσαν ἐπεσκίασεν· οὕτω καὶ ἐπὶ τοῦ ναοῦ οἰκοδομουμένου, ἐν ὅσῳ τι ἔλειπεν, οὐκ ἐπεσκίασεν ἡ νεφέλη, ὅτε δὲ ἐτελειώθη, καὶ εἰσηνέχθη τὰ αἵματα καὶ τὰ στέατα τῶν ὁλοκαυτωμάτων, καὶ ὠσφράνθη τῆς εὐωδίας ὁ Θεός, τότε ἐπεσκίασε τὸν οἶκον ἡ νεφέλη.

---

1) Εὐεργ. βιβλ. γ'. ὑπόθ. ια'. σ. 29.
2) Ἐντεῦθεν μέχρι τέλους τῆς περιόδου ἐλλείπουσιν ἐν τῷ λατιν.
3) Ἐκ τοῦ «ἐπίθετε» κλ. μέχρι τέλους δὲν ὑπάρχει ἐν τῷ λατιν.

Τουτέστιν, ἐὰν μὴ ἀγαπήσῃ ὁ ἄνθρωπος τὸν Θεὸν ἐξ ὅλης τῆς διανοίας, καὶ προσκολληθῇ ἐξ ὅλης τῆς καρδίας, ἡ σκέπη τῆς ἀναπαύσεως τοῦ Θεοῦ οὐκ ἔρχεται ἐπ' αὐτόν.

ΚΒ'. Εἶπε πάλιν, πρὸ τοῦ παύσωνται[1] τῆς ἀσθενείας αἱ αἰσθήσεις, ἐὰν ὁ νοῦς βουληθῇ ἐπιβῆναι τῷ σταυρῷ, ὀργὴ τοῦ Θεοῦ ἔρχεται ἐπ' αὐτόν, ὅτι ἤρξατο πράγματος ὑπὲρ μέτρον αὐτοῦ, μὴ ἰασάμενος τὰς αἰσθήσεις αὐτοῦ. Ἐὰν μιασμοὶ ἐργάζωνται ἐν σοί, καὶ συμπείθῃ καὶ εἰς τὰ τίκτοντα αὐτὸ συμπράττῃς, καὶ οὐ λυπῇ ἐπὶ τούτοις ἐν πόνῳ καρδίας, παρὰ φύσιν ἐστὶ τοῦ Ἀδάμ. Ἐὰν ἡ καρδία σου[2] φύσει τὴν ἁμαρτίαν ἐνίκησε, καὶ ἀπέστησεν ἑαυτὴν ἐκ τῶν τικτόντων αὐτήν, καὶ ἔθου τὴν κόλασιν ἐνώπιόν σου ἐν γνώσει τοῦ βοηθοῦ σου συμπαραμεῖναί σοι ἐν μηδενὶ λυπῶν αὐτόν, ἀλλὰ κλαίων ἐνώπιον αὐτοῦ καὶ λέγων, Σόν ἐστι τὸ ἔλεος τοῦ λυτρώσασθαί με, Κύριε, ἀδυνάτως γὰρ ἔχω ἐγὼ τὰς χεῖρας ἐκφυγεῖν, ἐκτὸς τῆς σῆς βοηθείας, προσέχων καὶ τῇ καρδίᾳ σου τοῦ μὴ λυπῆσαι τὸν διδάσκοντά σε κατὰ Θεόν, τοῦτο κατὰ φύσιν τοῦ Ἰησοῦ ἐστι, καὶ αὐτός σε διαφυλάττει ἀπὸ παντὸς κακοῦ. Ἀμήν.

---

1) Εὐεργ. βιβλ. α'. ὑπόθ. μα'. σ. 148. Ἰσαὰκ Συρ. λόγ. λ'. σ. 191. Ἤτοι πρὶν ἢ ὁ νοῦς δαμάσῃ τὰς αἰσθήσεις.

2) Φιλοκαλία, τομ' α'. σ. 18. κεφ. στ'.

# ΤΟΥ ΑΥΤΟΥ

## ΕΝΤΟΛΑΙ ΤΟΙΣ ΑΠΟΤΑΞΑΜΕΝΟΙΣ.

### *Λόγος θ'.*

Α'. Εἰ ἀπετάξω τῷ κόσμῳ [1] καὶ δέδωκας τῷ Θεῷ σεαυτὸν [2] μετανοῆσαι, μὴ ἐάσῃς τὸν λογισμόν σου [3] θλῖψαί σε περὶ τῶν προτέρων σου ἁμαρτημάτων, ὡς [4] ὅτι οὐ συγχωροῦνταί σοι, μηδὲ πάλιν καταφρονήσῃς τῶν ἐντολῶν αὐτοῦ, ἐπεὶ οὐδὲ τὰ πρότερά σου ἁμαρτήματα συγχωρεῖ. Ταῦτα δὲ φύλαξον ἕως θανάτου καὶ μὴ καταφρονήσῃς αὐτῶν· τὸ μὴ ἐσθίειν μετὰ γυναικός [5], καὶ μὴ ἔχειν φιλίαν μετὰ νεωτέρων [6], μηδὲ κοιμηθῆναι νεώτερον ὄντα μετά τινος εἰς ἓν ψιάθιον [7], εἰ μὴ μετὰ τοῦ ἀδελφοῦ σου, ἢ τοῦ

---

1) Ἐν τῷ ὑπ' ἀριθμ. 215φ κώδικι τῆς Πατριαρχ. συλλογῆς, γραφέντι περὶ τὰ τέλη τοῦ ιστ.' αἰῶνος, σ. 266 6 ὁ παρὼν λόγος ἐπιγράφεται : «Τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Ἀθανασίου ἀρχιεπισκόπου Ἀλεξανδρείας, πρὸς τοὺς ἀποταξαμένους»· ὁ ὁποῖος, ἐκτὸς ὀλίγων ἐν ἀρχῇ καὶ ἐν τέλει τοῦ λόγου, εἶνε ὅμοιος πρὸς τὸν παρόντα. Εὐεργ. βιβλ. α'. ὑπόθ. α'. σ. 8.

2) Ἐν τῷ ἀνωτέρῳ Πατριαρχ. κώδ. ἕπονται τὰ ἑξῆς : «Σεαυτὸν τῷ Χριστῷ, τί πάλιν ἐν τῷ κόσμῳ ἀναστρέφεσθαι θέλεις; μὴ ἅψῃ, μηδὲ γεύσῃ, μηδὲ θίγῃς τῇ ἀπεκδύσει χρησάμενος, καὶ τῇ ἀγάπῃ τοῦ Χριστοῦ πυρούμενος. Εἰ γὰρ κτήματα καὶ ἀμπελῶνας κατέχεις, ἵνα τί καὶ γυναῖκα οὐκ ἔγημας; Εἰ συναπέθανες τῷ Χριστῷ διὰ τοῦ βαπτίσματος, καὶ συνηγέρθης αὐτῷ διὰ τῆς πίστεως, τὰ ἄνω ζήτει, οὗ ὁ Χριστὸς ὑπάρχει, μὴ τὰ ἐπὶ γῆς· εἰ βούλει συμβασιλεύειν αὐτῷ, τὰς ἐντολὰς αὐτοῦ τήρησον. Φύλαξον δὲ σεαυτὸν ἕως θανάτου τὸ μηδὲ ἔχειν φιλίαν μετὰ νεωτέρων, κτλ.

3) Ἐν τῷ λατιν. Cognitione, ἐν ὑποσημ. δέ: Cognitione. An cogitatione? Βεβαίως ἡ τελευταία γραφὴ ἔχει καλῶς.

4) Ὡς, παρέλκει.

5) Εὐεργ. βιβλ. 6'. ὑπόθ. κθ'. σ. 93.

6) Προφυλάττου ἀπὸ τοῦ νὰ ὁμιλῇς μετὰ παιδὸς καὶ νεανίου, ἢ καὶ νὰ συνάπτῃς φιλίαν (Μεγ. Ἀντων. καν. 4. πρβλ. Ἐφραὶμ Σύρ. σ. σξζ'. Ἰσαὰκ Σύρ. λόγ. ζ'. σ. 49.

7) Τὰ ἑπόμενα μέχρι τοῦ «μὴ καταφρονήσῃς» ἐλλείπουσιν ἐν τῷ λατιν.

Ἀββᾶ σου, καὶ τοῦτο μετὰ φόβου, καὶ μὴ καταφρονήσεως· μὴ καταφρονήσῃς τοῖς ὀφθαλμοῖς σου ἐνδυόμενος τὰ ἱμάτιά σου [1]. Ἐὰν γένηται ἀνάγκη οἴνου, ἕως τριῶν [2] ποτηρίων [3] λάμβανε, καὶ μὴ λύσῃς τὴν ἐντολὴν διὰ φιλίαν· μὴ οἰκήσῃς εἰς τόπον [4], ἐν ᾧ ἥμαρτες εἰς Θεόν, καὶ μὴ καταφρονήσῃς τῆς λειτουργίας σου, ἵνα μὴ ἐμπέσῃς εἰς χεῖρας τῶν ἐχθρῶν σου [5]. Ἀνάγκασον σεαυτὸν εἰς τὴν μελέτην τῶν ψαλμῶν, διότι αὕτη σε φυλάττει ἀπὸ τῆς αἰχμαλωσίας τοῦ μιασμοῦ. Ἀγάπησον πᾶσαν κακοπάθειαν, καὶ ταπεινοῦνταί σου τὰ πάθη. Φρόντισον τοῦ μὴ μετρῆσαι σεαυτὸν ἔν τινι πράγματι, καὶ σχολάσῃς πενθῆσαι τὰς ἁμαρτίας σου. Φύλαξον σεαυτὸν [6] ἀπὸ τοῦ ψεύδους [7], ὅτι αὐτὸ ἐκδιώκει τὸν φόβον τοῦ Θεοῦ ἀπὸ σοῦ. Μὴ ἀποκαλύψῃς ἐνώπιον πάντων τοὺς

---

1) Ἐν Σαβ. κώδ. ἐνάτου ἢ ἀρχῆς τοῦ δεκάτου αἰῶνος ὑπ' ἀρ. 408 ἕπονται: «Μὴ εἰσενέγκῃς τὴν χεῖρά σου ἐν τῷ κόλπῳ σου, πολλὰ γὰρ πάθη ἔχει ἡ σάρξ». Αἱ ἐφεξῆς παραλλαγαὶ τοῦ κειμένου κατὰ τὸν Σαβ. κώδικα.

2) «Ἑνὸς» ἐν τῷ πατριαρχ. κώδ.

3) Τὸ πίνειν τρία ποτήρια οἴνου καὶ ὁ ἀββᾶς Σισώης θεωρεῖ πολύ, διὸ καὶ πρὸς τὸν διδόντα αὐτῷ μοναχόν, ὅπως πίῃ καὶ τρίτον ποτήριον, εἶπε: «Παῦσε ἀδελφέ, οὐκ οἶδας ὅτι ἐστὶ σατανᾶς»; Ἀποφθέγ. Πατέρ. Πατρολ. τόμ. 65, σ. 593), ἀλλὰ τοῦτο ἐν περιπτώσει πολέμου πορνείας, μὴ ὄντος ὅμως τοιούτου, λέγει, ὅτι τὰ τρία ποτήρια, κατὰ Σάββατον καὶ Κυριακὴν δὲν εἶναι πολλὰ (αὐτ. 595)· τοῦτ' αὐτὸ λέγει καὶ ὁ ἀββᾶς Ξόϊος (αὐτόθ. σ. 312). Ἡ χρῆσις ὅμως πέραν τῶν τριῶν ποτηρίων ἦτό τι ξένον· καὶ ἀναφέρεται ἐν τῷ Γεροντικῷ, ὅτι γέρων τις ἔλεγε: «Μοναχὸς πίνων οἶνον ἐπάνω τριῶν ποτηρίων μὴ εὔξηται ὑπὲρ ἐμοῦ (Μεμβρ. Σιν. κώδ. 448 αἰῶν. ΙΑ'. σ. 273 α). Ἀλλ' ὁποία νὰ ἦτο ἡ χωρητικότης τῶν τριῶν ποτηρίων; Εἰδήσεις περὶ τούτου ἐλλείπουσι. Θεόδωρος ὁ Στουδίτης († 826) ἐν ταῖς Κατηχήσεσιν αὐτοῦ, ἀπευθυνόμενος τοῖς ὑπ' αὐτὸν μοναχοῖς λέγει: «Εἰ δέ ποτε καταλύετε (οἴνου)..... ἀρκείσθω ὑμῖν ποτήριον χωροῦν ἀνὰ τέσσαρας οὐγκίας» (ἔκδ. Σύρου σ. 158), ἤτοι 32 δράμια· καὶ πολὺ πιθανὸν νὰ ἦτο τοῦτο τὸ ὅλον τῶν τριῶν ποτηρίων, τὸ ὁριζόμενον ὑπὸ τῶν Πατέρων. Διότι ὁριζομένου τοῦ ἄρτου τῷ μοναχῷ εἰς μίαν λίτραν, ἤτοι 12 οὐγκίας (Βαρσανουφ. ἀπόκρ. πβ'. σ. 43), ἀναλόγως θὰ ἐκανονίζετο καὶ τὸ ποτόν, λαμβανομένου ὑπ' ὄψιν καὶ τοῦ τότε αὐστηροῦ πνεύματος τῶν Πατέρων. Θεόδωρος δὲ ὁ Στουδίτης ἀδύνατον νὰ ἐπέτρεπε, πλέον τῶν Πατέρων, τοὺς ὁποίους τοσοῦτον πιστῶς ἠκολούθει, τοῖς μοναχοῖς αὐτοῦ.

4) Μὴ οἰκήσῃς ἐν τόπῳ, ἐν ᾧ φοβεῖται ἡ καρδία σου, ὅτι ἁμαρτῆσαι ἔχεις εἰς Θεόν.

5) Εὐεργετ. βιβλ. δ'. ὑπόθ. θ'. σ. 52.

6) Ἀπὸ τοῦ: «φύλαξον σεαυτὸν» μέχρι τέλους τῆς περιόδου ἐλλείπουσιν ἐκ τοῦ Σαβ. κώδ.

7) Εὐεργ. βιβλ. δ'. ὑπόθ. με'. σ. 137.

λογισμούς σου [1], ἵνα μὴ πρόσκομμα δῷς τῷ πλησίον σου. Ἀποκάλυψον τοὺς λογισμούς σου τοῖς πατράσι σου, ἵνα ἡ χάρις τοῦ Θεοῦ σκεπάσῃ σε. Ἀνάγκασον σεαυτὸν εἰς τὸ ἐργόχειρόν σου, καὶ ὁ φόβος [2] τοῦ Θεοῦ παροικήσει σοι [3]. Ἐὰν ἴδῃς πρόσκομμα, οὐκ εἰς θάνατον τοῦ ἀδελφοῦ σου, μὴ ἐξουδενώσῃς αὐτόν, ἵνα μὴ ἐμπέσῃς εἰς χεῖρας τῶν ἐχθρῶν σου [4]. Φύλαξον σεαυτὸν μὴ αἰχμαλωτισθῆναι, εἰς ἃ ἥμαρτες, ἵνα μὴ ἀνακαινισθῶσιν ἐν σοί [5].

Β΄. Ἀγάπησον τὴν ταπείνωσιν, καὶ αὕτη σε σκεπάσει ἀπὸ τῶν ἁμαρτιῶν σου [6]. Μὴ ἔσο φιλόνεικος, ἵνα μὴ πᾶν πονηρὸν οἰκήσει ἐν σοί [7]. Δὸς τὴν καρδίαν σου εἰς ὑπακοὴν Πατέρων σου, καὶ ἡ χάρις τοῦ Θεοῦ οἰκήσει ἐν σοί. Μὴ ἔσο παρὰ σεαυτῷ φρόνιμος, ἵνα μὴ ἐμπέσῃς εἰς χεῖρας τῶν ἐχθρῶν σου [8]. Ἔθισον τὴν γλῶσσάν σου τοῦ λέγειν, Συγχώρησον, καὶ ἡ ταπείνωσις ἐπελεύσεται ἐπὶ σέ [9]. Καθήμενος ἐν τῷ κελλίῳ σου τούτων τῶν τριῶν φρόντισον συνεχῶς, τοῦ ἐργοχείρου, τῆς μελέτης, καὶ τῆς εὐχῆς [10]. Λογίζου οὖν καθ' ἡμέραν, ὅτι τὴν σήμερον ἔχω ποιῆσαι εἰς τὸν κόσμον, καὶ οὐ μὴ ἁμαρτήσῃς εἰς Θεόν [11]. Μὴ ἔσο γαστρίμαργος ἐν βρώσει, ἵνα μὴ ἀνακαινισθῶσιν ἐν σοὶ τὰ πρότερα ἁμαρτήμα-

---

1) Μὴ ἀποκάλυπτε εἰς πάντας τὰ διανοήματά σου» (Μεγ. Ἀντων. καν. 41. Μὴ παντὶ ἀνθρώπῳ ἔκφαινέ σου τοὺς λογισμούς, ἀλλ' οὓς ἐὰν δοκιμάσῃς, ὅτι πνευματικοί εἰσι. (Ἐφραὶμ Σύρ. σ. ρξζ'. πρβλ. Ἰσαὰκ Σύρ. λόγ. ζ'. σ. 50.

2) Σκέπη.

3) Προθυμοποιοῦ εἰς ἐργασίαν τῶν χειρῶν. ὁ φόβος τοῦ Θεοῦ θὰ ἐνοικήσῃ ἐν σοί. (Μεγ. Ἀντων. καν. 58).

4) Ἐὰν βλέπῃς ἕνα τῶν ἀδελφῶν ἁμαρτάνοντα ἁμαρτίαν μὴ πρὸς θάνατον, μὴ καταφρόνει αὐτοῦ, μὴ ὑποτίμα αὐτὸν καὶ μὴ καταδικάζῃς, διότι θὰ πέσῃς εἰς χεῖρας τῶν ἐχθρῶν σου (αὐτόθ. 54). Ἡ περίοδος αὕτη ἐλλείπει ἐκ τοῦ Σαβ. κώδικος.

5) Φυλάττου μὴ θελχθῇ ὁ λογισμός σου ἐκ τῆς ἀναμνήσεως τῶν προτέρων ἁμαρτημάτων καὶ ἀνανεωθῶσι ταῦτα ἐν τῇ ψυχῇ σου (αὐτ. 60).

6) Ἀγάπα τὴν ταπεινοφροσύνην καὶ θὰ σὲ προφυλάξῃ αὕτη ἀπὸ ἁμαρτιῶν (αὐτ. 61). Εὐεργετ. βιβλ. α'. ὑπόθ. μβ'. σ. 168.

7) Μὴ ἔσο ὀχληρὸς καὶ μὴ προσπάθει νὰ ἐπιμένῃς εἰς τὸν λόγον σου, ἵνα μὴ ἐνοικήσῃ ἐν σοὶ πᾶν κακὸν (αὐτ. 62).

8) Μὴ νόμιζε σεαυτὸν σοφόν· διὰ τῆς ὑπερηφανίας θὰ ἐπαρθῇ ἡ ψυχή σου καὶ θὰ πέσῃς εἰς χεῖρας τῶν ἐχθρῶν σου (αὐτ. 63).

9) Συνείθιζε τὴν γλῶσσάν σου νὰ λέγῃς, Συγχώρησόν μοι, καὶ θὰ ἀποκτήσῃς μετριοφροσύνην (αὐτ. 64). Εὐεργ. ἔνθ' ἀνωτ.)

10) Ὅταν κάθησαι εἰς τὸ κελλίον σου, φρόντιζε νὰ ἐκτελῇς τὰ τρία ταῦτα: τὸ ἐργόχειρον, τὴν ἀνάγνωσιν τῶν ψαλμῶν, καὶ τὰς προσευχὰς (αὐτ. 65).)

11) Σκέπτου καὶ λέγε καθ' ἑαυτόν : Ἐὰν θὰ μείνω ἐν τῷ κόσμῳ τούτῳ· καὶ οὐ-

τά σου[1]· μὴ ἀκηδιάσῃς ἔν τινι κόπῳ, ἵνα μὴ εἰσπηδήσωσιν ἐν σοὶ αἱ τοῦ ἐχθροῦ ἐνέργειαι[2]· βίασαι ἑαυτὸν ἐν τῇ μελέτῃ σου, καὶ ἥξει σοι ἡ ἀνάπαυσις[3] τοῦ Θεοῦ ἐν τάχει[4]. Ὥσπερ γὰρ κατεστραμμένος οἶκος ἔξωθεν πόλεως, δυσωδίας τόπος γίγνεται, οὕτως ἀρχαρίου ὀκνηροῦ ἡ ψυχὴ κατοικητήριον γίνεται παντὸς ἀτίμου πάθους[5]. Ἀνάγκασον σεαυτὸν ἐν πολλαῖς προσευχαῖς μετὰ κλαυθμοῦ, ἴσως ἐλεήσει σε, καὶ τὸν παλαιὸν ἄνθρωπον ἐκδύσει σε τὸν ἁμαρτάνοντα[6]· σύμμιξον ἑαυτὸν ἐν τούτοις, ὅτι ὁ κόπος καὶ ἡ πτωχεία, καὶ ἡ ξενιτεία, καὶ ἡ κακοπάθεια, καὶ ἡ σιωπὴ τίκτουσι τὴν ταπείνωσιν, καὶ ἡ ταπείνωσις συγχωρεῖ πᾶσαν ἁμαρτίαν[7]. Δυνατὸς δ' ἐστὶν ὁ ἀγαθὸς Δεσπότης ἡμῶν Θεὸς ἐνδυναμῶσαι ἡμᾶς, τοῦ ἀναγνῶναι καὶ ποιῆσαι, ὅπως εὕρωμεν ἔλεος μετὰ τῶν ἁγίων, τῶν φυλαξάντων τὰς ἐντολὰς αὐτοῦ. Ἀμήν.

---

τω δὲν θὰ ἁμαρτήσῃς πρὸ τοῦ Θεοῦ (αὐτ. 66). Ἐγειρόμενοι καθ' ἡμέραν νομίζωμεν μὴ μένειν ἕως ἑσπέρας, καὶ πάλιν μέλλοντες κοιμᾶσθαι νομίζωμεν μὴ ἐγείρεσθαι:..., οὕτω δὲ διακείμενοι καὶ καθ' ἡμέραν οὕτω ζῶντες οὔτε ἁμαρτήσομεν, οὔτε τινὸς ἐπιθυμίαν ἕξομεν. (Ἀθαν. ἐν βίῳ Ἀντωνίου, Πατρολ. τ. 26, σ. 872. πρβλ. Ἐφραὶμ σ.198.

1) Μὴ ἔσο γαστρίμαργος καὶ παραδεδομένος εἰς τὴν πολυφαγίαν, ἵνα μὴ ἀνανεωθῶσιν ἐν σοὶ αἱ πρότεραι ἁμαρτίαι (αὐτ. 67).

2) Εὐεργ. βιβλ. α'. ὑπόθ. κη'. σ. 96.

3) Καὶ ἡ βοήθεια.

4) Μὴ ἀπόφευγε τοὺς κόπους, καὶ ταχέως θὰ σοὶ δοθῇ ἡ ἡσυχία παρὰ τοῦ Θεοῦ (αὐτ. 68).

5) Ὅπως ἐρείπιόν τι, ἔξωθι τῆς πόλεως, χρησιμεύει πᾶσι πρὸς τὰς δυσώδεις ἀκαθαρσίας, οὕτω γίνεται καὶ ἡ ψυχὴ τοῦ ῥαθύμου καὶ ἀσθενοῦς, ὅστις παρέδωκεν ἑαυτὸν εἰς τὴν μοναστικὴν δίαιταν, δοχεῖον πάντων παθῶν καὶ ῥυπαροτήτων (αὐτόθ. 69) Εὐεργ. βιβλ. α'. ὑπόθ. κη'. σ. 96.

6) Προσπάθει ἀδιαλείπτως νὰ ἀπαγγέλλῃς μετὰ δακρύων προσευχάς, ἵνα οὕτως ὁ Θεὸς σὲ εὐσπλαγχνισθῇ καὶ σὲ ἀπαλλάξῃ τοῦ παλαιοῦ ἀνθρώπου (αὐτ. 70).

7) Τήρει ὅ,τι σοι προδιαγράφω: δηλαδή, φιλοπονίαν, πενίαν, ξενιτείαν, ταλαιπωρίαν, καὶ σιωπήν, τὰ ὁποῖα σὲ καθιστῶσι ταπεινόφρονα· ἡ δὲ ταπεινοφροσύνη ἐξαλείφει πάσας τὰς ἁμαρτίας (αὐτ. 70). Ἐνταῦθα περατοῦται ὁ Σαβ. κώδ. Ἐν δὲ τῷ πατριαρχ. κώδ. ἕπονται τὰ ἑξῆς: «Πρῶτος βαθμὸς ἀρετῆς καὶ ἀρχὴ τῆς ἡμετέρας σωτηρίας καὶ ἀσφαλείας ὁ φόβος τοῦ Θεοῦ· διὰ τούτου γὰρ τῶν ἁμαρτημάτων ἀποκάθαρσις καὶ τῶν ἀρετῶν φυλακή. Οὐ πᾶς ὁ βαπτιζόμενος σέσωσται, ἀλλ' ὁ ποιῶν τὰ ἔργα τοῦ Θεοῦ· δῆλον ὅτι οὐδὲ ὁ ἀποκουρευόμενος σώζεται, ἀλλ' ὃς ἐὰν φυλάξῃ τὰ τῷ μοναχῷ πρέποντα. Ἔκδυσαι οὖν τὴν ῥαθυμίαν καὶ τὴν ὀκνηρίαν καὶ οὐ πέσῃς (ὀρθότερον, πεσεῖ) ἐν τῇ ἐνεργείᾳ τοῦ διαβόλου καὶ στήριξον σεαυτὸν ἔν τόπῳ τινί, ἐν ὑπομονῇ καὶ σωθήσῃ.

# ΤΟΥ ΑΥΤΟΥ

## ΛΟΓΟΣ ΕΤΕΡΟΣ.

### *Λόγος ι'.*

Τῷ ἁγίῳ Πέτρῳ τῷ ἀποστόλῳ [1] ἔδειξεν ὁ Θεὸς μηδένα ἄνθρωπον ἔχειν «κοινὸν ἢ ἀκάθαρτον» (Πράξ ι'. 28), ἐπειδὴ ἡγιάσθη αὐτοῦ ἡ καρδία, διὰ τοῦτο ἡγιάσθη πᾶς ἄνθρωπος· τοῦ δὲ ἔχοντος τὴν ἁμαρτίαν καὶ τὰ πάθη, οὐδεὶς παρ' αὐτοῦ ἡγίασται, ἀλλὰ κατὰ τὰ πάθη τὰ ἐν τῇ καρδίᾳ αὐτοῦ νομίζει πάντα ἄνθρωπον εἶναι· κἂν εἴπῃ τις αὐτῷ, ὅτι ὁ δεῖνα καλὸς ἄνθρωπός ἐστιν, εὐθέως ὀργίζεται ἐν τῇ καρδίᾳ αὐτοῦ. Φυλάξατε οὖν ἑαυτοὺς μὴ ψέξαι τινά, μήτε ἐν τῷ στόματι, μήτε ἐν τῇ καρδίᾳ ὑμῶν. Ὅσον γὰρ ὁ ἄνθρωπος [2] ἀμελεῖ ἑαυτοῦ, νομίζει ἐν τῇ καρδίᾳ αὐτοῦ, ὅτι φίλος ἐστὶ τοῦ Θεοῦ, ἐὰν δὲ ἐλευθερωθῇ ἀπὸ τῶν παθῶν, αἰσχύνεται ἐπᾶραι τοὺς ὀφθαλμοὺς αὐτοῦ εἰς τὸν οὐρανόν, ἐνώπιον τοῦ Θεοῦ· τότε βλέπει ἑαυτὸν πάνυ μεμακρυσμένον ἀπὸ τοῦ Θεοῦ. Ἄνθρωπός τις εἶχε δύο δούλους, καὶ ἀπέστειλεν αὐτοὺς εἰς τὸν ἀγρὸν αὐτοῦ θερίσαι σῖτον, καὶ ἐνετείλατο αὐτοῖς θερίσαι ἀνὰ ἑπτὰ στατὰ καθ' ἡμέραν, ἕκαστον αὐτῶν· καὶ ὁ μὲν εἷς ἔδωκε τὴν δύναμιν αὐτοῦ τοῦ πληρῶσαι τὸ διαταχθὲν ὑπὸ τοῦ Κυρίου αὐτοῦ, ἀλλ' οὐκ ἔφθασε πληρῶσαι διὰ τὸ εἶναι τὸ ἔργον ὑπὲρ τὴν δύναμιν αὐτοῦ· ὁ δὲ ἄλλος ἀκηδιάσας, εἶπεν ἐν ἑαυτῷ, τίς δύναται ποιῆσαι τοσοῦτον ἔργον καθ' ἡμέραν, καὶ καταφρονήσας οὐκ ἐμερίμνα, ἀλλ' ὕπνωσεν ὥραν, καθέζων ὥραν, χασμώμενος ὥραν, στρεφόμενος ὡς «θύρα ἐπὶ στρόφιγγα αὐτῆς» (Παροιμ. κστ'. 14) καὶ ἀνήλωσεν ἐν ματαιότητι τὸ διάστημα τῆς

1) Εὐεργ. βιβλ. γ'. ὑπόθ. ϛ'. σ. 7.
2) Εὐεργ. βιβλ. α'. ὑπόθ. με'. σ. 168.

ἡμέρας· ἑσπέρας δὲ καταλαβούσης, παρεγένοντο πρὸς τὸν δεσπότην αὐτῶν, καὶ διακρίνας ἀμφοτέρους, καὶ γνοὺς τοῦ σπουδαίου τὸ ἔργον, εἰ καὶ μὴ ἔφθασε πληρῶσαι τὸ προσταχθέν [1]· τὸν δὲ ὀκνηρὸν καταφρονητὴν ἀπέρριψεν ἀπὸ τοῦ οἴκου αὐτοῦ. Καὶ ἡμεῖς οὖν μὴ ἐκκακήσωμεν ἐν παντὶ κόπῳ, καὶ πάσῃ θλίψει, ἀλλὰ ποιήσωμεν τὴν δύναμιν ἡμῶν, ἐξ ὅλης ψυχῆς ἐργαζόμενοι, καὶ πιστεύω, ὅτι δέχεταί ἡμᾶς μετὰ τῶν ἁγίων αὐτοῦ. Χρήζει δὲ ὁ ἄνθρωπος πολλὴν ποιεῖσθαι δέησιν ἐνώπιον τοῦ Θεοῦ, ἐν μεγάλῃ ταπεινώσει καρδίας καὶ σώματος, καὶ μὴ ἔχειν ἑαυτὸν καλόν τι ποιοῦντα ἐν παντὶ ἔργῳ αὐτοῦ, καὶ μὴ πείθεσθαι τοῖς ἐπαίνοις, μηδὲ θλίβεσθαι ἐν τοῖς ψόγοις, καὶ ποιῆσαι τὴν μνήμην τῶν ἁμαρτιῶν αὐτοῦ, εἰρηνεῦσαι τὴν καρδίαν αὐτοῦ μετὰ τῶν ἐχθρῶν αὐτοῦ, καὶ μὴ ἐᾶσαι πικρὸν λόγον ἐξελθεῖν ἐκ τοῦ στόματος αὐτοῦ τοῦ εἰπεῖν αὐτοῖς, καὶ μὴ ψέξαι αὐτοὺς μηδὲ ἐνώπιον τῶν ἀγαπώντων αὐτούς. Τέλος δὲ πάντων, ὀφείλει ὁ μοναχὸς ἀποκλεῖσαι αὐτοῦ πάσας τὰς πύλας τῆς ψυχῆς, καὶ φυλάξαι πάσας τὰς αἰσθήσεις αὐτοῦ τοῦ μὴ πτωματωθῆναι [2] αὐτὴν δι' αὐτῶν, καὶ φυλάξαι ἑαυτὸν ἀπὸ τῶν φερόντων πρὸς αὐτὸν ῥήματα κοσμικά· πλὴν μακάριος ὁ ἀρκεσθεὶς ταῖς ἰδίαις ἁμαρτίαις.

---

1) Ἡ πρότασις εἶνε ἐλλιπής, συμπληροῦται δὲ διὰ τῆς φράσεως: «ἐπῄνεσε τὸν ἄνδρα», ὡς ἐν τῷ λατιν. «Hominem laudavit».

2) Ὀρθότερον, πτωματισθῆναι.

# ΤΟΥ ΑΥΤΟΥ

## ΠΕΡΙ ΤΟΥ ΚΟΚΚΟΥ ΤΟΥ ΣΙΝΑΠΕΩΣ.

### *Λόγος ια΄.*

Μυστήριον περὶ τοῦ κόκκου τοῦ σινάπεως, καθὼς εἶπον οἱ Πατέρες, ἵνα κατιχνεύσωμεν τὸν τύπον αὐτοῦ, ὅτι γέγραπται: «Ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν κόκκῳ σινάπεως, ὅν λαβὼν ἄνθρωπος ἔκρυψεν ἐν τῷ ἀγρῷ αὐτοῦ, ὃ μικρότερόν ἐστι πάντων τῶν σπερμάτων, ὅταν δὲ αὐξήσῃ, μεῖζον τῶν λαχάνων γίνεται, ὥστε τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνῶσαι ἐν τοῖς κλάδοις αὐτοῦ» (Ματθ. ιγ΄. 31-32). Ἐπεὶ οὖν αὐτός ἐστιν ὁ κόκκος τοῦ σινάπεως, αὗται εἰσὶν αἱ ἀρεταὶ αὐτοῦ· θέλει τὸν ἄνθρωπον ἐξακολουθῆσαι αὐτῷ ἐν παντί. Τὸ γὰρ εἰπεῖν: «μικρότερόν ἐστι πάντων τῶν σπερμάτων», διὰ τὴν ταπεινοφροσύνην λέγει, ὥστε κατελθεῖν ὑποκάτω παντὸς ἀνθρώπου· τὸ δὲ τέλειον εἶναι αὐτὸ, διὰ τὴν πραότητα καὶ τὴν μακροθυμίαν· τὸ δὲ πυρόν, διὰ τὴν ἁγνείαν, διὰ τὸ μηδένα ἔχειν μῶμον ἐν τῇ σαρκί· τὰ δὲ ἐντὸς αὐτοῦ δριμέα ἐστί[1], διὰ τὸ μῖσος τὸ πρὸς τὰ πάθη, πικρὸν γάρ ἐστι τοῖς θέλουσι τὸν κόσμον· ἡ ἰδιότης αὐτοῦ ἐνεργεῖ, ἐὰν μὴ μασηθῇ καὶ τριβῇ, περὶ τῆς κακοπαθείας φησίν· ὁ τρίβων αὐτόν δάκνει τοὺς ὀφθαλμούς, διὰ τὴν θλίψιν τῶν ἐνεργειῶν· ἡ χρῆσις αὐτοῦ ἐστι τὸ ἀλῆσαι τὰ νεκρὰ μέλη πρὸς τὸ μὴ ὀζέσαι. Νοήσωμεν αὐτόν, καὶ ἐξακολουθήσωμεν, καί, τὰ μέλη ἡμῶν τὰ

---

1) Τί ἐστιν ἡ δύναμις τοῦ σινάπεως, ὅτι αὐτῷ παρείκασε τὴν βασιλείαν τῶν οὐρανῶν, καὶ οὐχὶ τῇ ἐλαίᾳ ἢ τῷ φοίνικι ἢ τινι τῶν μεγάλων δένδρων, ἀλλὰ τῷ εὐτελεῖ; ἐπειδὴ δριμύτατόν ἐστι καὶ στύφει ἡμῶν τὰς καρδίας (Βαρσανουφ. ἀπόκρ. ρνστ΄. σελ. 80),

λελυμένα, βάψωμεν ἐν αὐτῷ, ἵνα μὴ ὀζέσωσι καὶ σκωληκιάσωσι. Τοῦτο γάρ ἐστι τὸ ἐνανθρωπῆσαι τὸν Κύριον Ἰησοῦν, πρὸς τὸ μεριμνῆσαι ἡμᾶς, ἵνα κατορθώσωμεν ἑαυτοὺς αὐτῷ κατ' αὐτόν, ὅτι ἐκ τοῦ κόκκου ἐκείνου ἐσμὲν ἢ οὔ· ἐκ τῆς καταστάσεως αὐτοῦ, καὶ τῆς ταπεινοκαρδίας αὐτοῦ, ἐκ τῆς λειότητος αὐτοῦ, καὶ τῆς στυφότητος αὐτοῦ, καὶ ἐκ τῆς γεύσεως αὐτοῦ. Τοῦ δὲ ἐλέους αὐτοῦ ἐστὶν ἐνδυναμῶσαι ἡμᾶς, κατὰ τὸ θέλημα αὐτοῦ, ὅτι αὐτοῦ ἐστιν ἡ δόξα τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

# ΤΟΥ ΑΥΤΟΥ

## ΠΕΡΙ ΤΟΥ ΟΙΝΟΥ.

### *Λόγος ιβ'.*

Α'. Μυστήριον περὶ τοῦ οἴνου, καὶ τῆς τοῦ ἀνθρώπου φύσεως τῆς θελούσης ὑπαντῆσαι τῇ ἁγνείᾳ, φυλαττούσης τὸ ἔργον σῶον, ἵνα δέξῃ [1] αὐτὸ ὁ Θεὸς μετὰ χαρᾶς· τὸ ἀγγεῖον πεπισσωμένον ἐστὶ μετὰ ἐπιεικείας, εἰκόνα δὲ λαμβάνει τῆς ἁγνείας τοῦ σώματος τοῦ εἰς πᾶν μέρος αὐτοῦ ὑγιοῦς, ἐκ τῶν αἰσχρῶν παθῶν· ἀδύνατον γὰρ δουλεῦσαι Θεῷ τὸν δουλεύοντα μιᾷ τῶν ἡδονῶν, ὥσπερ ἀδύνατον βληθῆναι οἶνον εἰς ἀγγεῖον, μὴ ὅλον πεπισσωμένον, ἢ ἔχοντά [2] τινα ραγάδα. Οὕτω καὶ ἡμεῖς ἐρευνήσωμεν ἑαυτούς, ὅτι οὐ δυνάμεθα εὐαρεστῆσαι τῷ Θεῷ, ἔχοντες ἐν ἑαυτοῖς μῖσος ἢ ἔχθραν, ταῦτα γὰρ κωλύει τὸν ἄνθρωπον εἰς τὴν μετάνοιαν. Βράζει μὲν ὁ οἶνος ἐν τῇ ἀρχῇ αὐτοῦ· εἰκόνα δὲ λαμβάνει τῆς νεότητος, ὅτι ταράσσεται, ἕως οὗ γένηται ἡλικίας καὶ κατασταθῇ. Οὐ γίνεται οἶνος, ἐὰν μὴ βληθῇ γύψος, ὡς καὶ ἡ ζύμη ἐν μέτρῳ· οὕτω καὶ τὴν νεότητα ἀδύνατον προκόψαι ἐν τῷ ἰδίῳ θελήματι, ἐὰν μὴ καταδέξηται παρὰ Πατέρων αὐτῆς κατὰ Θεὸν τὴν ζύμην, καὶ δώσωσιν αὐτῇ τὴν ὁδόν, ἕως οὗ χαρίσηται αὐτῇ ὁ Θεὸς καὶ ἀναβλέψῃ. Ἐῶσι δὲ αὐτὸν ἐν τῇ οἰκίᾳ, ἕως οὗ κατασταθῇ· οὕτως, ἄνευ ἡσυχίας, καὶ κακοπαθείας, καὶ παντὸς κόπου κατὰ Θεόν, ἀδύνατον ἐλθεῖν αὐτῇ τὴν κατάστασιν. Ἐὰν ἐάσωσιν αὐτὸν μετὰ σπερμάτων, ἢ γεννημάτων, ὄξος γίνεται· καὶ ἡ φύσις τῆς νεότητος, ἐὰν ἔσηται μέσον τῶν κατὰ

---

1) Δέξηται.
2) Μᾶλλον, ἔχον τινά.

σάρκα συγγενῶν, ἢ ἄλλων, μὴ ὄντων τῆς αὐτῆς πράξεως καὶ ἀσκήσεως, ἀπόλλυσι τὸν τρόπον, ὅν ἐδέξατο παρὰ τῶν κατὰ Θεὸν αὐτῇ Πατέρων. Ἐπιτιθέασιν ἐπ' αὐτὸν γῆν τοῦ μὴ ἀνεμισθῆναι καὶ ἀπολέσθαι· οὕτω καὶ ἡ νεότης, ἐὰν μὴ κτήσηται τὴν ταπείνωσιν ἐν παντί, πάντες οἱ κόποι αὐτοῦ μάταιοί εἰσιν. Ἐὰν γένωνται αὐτοῦ πολλάκις, ἀνεμίζεται καὶ ἀπόλλυ[1] τὴν γεῦσιν αὐτοῦ· τὸ πρᾶγμα τοῦτο πολλάκις γίνεται τῷ ἀνθρώπῳ, φανεροποιοῦντι τὸ ἔργον αὐτοῦ, ἀπόλλυσι γὰρ πᾶν ἔργον αὐτοῦ ἡ κενοδοξία. Ἐὰν ἐάσωσι τὸ στόμα αὐτοῦ ἀνεῳγμένον, οἱ μισητοὶ κώνωπες ἀπολλῦσι τὸν οἶνον· οὕτω καὶ ἡ πολυλογία, καὶ ἡ εὐτραπελία, καὶ ἡ ματαιολογία. Ἐὰν ἐάσωσιν αὐτὸν[2] ἐν τῷ ἀνέμῳ, ἀπόλλυ[3] αὐτοῦ τὸ εἶδος, καί τὴν γένεσιν· οὕτω καὶ ἡ ὑπερηφανία ἀπόλλυσι πάντα τὸν καρπὸν τοῦ ἀνθρώπου. Κρύπτουσιν αὐτὸν ἐν τοῖς ταμείοις, καὶ καλύπτουσιν αὐτόν ἐν τῇ στοιβῇ· οὕτω καὶ ἡ ἡσυχία, καὶ τὸ ἀψήφιστον ἐν παντὶ πράγματι. Ἀδύνατον γὰρ ἄνθρωπον φυλάξαι τὸν κόπον αὐτοῦ, ἄνευ ἡσυχίας, καὶ τοῦ μὴ ψηφίζεσθαι[4].

Β'. Ταῦτα πάντα γίνεται τῷ οἴνῳ, ἕως οὗ ἀρέσῃ τῷ γεωργῷ, καὶ χαρῇ μετὰ καρποῦ· ταῦτα πάντα ὀφείλει ὁ ἄνθρωπος ποιῆσαι, ἕως οὗ ἀρέσῃ τὸ ἔργον αὐτοῦ τῷ Θεῷ. Καὶ καθάπερ ἀδύνατόν ἐστι πιστεῦσαι τῷ οἴνῳ, ὁποῖός ἐστιν, εἰ μὴ ἀνοιγῇ καὶ γευθῇ, οὕτως ἀδύνατον τὸν ἄνθρωπον θαρρῆσαι τῇ καρδίᾳ αὐτοῦ, φοβούμενον διαπαντός, ἕως οὗ ἀπαντήσῃ τῷ Θεῷ, καὶ ἴδῃ τὸ ἔργον αὐτοῦ, εἰ τέλειόν ἐστι. Καὶ καθάπερ ἐὰν γένηται ἐν ἀγγείῳ, ἱδρὼς διαρρέει εἰς τὴν γῆν πρὸ τοῦ γνῶναι τὸν δεσπότην, ἐὰν ἐστὶν ἀμελής, οὕτω καὶ μικρὸν καὶ ἐλάχιστον πρᾶγμα, ἀπόλλυσι τὸν καρπὸν τοῦ ἀνθρώπου, ἐάν ἐστιν ἀμελής. Ποιήσωμεν οὖν τὴν δύναμιν ἡμῶν, ἀδελφοί μου, φυλάττοντες ἑαυτοὺς ἀπὸ τῶν βλαπτόντων ἡμᾶς, καὶ τὸ ἔλεος αὐτοῦ ἐστιν ἐν ἐκείνῃ τῇ ἡμέ-

1) Ἀπόλλυσι.
2) Ἤτοι, τὸν οἶνον.
3) Ἀπόλλυσιν.
4) Ἄρχεται παραλλαγαὶ ἐν τῷ λατιν.

ρᾳ, καὶ ἡ χάρις, πρὸς τὸ εἰπεῖν ἡμᾶς, ὅτι, κατὰ τὴν ἀσθένειαν ἡμῶν ἐποιήσαμεν φυλάξαι τὰ λεχθέντα ἡμῖν ὑπὸ τοῦ συνειδότος, ἀλλ' ἡ δύναμις σή ἐστι, καὶ τὸ ἔλεος καὶ ἡ βοήθεια, καὶ ἡ σκέπη καὶ ἡ συγχώρησις, καὶ ἡ ἀνοχή· ἐπεὶ τίς εἰμι ἐγὼ ἐν χειρὶ τῶν πονηρῶν, ἐξ ὧν ἔσωσάς με; Ἐγὼ οὐδὲν ἔχω δοῦναί σοι, ἁμαρτωλὸς γάρ εἰμι, καὶ ἀνάξιος τῶν δωρεῶν σου, καὶ ἐφύλαξάς με ἐκ χειρὸς τῶν ἐχθρῶν μου, ἀλλὰ σὺ εἶ ὁ Κύριός μου καὶ ὁ Θεός μου, καὶ σοῦ ἐστιν ἡ δόξα, καὶ τὸ ἔλεος καὶ ἡ σκέπη, καὶ ἡ βοήθεια, καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

# ΤΟΥ ΑΥΤΟΥ

## ΠΕΡΙ ΤΩΝ ΑΓΩΝΙΣΑΜΕΝΩΝ ΚΑΙ ΤΕΛΕΙΩΣΑΝΤΩΝ.

### *Λόγος ιγ΄.*

Α΄. Ταῦτά ἐστι τὰ σημεῖα, ἃ ἐποίησεν ὁ Κύριος Ἰησοῦς πρὸ τοῦ ἀναβῆναι εἰς τὸν σταυρόν· λέγει γάρ [1] «Πορευθέντες ἀπαγγείλατε Ἰωάννῃ, ἃ ἠκούσατε καὶ εἴδετε· τυφλοὶ ἀναβλέπουσι, χωλοὶ περιπατοῦσι, λεπροὶ καθαρίζονται, καὶ νεκροὶ ἐγείρονται καὶ πτωχοὶ εὐαγγελίζονται, καὶ μακάριός ἐστιν, ὃς ἐὰν μὴ σκανδαλισθῇ ἐν ἐμοὶ» (Λουκ. ζ΄. 22-23) [2]. Ἰωάννης μὲν ὅτι ἐβάπτισε τὸν Κύριον Ἰησοῦν εἰκόνα λαμβάνει τοῦ λόγου τούτου, ὅτι τὸν βαπτιζόμενον δεῖ ὁμολογῆσαι τὴν πρᾶξιν αὐτοῦ. Πολλὰ μὲν οὖν ἐστι τὰ σημεῖα, ἃ ἐποίησεν ὁ Κύριος Ἰησοῦς, ἀλλὰ τὸ «τυφλοὶ ἀναβλέπουσι», τοῦτό ἐστιν, ὅτι ὁ προσέχων τῇ ἐλπίδι τοῦ κόσμου τούτου, τυφλός ἐστιν· ἐὰν δέ, καταλείψας αὐτήν, ἀτενίσῃ εἰς τὴν προσδοκωμένην ἐλπίδα, ἀνέβλεψεν. Ὁμοίως, τό: «χωλοὶ περιπατοῦσι», τοῦτό ἐστιν, ὅτι ὁ θέλων τὸν Θεὸν καὶ ἀγαπῶν τὰ φρονήματα τῆς καρδίας τὰ σαρκικά, χωλός ἐστιν· ἐὰν δὲ καταλείψῃ αὐτὰ καὶ ἀγαπήσῃ τὸν Θεὸν ἐξ ὅλης τῆς καρδίας αὐτοῦ, περιπατεῖ [3]. Οὕτω πάλιν, «κωφοὶ ἀκούουσι», τοῦτό ἐστιν, ὅτι, ὁ ὢν ἐν περισπασμῷ, κωφεύει διὰ τῆς αἰχμαλωσίας καὶ λήθης· ἐὰν δὲ σχολάσῃ, ἐν γνώσει ἤκουσεν. Καὶ τό: «λεπροὶ καθαρίζονται» οὕτως ἐστίν, ἐπειδὴ γέγραπται ἐν τῷ νόμῳ Μωσέως, «ἀκά-

---

1) Εὐεργ. βιβλ. α΄. ὑπόθ. μα΄. σ. 148.

2) Ἐκ τοῦ: «Ἰωάννης μὲν ὅτι ἐβάπτισε κτλ. μέχρι τοῦ: «ὅτι ὁ προσέχων τῇ ἐλπίδι» κτλ. ἐλλείπουσιν ἐν τῷ λατιν.

3) Ἐν τῷ λατιν. Recte incedit, ὀρθῶς βαίνει.

θαρτος μὴ εἰσέλθῃ εἰς οἶκον Κυρίου», τουτό ἐστιν πᾶς ὁ ἔχων ἔχθραν πρὸς τὸν πλησίον, ἢ μῖσος, ἢ ζῆλον, ἢ καταλαλιάν· ἐὰν δὲ καταλείπωσιν αὐτά, ἐκαθαρίσθησαν. Λοιπὸν ἐὰν ἀναβλέψῃ ὁ τυφλός, καὶ περιπατήσῃ ὁ χωλός, καὶ καθαρισθῇ ὁ λεπρός, ὁ ἄνθρωπος ὁ ἀποθανὼν διὰ τούτων ἐν καιρῷ ἀμελείας, ἐγείρεται καὶ ἀνακαινίζεται, λοιπὸν καὶ εὐαγγελίζεται ταῖς αἰσθήσεσιν αὐτοῦ, ταῖς πτωχευσάσαις τῶν ἁγίων ἀρετῶν, ὅτι ἀνέβλεψε καὶ περιεπάτησε, καὶ ἐκαθαρίσθη. Τὴν ἀπολογίαν ταύτην παρέσχες τῷ βαπτίσαντί σε.

Β'. Τοῦτό ἐστι τὸ βάπτισμα, ἡ κακοπάθεια ἐν ταπεινοφροσύνῃ, καὶ ἡ ἡσυχία· γέγραπται γὰρ περὶ Ἰωάννου, ὅτι: «Τὸ ἔνδυμα αὐτοῦ ἦν ἐκ τριχῶν καμήλου καὶ ζώνην δερματίνην περὶ τὴν ὀσφὺν αὐτοῦ» (Ματθ. γ'. 4), περιεζωσμένος καὶ ἦν ἐν τῇ ἐρήμῳ, τοῦτό ἐστι σημεῖον τῆς κακοπαθείας· αὕτη πρῶτον καθαρίζει τὸν ἄνθρωπον, καί, ἐὰν ἐργάσηται, κτᾶται αὐτήν, καὶ ἐὰν κτήσηται αὐτήν, σχολάζει ἐλθεῖν ἐπὶ τὸν σταυρόν· ὁ σταυρὸς σημεῖόν ἐστι τῆς μελλούσης ἀθανασίας, ὅταν ἀποκλείσῃ πρότερον τὰ στόματα τῶν Φαρισαίων, καὶ τῶν Σαδδουκαίων. Σαδδουκαῖοι μὲν εἰκόνα λαμβάνουσι τῆς ἀπιστίας καὶ ἀνελπιστίας, Φαρισαῖοι δὲ τῆς πανουργίας καὶ ὑποκρίσεως, καὶ κενοδοξίας, κατὰ τὸ γεγραμμένον: «Ἰησοῦν δὲ οὐκέτι οὐδεὶς ἐτόλμα ἐπερωτῆσαι ἀπὸ τῆς ὥρας ἐκείνης» (Μάρκ. ιε'. 24)· λοιπὸν οὖν «ἀπέστειλε Πέτρον καὶ Ἰωάννην ἑτοιμάσαι τὸ Πάσχα» (Λουκ. κβ'. 8), τύπος ἡμῶν ἐστιν, ὅτι ἐὰν ἴδῃ αὐτὸν ὁ νοῦς, μὴ κατακυριευόμενον ὑπό τινος, ἑτοιμάζεται εἰς ἀθανασίαν, ἐπισυνάγων τὰς αἰσθήσεις αὐτοῦ ἐπὶ τὸ αὐτὸ καὶ ποιῶν αὐτὰς ἓν σῶμα [1], τρέφων αὐτὰς μεταλαμβανούσας ἐξ αὐτοῦ ἀχωρίστως. Πάλιν δὲ Ἰησοῦς προσηύχετο λέγων: «Εἰ δυνατὸν παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο ἐν τῇ ὥρᾳ ταύτῃ» (Ματθ. κστ'. 28)· ἡμῶν ἐστιν ὁ λόγος, ὅτι, ἐὰν θελήσῃ ὁ νοῦς ἐπιβῆναι τῷ σταυρῷ, χρῄζει πολλῆς δεήσεως, καὶ δακρύων πολλῶν, καὶ ὑποταγῆναι ἐν πάσῃ ὥρᾳ ἐνώπιον τοῦ Θεοῦ, αἰτῶν βοήθειαν παρὰ τῆς ἀγαθότητος αὐ-

1) Τὰ ἑπόμενα μέχρι τέλους τῆς περιόδου δὲν ἀναγινώσκονται ἐν τῷ λατιν.

τοῦ, ἵνα ἔσηται ἐνδυναμοῦσα καὶ φυλάττουσα αὐτόν, ἕως οὗ ἐγείρῃ αὐτὸν ἐν καινότητι ἁγίᾳ καὶ ἀηττήτῳ, διότι κίνδυνός ἐστι μέγας ἐν τῇ ὥρᾳ τοῦ σταυροῦ. Εὐχόμενος γὰρ χρείαν ἔχει Πέτρου καὶ Ἰωάννου καὶ Ἰακώβου μετ' αὐτοῦ, οἵτινές εἰσι πίστις ὑγιής, καὶ ἀνδρεία καρδίας, ἐλπίδος καὶ ἀγάπης εἰς Θεόν.

Γ'. Καὶ ταῦτά ἐστι τὰ γενόμενα αὐτῷ τῷ Δεσπότῃ, τῷ ἀγαπητῷ Κυρίῳ Θεῷ ἡμῶν Ἰησοῦ ὑπὲρ ἡμῶν, ὅς τύπος ἡμῖν γέγονεν ἐν παντί, καθὼς εἶπεν ὁ Ἀπόστολος: «Τοῦ γνῶναι αὐτὸν καὶ τὴν δύναμιν τῆς ἀναστάσεως αὐτοῦ καὶ τὴν κοινωνίαν τῶν παθημάτων αὐτοῦ συμμορφούμενος τῷ θανάτῳ αὐτοῦ, εἴ πως καταντήσωμεν εἰς τὴν ἐξανάστασιν τὴν ἐκ νεκρῶν» (Φιλιπ. γ'. 10-11). Ἡ χολή, ἣν ἐγεύσατο δι' ἡμᾶς, ἡμῶν ἐστι πρὸς τὸ ἀπολέσαι πᾶσαν ἐπιθυμίαν πονηρὰν ἐν ἡμῖν, καὶ ἐμφράξαι τὰ στόματα ἑαυτῶν, καὶ μὴ συγχωρῆσαι αὐτὰς ἐκβῆναι ἐκ τοῦ σώματος καὶ ἀποτελεσθῆναι. Τὸ ὄξος, ὃ ἐγεύσατο δι' ἡμᾶς, ἡμῶν ἐστι σβέσαι πᾶσαν αὐθάδειαν καὶ πᾶσαν ταραχὴν ματαίαν. Τὸ πτύσμα, ὃ ἐνέπτυσαν εἰς αὐτὸν δι' ἡμᾶς, ἡμῶν ἐστι σβέσαι πᾶσαν ἀνθρωπαρέσκειαν, καὶ πᾶσαν δόξαν τοῦ κόσμου τούτου. Ὁ ἀκάνθινος στέφανος, ὁ πλεχθεὶς καὶ ἐπιτεθεὶς ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, τύπος ἡμῶν ἐστιν, ἵνα βαστάζωμεν τὴν μέμψιν ἡμῶν ἐν πάσῃ ὥρᾳ ὑπομένοντες τὰς ὕβρεις ἀταράχως [1]. Ὁ κάλαμος, ἐν ᾧ ἔτυπτον τὴν κεφαλὴν αὐτοῦ δι' ἡμᾶς, ἡμῶν τύπος ἐστίν, ἵνα, πάντοτε ἔχοντες τὴν περικεφαλαίαν τῆς ταπεινοφροσύνης, σβέσωμεν πᾶσαν ὑπερηφανίαν τοῦ ἐχθροῦ. Τὸ δέ: «Ἰησοῦς παρεδόθη φραγγελωθῆναι πρὸ τοῦ σταυρωθῆναι», τύπος ἡμῶν ἐστι τοῦ καταφρονῆσαι πάντα ὀνειδισμὸν ἀνθρώπινον καὶ δειγματισμόν. Τὸ δὲ «διεμερίσαντο τὰ ἱμάτια αὐτοῦ, βάλλοντες κλήρους», τύπος ἡμῶν γενόμενος, διέμεινεν ἀτάραχος, πρὸς τὸ καὶ ἡμᾶς παραβλέπειν πάντα τὰ τοῦ κόσμου τούτου, πρὸ τοῦ ἀναβῆναι ἐπὶ τὸν σταυρόν, κατὰ τὸν λόγον τοῦ ἀποστόλου, ὅτι: «Τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων ὑμῶν μετὰ χαρᾶς προσεδέξασθε, γινώσκοντες ἔχειν κρείττονα ὕ-

---

1) Τὸ ἑπόμενον χωρίον μέχρι τοῦ: «Τὸ δὲ Ἰησοῦς παρεδόθη» δὲν ὑπάρχει ἐν τῷ λατιν.

παρξιν ἐν οὐρανοῖς» (Ἑβρ. ι'. 34). Ταῦτα γὰρ ὀφείλει ὁ ἄνθρωπος ποιῆσαι, ἐπὶ τὸ δυνηθῆναι μετ' αὐτοῦ ἀναβῆναι ἐπὶ τὸν σταυρόν. Ἐὰν γὰρ μὴ ποιήσῃς, ἃ ἐποίησε, κατὰ τὴν δύναμίν σου ὡς ἄνθρωπος, οὐ δυνήσῃ ἐπιβῆναι τῷ σταυρῷ [1]. Τὸ δὲ «ἦν ὥρα ἕκτη» ὅτε ἐσταυρώθη ἐν στρυφνότητι καρδίας, ἕνεκεν τῆς σωτηρίας ἡμῶν, τύπος ἡμῶν ἐστι, πρὸς τὸ ἐνδυναμωθῆναι ἡμᾶς πρὸς πᾶσαν ἀκηδίαν καὶ μικροψυχίαν, ἕως οὗ ἀποθάνῃ ἡ ἁμαρτία κατὰ τὸ γεγραμμένον, ὅτι διὰ τοῦ σταυροῦ ἀπέκτεινε τὴν ἁμαρτίαν καὶ ἔχθραν ἐν αὐτῷ (Ἐφεσ. β'. 16). Τὸ δὲ ὅτι γέγονεν ὥρα ἐνάτη, ἔκραξε φωνῇ μεγάλῃ ὁ Ἰησοῦς: «Ἐλωΐ, ἐλωΐ, λιμὰ σαβαχθανὶ» (Μάρκ. ιε'. 34), ἡμῶν ἐστι, τὸ μετὰ τὴν ἐπὶ τὰ πάθη, ὑπομονῇ τῆς θλίψεως, ἕως οὗ σβεσθῶσιν, παρρησιάζεσθαι λοιπὸν ἐν πάσῃ ταπεινοφροσύνῃ καὶ βοᾶν πρὸς τὸν Θεόν. Τὸ δὲ ἐν τῷ δῦναι τὸν ἥλιον, παρέδωκε τὸ πνεῦμα, τύπος ἡμῶν ἐστιν, ὅτι ἐὰν ἐλευθερωθῇ ὁ νοῦς ἀπὸ πάσης ἐλπίδος τοῦ κόσμου τούτου τῶν δρωμένων, τοῦτό ἐστι τὸ σημεῖον, ὅτι ἀπέθανεν ἐν σοὶ ἡ ἁμαρτία. Τὸ δὲ «Ἐσχίσθη τὸ καταπέτασμα ἀπὸ ἄνωθεν ἕως κάτω» (Ματθ. κζ'. 51) εἰς δύο, τύπος ἡμῶν ἐστιν, ὅτι ἐὰν ἐλευθερωθῇ ὁ νοῦς, ἡ μεσότης, ἣν ἔχει μεταξὺ αὐτοῦ καὶ τοῦ Θεοῦ, ἀπέρχεται. Τὸ δέ: «Πέτραι διερράγησαν, καὶ τὰ μνημεῖα ἠνεῴχθησαν» (αὐτόθ. 52) τύπος ἡμῶν ἐστιν, ὅτι ἐὰν ὁ θάνατος ἐκεῖνος γένηται ἡμῖν, πᾶσα βαρύτης καὶ τύφλωσις, καὶ τὰ ἐπικείμενα τῇ ψυχῇ, διαρρήσεται [2], καὶ αἱ αἰσθήσεις, αἱ θανατοῦσαι καὶ καρποφοροῦσαι τῷ θανάτῳ, ὑγιαίνουσι καὶ ἐγείρονται ἀήττητοι. Τὸ δὲ ἐνειλιχθῆναι αὐτὸν ἐν σινδόνι καθαρᾷ καὶ ἀρώμασιν, ἡμῶν ἐστιν, ὅτι μετὰ τὸν θάνατον ἐκείνου ἁγιασμός ἐστιν ἐντετυλιγμένος καὶ ἀφθαρσία ἀναπαύουσα αὐτόν. Τὸ δέ: «Ἔθηκαν αὐτὸν ἐν μνημείῳ καινῷ, ἐν ᾧ οὐδεὶς ἦν τεθεὶς» (Ἰωάν. ιθ'. 4) καὶ προσεκόλλησαν λίθον μέγαν τῇ θύρᾳ, τύπος ἡμῶν ἐστιν, ὅτι ἐὰν ἐλευθερωθῇ ὁ νοῦς ἀπὸ πάντων τούτων καὶ σαββατίσῃ, ἐστὶν ἐν ἑτέρῳ αἰῶνι

---

1) Ἡ τελευταία περίοδος δὲν ἀναγινώσκεται ἐν τῷ λατιν.

2) Διαρρήγνυται.

καὶ νῷ καινὰ λογιζόμενος, προσέχων ἐν οἷς οὐκ ἔστι τι φθαρτόν, λογιζόμενος τὰ ἄφθαρτα. Λοιπὸν : «Ὅπου ἐστὶ τὸ πτῶμα, ἐκεῖ συναχθήσονται καὶ οἱ ἀετοὶ» (Ματθ. κδ'. 28). Καὶ τό : «ἀνέστη ἐν δόξῃ, ἐν δόξῃ τοῦ Πατρὸς αὐτοῦ, καὶ ἀνῆλθεν εἰς οὐρανούς, ἐκάθησέ τε ἐν δεξιᾷ τῆς μεγαλωσύνης ἐν ὑψίστοις» (Ἑβρ. α'. 3), ἡμῶν ἐστιν, κατὰ τὸν λόγον τοῦ Ἀποστόλου : «Εἰ οὖν συνηγέρθητε τῷ Χριστῷ, τὰ ἄνω ζητεῖτε, οὗ ὁ Χριστός ἐστιν ἐν δεξιᾷ τοῦ Θεοῦ καθήμενος, τὰ ἄνω φρονεῖτε, μὴ τὰ ἐπὶ τὴν γῆν, ἀπεθάνετε γὰρ» (Κολασ. γ'. 1-3). Δυνατὸν δέ ἐστι τὸ ὄνομα αὐτοῦ, τὸ τίμιον τὸ ποιοῦν ἔλεος, γενόμενον τύπον τοῖς ἁγίοις ἐν παντί, ἐπιλαβέσθαι τῆς ἀσθενείας ἡμῶν πρὸς τό, κατὰ τὴν πτωχείαν ἡμῶν, καταλεῖψαι τὰς ἁμαρτίας ἡμῶν, καὶ εὑρεῖν ἔλεος μετὰ τῶν ἀξίων αὐτοῦ. Ἀμήν.

# ΤΟΥ ΑΥΤΟΥ

## ΠΡΑΞΙΣ ΠΕΡΙ ΠΕΝΘΟΥΣ.

### *Λόγος ιδ'.*

Α'. Οὐαί μοι, Οὐαί μοι[1], ὅτι οὔπω ἠλευθερώθην ἀπό τινος[2] τῆς γεέννης! Οἱ ἕλκοντες εἰς αὐτὴν ἔτι καρποφοροῦσιν ἐν ἐμοὶ καὶ πάντα τὰ ἔργα αὐτῆς κινεῖται ἐν τῇ καρδίᾳ μου. Οἱ καταποντίζοντές με ἐν τῷ πυρί, ἔτι κινοῦσιν ἐν τῇ σαρκί μου, βουλόμενοι καρποφορῆσαι. Οὔπω γὰρ ἔγνων ἀπεντεῦθεν ποῦ ἀπελεύσομαι, οὔπω μοι ἡτοιμάσθη ἡ εὐθεῖα ὁδός, οὔπω ἠλευθερώθην ἀπὸ τῶν ἐνεργειῶν, τῶν οὐσῶν ἐν τῷ ἀέρι, τῶν μελλόντων[3] με κωλύειν, διὰ τὰ ἐν ἐμοὶ πονηρὰ αὐτῶν ἔργα. Οὔπω εἶδον λυτρωτήν, ἐλθόντα διασῶσαί με ἐξ αὐτῶν, ἔτι γὰρ ἡ κακία αὐτῶν καρποφορεῖ ἐν ἐμοί. Οὔπω εἶδον παρρησίαν μεταξὺ ἐμοῦ καὶ τοῦ κριτοῦ. Οὔπω ἐμαρτυρήθην μὴ εἶναι ἄξιος θανάτου. Οὔπω ἀπέστην κακούργων. Οὐκ εὐφραίνεται κακοῦργος ἐν φυλακῇ ἀποκεκλεισμένος. Οὐ δύναται ποιῆσαι τὸ θέλημα αὐτοῦ, δεθεὶς σιδήρῳ. Οὐ διδάσκει ἄλλον, ἀποκεκλεισμένος εἰς ξύλον. Οὐ μνημονεύει τὰς ἀναπαύσεις, ὡς ἐν πόνοις ὑπάρχων. Οὐκ ἐσθίει ἐν ἡδονῇ, δεδεμένος τὸν τράχηλον αὐτοῦ, οὐδὲ διαλογίζεται ἐπὶ τὸ ποιῆσαι πονηρά, ἀλλ' ἐν ὀδύνῃ καρδίας κλαίει, διότι ὅλως ἥμαρτε· πάντα τὰ πονηρὰ καὶ τὰς κολάσεις, ἃς ποιοῦσιν αὐτῷ, λέγει περὶ αὐτῶν, ναὶ ἄξιός εἰμι, διαλογιζόμενος ἀεὶ τί ἔσται τὰ ἔσχατα αὐτοῦ, ἐξερευνῶν τὰς τιμωρίας κατὰ τὰς ἁμαρτίας αὐτοῦ,

---

1) Εὐεργ. βιβλ. β'. ὑπόθ. λδ'. σ. 98.
2) Ἐν τῷ λατιν. Igne (πυρός), ὅπερ ὀρθότερον.
3) Ὀρθότερον, μελλουσῶν.

ἀμεριμνεῖ ἡ καρδία αὐτοῦ τοῦ μὴ κρῖναί τινα, ὁ πόνος τῶν βασάνων κατατρώγει τὴν καρδίαν αὐτοῦ.

Β'. Οὐαὶ πικρόν ἐστιν αὐτῷ ἡ μελέτη· οὐκ ἐνδυναμοῖ ἄλλους μὴ ἀκηδιᾶν· μέριμνα βρώσεως οὐκ ἔστιν αὐτῷ ἡ φροντίς· τὸ ἔλεος τῶν ποιούντων μετ' αὐτοῦ ἔλεός ἐστιν· οὐκ οἶδε τὴν γεῦσιν αὐτῶν ἀπὸ τῆς λύπης, διότι ὅλως ἥμαρτεν. Ὀνειδιζόμενος οὐκ ἀποκρίνεται αὐτοῖς ἐν θυμῷ, βαστάζει τοὺς πόνους, λέγων ἄξιος εἶναι αὐτῶν, γέλως ὀδόντων ἀπέστη ἀπ' αὐτοῦ, κινεῖ τὴν κεφαλὴν αὐτοῦ ἐν στεναγμῷ, μνημονεύων τοῦ βήματος, οὗ μέλλει παραστῆναι· ἐὰν ἀκούσῃ ῥήματα, οὐ λέγει καλῶς ἢ κακῶς, ἐάν εἰσι[1] καλὰ ἢ κακά, οὐ παραδέχονται αἱ ἀκοαὶ αὐτοῦ· τὰ βλέφαρα αὐτοῦ ῥέουσιν ὕδωρ, διὰ τοὺς πόνους, ἐν οἷς συνέχεται. Ἐάν ἐστιν[2] ἐξ εὐγενῶν γονέων, πλέον λυπεῖται διὰ τὴν αἰσχύνην τῶν μελλόντων αὐτὸν θεωρεῖν ἐν τῷ βήματι· τοῦ βήματος ἑτοιμαζομένου δι' αὐτόν, οὐ προσέχει τῷ δήμῳ, ὅτι καλοί εἰσιν ἢ κακοί· ἐάν εἰσιν[3] ἄλλοι συνδεδεμένοι αὐτῷ, οὐ προσέχει αὐτοῖς, οὐδὲ συσκέπτεται μετ' αὐτῶν τὸ τί ποιῆσαι, «Ἕκαστος γὰρ βαστάζει τὸ φορτίον αὐτοῦ» (Γαλ. στ'. 5). Ἑλκόμενος ἀναιρεῖσθαι τὸ πρόσωπον αὐτοῦ ἐσκοτισμένον[4], οὐδεὶς τῶν ἀνθρώπων ὑπὲρ αὐτοῦ λόγον ποιεῖται, διὰ τὸν φόβον τῶν βασάνων· ὁμολογεῖ, ἅπερ ἔπραξε, κριθῆναι ἀξίως, ὧν ἥμαρτεν[5].

Γ'. Ἕως πότε οὖν μεθύω ἄνευ οἴνου, καὶ ἀμελῶ ἔχων ταῦτα πρὸ ἐμοῦ! Ἡ σκληρότης τῆς καρδίας μου ἐξήρανε τοὺς ὀφθαλμούς μου, καὶ ἡ μελέτη τῆς φροντίδος ἐξήρανε τὴν κεφαλήν μου, καὶ ὁ περισπασμὸς τῆς καρδίας μου ἐποίησέ μοι λήθην, ἕως τῆς ὥρας τοῦ σκότους. Ἡ ἀνάγκη τοῦ σώματος ἔδησέ με, καὶ ἡ ἀπώλεια ἐνοχλεῖ μοι καταλεῖψαι τὴν ὁδόν. Οὔπω ἔσχον φίλον, ἵνα λαλήσῃ περὶ ἐμοῦ, οὐδὲ ἔχω δῶρον, ἵνα πέμ-

---

1) Ἀντί, ἐὰν ὦσι.
2) Ἀντί, ἐὰν ᾖ. ἢ, εἰ ἔστιν.
3) Ἀντί, ἐὰν ὦσιν.
4) Ἐννοητέον, ἔχει. Ἐν τῷ λατιν. Oculos humi defixos tenet, κατὰ χθονὸς τὰ ὄμματα προσηλωμένα ἔχει.
5) Ἄρχεται παραλλαγαὶ τοῦ κειμένου ἐν τῷ λατιν.

ψω τοῖς πολίταις. Ἡ ἀγγελία τῶν κακῶν μου ἔργων οὐκ ἐᾷ αὐτοὺς γνωρίσαι με. Ἐὰν παρακαλῶ αὐτούς, οὐ προσέχουσί μοι· ὁρῶσι γάρ με, ὅτι οὔπω ἐπαυσάμην ἐκ τῶν ἀλγηδόνων μου· οὐ παρακαλῶ γὰρ ἐκτεταμένῃ καρδίᾳ, οὐδὲ ὁ σκόλοψ τῶν ἁμαρτιῶν μου οὔπω γέγονεν ἀδειάλειπτος, κεντῶν τὴν καρδίαν μου· τὸ φορτίον τῶν ἀμελειῶν μου οὔπω ἐβαρύνθη ἐπ' ἐμέ· οὔπω ἔγνων ἐξ ὁλοκλήρου τὴν δύναμιν τοῦ πυρός, ἐπεὶ ἠγωνισάμην ἂν μηδὲ ἐμπεσεῖν εἰς αὐτό. Φωνή ἐστιν ἐν τοῖς ὠσί μου, ὅτι πρόκειταί μοι κόλασις, ἐπειδὴ ἐν ἀληθείᾳ οὔπω ἤγνισα τὴν καρδίαν μου [1]· τὰ πλήγματα γεγόνασιν οὐλὴ ἐν τῷ σώματί μου, ἀλλὰ οὔπω ὤζεσαν [2], ἵνα ζητήσω φάρμακον. Σκεπάζω τὰ πλήγματα τῶν βελῶν ἀπὸ τῶν ἀνθρώπων, καὶ οὐ δύναμαι ὑπομεῖναι, ἵνα ἀποσπάσῃ αὐτὰ ὁ ἰατρός· προέθηκέ μοι ἐμβροχὰς βαλεῖν εἰς τὰ πλήγματα, ἀλλ' οὐκ εἰμι στερεοκάρδιος ὑπομεῖναι τὴν στύψιν αὐτῶν· ὁ ἰατρὸς ἀγαθός ἐστιν, οὐ ζητεῖ μισθοὺς παρ' ἐμοῦ, καὶ ἡ ὀκνηρία μου οὐ συγχωρεῖ ἀπελθεῖν πρὸς αὐτόν· Ἔρχεται αὐτὸς πρὸς με τοῦ θεραπεῦσαί με καὶ εὑρίσκει με ἐσθίοντα τὰ ἐκλύοντα τὰ πλήγματα. Παρακαλεῖ με παύσασθαι ἀπὸ τοῦ νῦν, καὶ ἡ ἡδονὴ τῆς γεύσεως αὐτῶν ἀπατᾷ τὴν καρδίαν μου. Ὅταν ἀποφάγω τότε μεταμελοῦμαι, ἀλλ' ἡ μεταμέλειά μου οὐκ ἔστιν ἀληθής. Ἀποστέλλει μοι βρῶσιν, ὅτι [3] φάγε, ἵνα ὑγιάνῃς, καὶ ἡ πονηρὰ συνήθεια οὐ συγχωρεῖ μοι δέξασθαι αὐτήν. Ἔσχατον τούτων πάντων, οὐκ οἶδα τί ποιήσω· Κλαύσατε οὖν σὺν ἐμοὶ πάντες ἀδελφοί μου, οἱ γινώσκοντές με, ἵνα ἔλθῃ μοι βοήθεια ὑπὲρ τὴν δύναμίν μου καὶ κατακυριεύσῃ μου, ἵνα ἄξιος γένωμαι μαθητὴς γενέσθαι αὐτῷ· ὅτι αὐτοῦ ἐστιν ἡ δύναμις εἰς τοὺς αἰῶνας. Ἀμήν.

---

1) «Ἐπειδὴ ἐν ἀληθείᾳ οὔπω ἤγνισα τὴν καρδίαν μου» δὲν ἀναγινώσκεται ἐν τῷ λατιν.

2) Συνηθέστερος ὁ τύπος ὤζησαν.

3) Ἤτοι ὅτι, λέγων.

# ΤΟΥ ΑΥΤΟΥ

## ΠΕΡΙ ΑΠΟΤΑΓΗΣ.

### *Λόγος ιε΄.*

Α΄. Ἀγαπητοὶ φροντίσωμεν [1] ἑαυτῶν, ὅτι «*ὁ καιρὸς συνεσταλμένος* ἐστὶ τὸ λοιπὸν» (Α΄. Κορινθ. ζ΄. 29), καὶ οὐ δύναταί τις φροντίσαι τῆς ἑαυτοῦ ψυχῆς, ὅσον φροντίζει τοῦ σώματος· καὶ ὥσπερ οὐ δύναταί τις ἑνὶ ὀφθαλμῷ προσέχειν εἰς τὸν οὐρανόν, καὶ ἑνὶ ἐπὶ τὴν γῆν, οὕτως οὐδὲ ὁ νοῦς δύναται φροντίσαι τὰ τοῦ Θεοῦ καὶ τὰ τοῦ κόσμου· τὰ γὰρ μὴ βοηθοῦντά σοι, ὅταν ἐξέλθῃς ἀπὸ τοῦ σώματος, αἰσχύνη ἐστί σοι τοῦ φροντίσαι αὐτά. Ἔχε τὸν Θεόν [2], ὅτι προσέχει σοι ἐν παντὶ πράγματι, ὃ ποιεῖς, ἔχε τὸν Θεόν, ὅτι βλέπει ἐν τῷ λογισμῷ σου. Ἃ γὰρ αἰσχύνῃ ποιῆσαι ἐνώπιον τῶν ἀνθρώπων, αἰσχύνη αὐτά ἐστι λογίσασθαι κρυπτῶς: «Ἀπὸ γὰρ τοῦ καρποῦ τὸ δένδρον γινώσκεται» (Ματθ. ιβ΄. 33)· οὕτως ὁ νοῦς ἀπὸ τῆς θεωρίας αὐτοῦ ἐπιγινώσκεται τοὺς λογισμοὺς αὐτοῦ, καὶ ἡ ψυχὴ ἡ λογικὴ γνωρίζει ἑαυτὴν ἀπὸ τῆς θεωρίας αὐτῆς [3]. Μὴ λογίζου οὖν σεαυτὸν ἀπαθῆ, ὅσον πείθει σε ἡ ἁμαρτία· ᾧ ἐδόθη ἐλευθερία, οὐκέτι λογίζεται αὐτῷ, ἃ ἔπραξε τῆς παρὰ φύσεως [4]· μὴ λογίζου οὖν σεαυτὸν ἐλεύθερον, ὅ-

1) Ἐν τοῖς ἔργοις τοῦ ἁγ. Ἀθανασίου, Πατριάρχου Ἀλεξανδρείας (Πατρ. Migne τομ. 28 σ. 1410) εὑρίσκεται : «Λόγος διακριτικός, καὶ εἰς τὰς ἐντολὰς τοῦ Θεοῦ τοῖς ἀποταξαμένοις καὶ σωθῆναι θελουμένοις» συναριθμούμενος ἐν τοῖς νόθοις, ὅστις ἄρχεται ἀπαραλλάκτως ὡς ὁ παρὼν μέχρι τοῦ : «Τὰ τοῦ Θεοῦ καὶ τὰ τοῦ σώματος», τὰ δὲ λοιπὰ τοῦ λόγου ἀποτελοῦνται ἐκ τοῦ ἑπομένου ιζ΄. λόγου.

2) Ἤτοι, πρὸ τῶν ὀφθαλμῶν. Ἐν τῷ λατιν. Deum time, τὸν Θεὸν φοβοῦ.

3) «Καὶ ἡ ψυχὴ ἡ λογικὴ» κτλ. μέχρι τέλους τῆς περιόδου, δὲν ἀναγινώσκεται ἐν τῷ λατιν.

4) Ἐν τῷ λατιν. Qui vera fruitur libertate, is in eorum quae turpiter

σον παροργίζεις τὸν σεαυτοῦ Δεσπότην, οὐ γὰρ ἔρχεται ἐλευθερία, ὅσον ἐπιθυμεῖ σου ἡ καρδία τι τῶν τοῦ κόσμου. Φρόντισον τοῦ ἑαυτοῦ[1] σώματος, ὡς ναοῦ Θεοῦ[2], φρόντισον, ὡς μέλλων ἀναστῆναι καὶ ἀπολογίσασθαι τῷ Θεῷ· φοβήθητι τὸν Θεόν, ὡς μέλλων αὐτῷ λόγον διδόναι περὶ πάντων, ὧν ἔπραξας. Ὥσπερ, ἐὰν πληγῇ σου τὸ σῶμα, φροντίζεις τοῦ θεραπεῦσαι αὐτό, οὕτω φρόντιζε εἶναι αὐτὸ ἀπαθὲς ἐν τῇ ἀναστάσει. Διαλογίζου ἐν ἑαυτῷ καθ' ἑκάστην, ποῖον πάθος ἐνίκησας, πρὸ τοῦ αἰτήσης[3] περὶ τῶν αἰτημάτων σου. Ὥσπερ ἡ γῆ καρπὸν οὐ δύναται ποιῆσαι, ἄνευ σπέρματος καὶ ὕδατος, οὕτως οὐ δύναται ἄνθρωπος μετανοῆσαι, ἄνευ ταπεινοφροσύνης καὶ κόπου σώματος. Διὰ ἀέρων κεκερασμένων ἀνθεῖ ὁ σπόρος, οὕτω καὶ ὁ ἄνθρωπος διὰ τῶν ἐντολῶν ἀνθεῖ καὶ ὁ νοῦς αὐτοῦ τοῦ φυλάξαι τὰς ἐντολὰς αὐτοῦ. Αὕτη ἐστὶν ἡ πίστις ἡ εἰς Θεόν, καὶ ὁ φόβος τοῦ Θεοῦ, τοῦ μὴ λυπῆσαι τὴν ἑαυτοῦ συνείδησιν. Ἐὰν σπαρῇ σοι ἡ ἡδονὴ τῆς πορνείας, καθημένῳ ἐν τῷ κελλίῳ σου, βλέπε, ἀνθίστα τῷ λογισμῷ μὴ ἁρπάσῃ σε. Σπούδασον μνημονεῦσαι τοῦ Θεοῦ, ὅτι προσέχει σοι, καί, εἴ τι διαλογίζῃ ἐν τῇ καρδίᾳ σου, ἀνακεκαλυμμένα εἰσὶν ἐνώπιον αὐτοῦ.

Β'. Εἰπὲ οὖν τῇ ψυχῇ σου, εἰ αἰσχύνῃ ἁμαρτωλοὺς ὁμοίους σου τοῦ μὴ εἰδέναι σε ἁμαρτάνοντα, πόσῳ μᾶλλον τὸν Θεόν, τὸν προσέχοντα τὰ κρυπτὰ τῆς καρδίας σου; καὶ ἀπὸ τῆς διακρίσεως τοῦ λογισμοῦ τούτου, ὁ φόβος τοῦ Θεοῦ ἀποκαλύπτεται ἐν τῇ ψυχῇ σου· καὶ ἐὰν ἀκολουθήσῃς τῷ φόβῳ τοῦ Θεοῦ, ἀκίνητος γίνῃ, καὶ οὐκέτι βιασθῆναι δύνασαι ὑπὸ τῶν παθῶν, καθὼς γέγραπται: «Οἱ πεποιθότες ἐπὶ Κύριον, ὡς ὄρος Σιών, οὐ σαλευθήσεται εἰς τὸν αἰῶνα ὁ κατοικῶν Ἱερουσαλὴμ (Ψαλμ. ρκε'. 1). Ὁ πιστεύων ὅτι ἐστὶ κρίσις, ἐὰν ἐξέλθῃ ἀπὸ τοῦ σώματος, οὐ δύναται κρῖναι τὸν πλησίον αὐτοῦ ἐν παντὶ πράγματι, ὡς μέλ-

admisit, meditatione non immoratur, ὁ ἀληθοῦς ἀπολαύων ἐλευθερίας δὲν ἐνδιατρίβει περὶ τὴν μελέτην ἐκείνων, ἅπερ αἰσχρῶς παρεδέξατο.

1) Τοῦ σεαυτοῦ.

2) Ἐν τῷ λατιν. Ea te cura sollicitet, ἡ αὐτὴ κατεχέτω σε φροντίς.

3) Μᾶλλον, πρὸ τοῦ ἂν αἰτήσῃς.

λων ἀπολογίαν δοῦναι τῷ Θεῷ περὶ πάντων τῶν ἔργων αὐτοῦ, καθὼς γέγραπται, ὅτι: «Δεῖ ἡμᾶς παραστῆναι τῷ βήματι τοῦ Χριστοῦ, ἵνα ἕκαστος ἡμῶν ἀπολήψηται κατὰ τὰς πράξεις αὐτοῦ, ἃς ἐποίησεν ἐν τῷ σώματι, εἴτε ἀγαθὸν εἴτε πονηρόν» (Β΄. Κορινθ. ε΄. 10). Ὁ πιστεύων ὅτι ἐστὶ βασιλεία τοῖς ἁγίοις, φροντίσει φυλάξαι ἑαυτόν, ἕως τῶν μικρῶν καὶ ἐλαχίστων, ὅπως γένηται σκεῦος ἐκλεκτόν, γέγραπται γάρ, ὅτι: «Ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν σαγήνῃ βληθείσῃ εἰς τὴν θάλασσαν, ἥτις συνῆξεν ἀπὸ παντὸς γένους ἰχθύων, πληρωθεῖσαν δὲ εἵλκυσαν αὐτὴν (Ματθ. ιγ΄. 47-48), καὶ ἐξελέξαντο τὰ μὲν καλὰ εἰς τὴν ἁγίαν αὐτοῦ βασιλείαν, τὰ δὲ πονηρὰ ἐξέβαλον εἰς τὴν γέενναν[1]. Ὁ πιστεύων ὅτι μέλλει φύσει τὸ σῶμα αὐτοῦ ἐγείρεσθαι ἐν τῇ ἡμέρᾳ τῆς ἀναστάσεως, ὀφείλει φροντίσαι καὶ καθαρίσαι αὐτὸ ἀπὸ παντὸς μολυσμοῦ, γέγραπται γάρ, ὅτι: «Ὃς μετασχηματίσει τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν εἰς τὸ γενέσθαι αὐτὸ σύμμορφον τῷ σώματι τῆς δόξης αὐτοῦ κατὰ τὴν ἐνέργειαν τοῦ δύνασθαι αὐτὸν» (Φιλιπ. γ΄. 21). Ὧ ἐνῴκησεν ἡ ἀγάπη τοῦ Θεοῦ ἐν αὐτῷ, οὐκέτι δύναται αὐτόν τι τοῦ κόσμου τούτου ἀφορίσαι ἀπὸ τοῦ Θεοῦ, γέγραπται γάρ: «Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; θλῖψις ἢ στενοχωρία ἢ λοιμὸς ἢ γυμνότης ἢ κίνδυνος ἢ μάχαιρα»; (Ρωμ. η΄. 35). Δυνατὸς δὲ ὁ Θεός, εὑρεθῆναι ἡμᾶς ἐν τοῖς μηδὲν τοῦ κόσμου τούτου ἀφορίσασιν αὐτοὺς ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ, ὅπως εὕρωμεν μετὰ πάντων ἔλεος διὰ τῆς δυνάμεως τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅτι Αὐτῷ ἡ δόξα, σὺν τῷ ἀνάρχῳ Πατρί, καὶ τῷ ζωοποιῷ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

1) Πληρέστερον ἐν τῷ Ἑλλην.

# ΤΟΥ ΑΥΤΟΥ

## ΠΕΡΙ ΤΗΣ ΧΑΡΑΣ ΤΗΣ ΓΙΝΟΜΕΝΗΣ ΤΗι ΨΥΧΗι, ΤΗι ΘΕΛΟΥΣΗι ΔΟΥΛΕΥΕΙΝ ΤΩι ΘΕΩι.

### *Λόγος ιστ'.*

Α'. Ἐν πρώτοις μὲν ἀσπάζομαί σε ἐν φόβῳ Θεοῦ, καὶ παρακαλῶ, ὅπως τέλειος ἔσῃ κατὰ τὸ εὐάρεστον αὐτῷ, ἵνα ὁ κόπος μὴ γένηται ἀργός, ἀλλ' ἵνα σῶον δέξηται αὐτὸν ὁ Θεὸς ἐν χαρᾷ παρὰ σοῦ. Ὅστις γὰρ πραγματεύσηται [2] καὶ κερδήσῃ, χαίρει, καὶ οὐ λογίζεται τοὺς κόπους, οὓς ὑπέμεινε, διότι ἔμαθεν. Ὅστις ἔγημε γυναῖκα, εἰ ἀνέπαυσεν αὐτὸν καὶ ἐφύλαξε καλῶς[3], εὐφραίνεται ἡ καρδία αὐτοῦ ἐπ' αὐτῇ θαρρῶν. Ὅστις ἐστρατεύθη [4], καὶ ὑπερεῖδε τὸν θάνατον αὐτοῦ, πολεμῶν ὑπὲρ τοῦ βασιλέως αὐτοῦ, ἕως οὗ στεφανωθῇ, προέκοψεν. Ἰδοὺ ταῦτα [5] ἐστὶ τὰ ἔργα τοῦ κόσμου τούτου τοῦ ἀπολλυμένου [6]· καὶ ταῦτα οὕτω ποιοῦντες χαίρουσι, διότι προέκοψαν τῷ ἔργῳ αὐτῶν. Πόσην χαρὰν [7] νομίζεις γενέσθαι τῇ ψυχῇ, τοῦ ἀρξαμένου δουλεύειν

---

1) Ὁ λόγος οὗτος εἶναι δέκατος ἕβδομος ἐν τῷ λατινικῷ.

2) Ὁ πραγματευόμενος, ὅταν κερδήσῃ, χαίρει, ὁ διδαχθεὶς τέχνην καὶ μαθὼν καλῶς, χαίρει, τοὺς κόπους, οὓς ἔσχεν εἰς οὐδὲν λογιζόμενος. ἐν Σαβ. κώδ. ὑπ' ἀρ. 408, ἀναγομένῳ περὶ τὰ τέλη τοῦ ἐνάτου ἢ ἀρχὰς τοῦ δεκάτου αἰῶνος, καθ' ὃν καὶ αἱ ἐφεξῆς παραλλαγαὶ τοῦ κειμένου.

3) Ἐν τῷ λατ. Eam studiose observat atque custodit, ἐπιμελῶς τηρεῖ καὶ φυλάττει αὐτήν.

4) Ὁ στρατευθεὶς καὶ δόξαν λαβὼν καταφρονεῖ τοῦ ἑαυτοῦ θανάτου, πολεμῶν μετὰ τῶν ἐχθρῶν τοῦ βασιλέως, ἕως οὗ στεφθῇ.

5) Ἰδοὺ αὗται αἱ πράξεις εἰσὶ τούτου τοῦ βίου.

6) Εὐεργ. βιβλ. α'. ὑπόθ. ι'. σ. 34.

7) Τί οὖν οὐ λογίζῃ ὅτι ὁποία χαρὰ ἐστι γινομένη ἐν τῇ ψυχῇ τοῦ ἐμβαλόντος ἑαυτόν. Ἐν τῷ 633 κώδ. Σαβαΐτ. συλλογῆς αἰῶνος ΙΔ'.σ.31 6 καὶ ἐν τῷ 461 Σιναϊτικῷ κώδικι ΙΕ'. αἰῶνος σ. 181 α εὑρίσκεται τεμάχιον τὴν ἑξῆς φέρον ἐπιγραφήν :

τῷ Θεῷ, καὶ τελειώσαντος αὐτοῦ τὸ ἔργον; ὅτι ἐν τῇ ἐξόδῳ αὐτοῦ τῇ ἐκ τοῦ κόσμου τούτου, τὸ ἔργον αὐτοῦ προάξει αὐτῷ καὶ χαρήσονται μετ' αὐτοῦ ἄγγελοι, ὅταν ἴδωσιν αὐτὸν ἀπαλλαγέντα ἐκ τῶν ἐξουσιῶν τοῦ σκότους. Ὅταν γὰρ ἐξέλθῃ ἡ ψυχὴ ἀπὸ τοῦ σώματος, πορεύονται μετ' αὐτῆς οἱ ἄγγελοι, καὶ τότε ἐξέρχονται εἰς συνάντησιν αὐτῆς πᾶσαι αἱ δυνάμεις τοῦ σκότους, θέλουσαι αὐτὴν κατασχεῖν, ἐξερευνῶντες [1] εἰ ἄρα ἔχουσί τι τῶν ἑαυτῶν ἐν αὐτῇ· τότε οὐχ οἱ ἄγγελοι πολεμοῦσιν αὐτοῖς, ἀλλὰ τὰ ἔργα, ἃ ἔπραξε περιτειχίζει καὶ περιφυλάττει αὐτὴν ἀπ' αὐτῶν, ἵνα ἅψωνται αὐτῆς. Ἐὰν δὲ νικήσῃ τὰ ἔργα αὐτῆς, τότε ᾄδουσι πρὸ αὐτῆς οἱ ἄγγελοι, ἕως οὗ ἀπαντήσῃ τῷ Θεῷ ἐν εὐφροσύνῃ· Τότε ἐν τῇ ὥρᾳ ἐκείνῃ, ἐπιλανθάνεται παντὸς ἔργου τοῦ κόσμου τούτου, καὶ παντὸς τοῦ κόπου αὐτῆς. Ποιήσωμεν οὖν τὴν δύναμιν ἡμῶν, ἐργαζόμενοι καλῶς ἐν τῷ βραχεῖ καιρῷ τού-

---

«Ἐκ τῆς πρὸς τὸν ἀββᾶν Ποιμένα ἐπιστολῆς τοῦ ἀββᾶ Μωϋσέως (αἰθίοπος), ὅπερ ἐστὶ κατὰ πάντα ὅμοιον πρὸς τὰ ἐνταῦθα τοῦ ἀββᾶ Ἡσαΐου, ἐκτὸς ἀσημάντων τινῶν παραλλαγῶν· ἐπειδὴ δὲ ὁ Σαβαϊτικὸς κῶδιξ εἶνε πληρέστερος τοῦ Σιναϊτικοῦ, μεταφέρομεν τὸ ἐν λόγῳ τεμάχιον ἐξ αὐτοῦ. σ. 316 «Τί οὖν χρὴ λογίζεσθαι ποία χαρὰ ἔσται ἐν τῇ ψυχῇ τοῦ ἐμβαλόντος ἑαυτὸν δουλεῦσαι τῷ Θεῷ, καὶ τελειῶσαι αὐτοῦ τὸ ἔργον· καὶ γὰρ ἐν τῇ ἐξόδῳ αὐτοῦ τῇ ἐκ τοῦ σώματος τούτου, τὸ ἔργον αὐτοῦ προάξει αὐτὸν καὶ χαρήσονται μετ' αὐτοῦ οἱ ἄγγελοι τοῦ Θεοῦ, διότι εἶδον αὐτὸν σωθέντα ἀπὸ τῶν ἐξουσιῶν τοῦ σκότους. Ἐὰν (ὅταν) γὰρ ἡ ψυχὴ ἐξέλθῃ ἀπὸ τοῦ κόσμου; συνοδεύουσιν αὐτῇ ἄγγελοι καὶ τότε συναντῶσιν αὐτῇ πᾶσαι αἱ δυνάμεις τοῦ σκότους, θέλουσαι κωλῦσαι αὐτήν, ἐκζητοῦσαι, εἰ ἄρα ἔχει τι τῶν ἑαυτῶν ἐν ἑαυτῇ· τότε οὐχὶ οἱ ἄγγελοι ἀντιπολεμοῦσιν πρὸς αὐτάς, ἀλλ' αἱ πράξεις, ἃς ἐποίησε περιτειχίζουσιν αὐτὴν ἀπ' αὐτῶν, ἵνα μὴ ἅψωνται αὐτῆς· ὅταν δὲ νικήσωσι τὰ ἔργα αὐτῆς, τότε ᾄδουσι πρὸ αὐτῆς οἱ ἄγγελοι, ἕως οὗ ἀπαντήσῃ τῷ Θεῷ ἐν εὐφροσύνῃ· τότε λοιπὸν ἐν τῇ ὥρᾳ ἐκείνῃ ἐπιλησθήσεται παντὸς τοῦ καμάτου αὐτῆς καὶ παντὸς ἔργου τοῦ κόσμου τούτου. Τοίνυν καὶ ἡμεῖς ἀδελφοί, ποιήσωμεν τὴν ἑαυτῶν δύναμιν, ἐργαζόμενοι καλῶς ἐν τῷ μικρῷ βίῳ τούτῳ καὶ πονηρῷ, φυλάττοντες τὸ ἔργον ἡμῶν ἀπὸ πάσης πονηρᾶς ἐργασίας, καὶ ἴσως δυνηθῶμεν σωθῆναι ἀπὸ τῶν χειρῶν τῶν πονηρῶν, τῶν ἐρχομένων πρὸ ἡμῶν· κατισχύσουσι γὰρ ἡμῶν ἐν παντὶ πράγματι, καὶ ἐξερευνήσουσι πᾶν ἔργον ἡμῶν, πονηροὶ γάρ εἰσι καὶ ἀνηλεεῖς. Μακάριος, ὅστις οὐχ εὑρεθήσεται ἐν αὐτῷ τι τῶν ἐξ αὐτῶν, διότι ἡ εὐφροσύνη αὐτοῦ, καὶ ἡ ἀνάπαυσις, ἀΐδιος ἔσται». Ἐν δὲ τῷ Σιναϊτ. κώδ. ἕπονται τὰ ἑξῆς : «Διότι ἡ χαρὰ αὐτοῦ καὶ ἡ εὐφροσύνη, καὶ ἡ ἀνάπαυσις καὶ ὁ στέφανος ἀπαράλλακτός ἐστιν. Οἱ δὲ τοῦ κόσμου τούτου πάντες μεταβάλλονται, εἴτε οἱ πραγματευόμενοι, εἴτε οἱ γήμαντες, εἴτε οἱ στρατευόμενοι· πᾶσα γὰρ ἡ δόξα τοῦ κόσμου τούτου εἰς οὐδέν ἐστιν».

1) Σχῆμα κατὰ σύνεσιν, κατωτέρω «οἱ ἄγγελοι πολεμοῦσιν αὐτοῖς».

τῳ, σῶον τὸ ἔργον ἡμῶν ἀπὸ παντὸς κακοῦ, ἵνα δυνηθῶμεν σωθῆναι ἐκ τῶν χειρῶν τῶν ἀρχόντων[1], τῶν προαγόντων ἡμῶν· πονηροὶ γάρ εἰσι καὶ ἀνελεήμονες.

Β΄. Μακάριος οὖν ἐστιν, ἐν ᾧ οὐχ εὑρεθήσεταί τι τῶν ἐναντίων, ὅτι ἡ χαρὰ αὐτοῦ, καὶ ἡ εὐφροσύνη, καὶ ἡ ἀνάπαυσις, καὶ ὁ στέφανος ὑπὲρ μέτρον ἐστί. Τὰ δὲ τοῦ κόσμου τούτου πάντα τρέπεται, οἵ τε πραγματευόμενοι, οἵ τε γαμήσαντες καὶ τὰ λοιπά, ἃ προεῖπον. Ἀγαπητὲ ἀδελφέ, ποιήσωμεν τὴν δύναμιν ἡμῶν ἐν δάκρυσιν ἐνώπιον τοῦ Θεοῦ, ἴσως ἐλεήσῃ ἡμᾶς ἡ ἀγαθότης αὐτοῦ, καὶ ἐξαποστείλῃ ἡμῖν δύναμιν, ἕως οὗ καταπαλαίσωμεν, δι᾿ ὧν καὶ ἐπράξαμεν, τοὺς ἄρχοντας τῆς πονηρίας, τοὺς πρὸ ἡμῶν ἀπαντῶντας. Φροντίσωμεν τοίνυν ἐν στρυφνότητι καρδίας[2] καὶ κτησώμεθα ἑαυτοῖς ἐπιθυμίαν εἰς Θεόν, ἥτις σώσει ἡμᾶς ἀπὸ τῶν χειρῶν τῆς πονηρίας[3], ὅταν ἐξέλθῃ ἐκεῖ εἰς συνάντησιν ἡμῶν. Ἀγαπήσωμεν τὸ ἀγαπᾶν τοὺς πτωχούς, ἵνα σώσῃ ἡμᾶς ἀπὸ τῆς φιλαργυρίας, ὅταν ἐξέλθῃ εἰς συνάντησιν ἡμῶν[4]. Ἀγαπήσωμεν τὸ εἰρηνεύειν μετὰ πάντων, μικρῶν τε καὶ μεγάλων, ἵνα φυλάξῃ ἡμᾶς ἀπὸ τοῦ μίσους, ὅταν ἐξέλθῃ εἰς συνάντησιν ἡμῶν. Ἀγαπήσωμεν πάντας τοὺς ἀδελφοὺς ἡμῶν, μηδενὸς μίσους ὄντος ἐν τῇ καρδίᾳ ἡμῶν εἴς τινα, μηδὲ ἀποδιδόντες τινὶ κακὸν (Ρωμ. 12, 17), ὅτι φυλάξει ἡμᾶς ἀπὸ τοῦ Βελίαρ, ὅταν ἐξέλθῃ εἰς συνάντησιν ἡμῶν. Ἀγαπήσωμεν τὴν ταπεινοφροσύνην ἐν ἅπασι, βαστάζοντες τὸν λόγον τοῦ πλησίον, καὶ ἐὰν ἐκπλήξῃ ἡμᾶς ἢ ὀνειδίσῃ, ἥτις φυλάξει ἀπὸ τῆς ὑπερηφανίας, ὅταν ἐξέλθῃ εἰς συνάντησιν ἡμῶν. Ἐκζητήσωμεν τὴν τιμὴν τοῦ πλησίον εἰς μηδένα ἐν τῷ ψέγειν[5] ζητούμενοι, ἥτις φυλάξει ἡμᾶς ἀπὸ τῆς καταλαλιᾶς, ὅταν[6] ἐξέλθῃ εἰς συνάντησιν ἡμῶν. Παρί-

---

1) Ἤτοι τῶν ἐχθρῶν ἡμῶν. Ὡς ἐν τῷ λατιν. Inimicorum nostrorum.
2) Μετ᾿ ἀκριβείας.
3) Πορνείας, ἵνα μὴ ἐκεῖ ἀπαντήσῃ ἡμῖν, ἐὰν ἐξέλθωμεν ἐκ τοῦ σκότους.
4) Τὴν φιλοπτωχίαν, ἵνα ἀπαντήσῃ ἡμῖν ἐκπορευομένων ἡμῶν.
5) Ἵνα μηδένα σκανδαλίσωμεν.
6) Ἐὰν προέλθῃ εἰς πρόσωπον ἡμῶν, ἀπορρίψωμεν τὴν χρείαν τοῦ κόσμου τούτου.

δωμεν τὴν χρείαν τοῦ κόσμου καὶ τὴν τιμὴν αὐτοῦ, ἵνα σωθῶμεν ἀπὸ τῆς βασκανίας, ὅταν ἐξέλθῃ εἰς συνάντησιν ἡμῶν [1]. Διδάξωμεν τὴν γλῶσσαν ἡμῶν τὴν μελέτην τοῦ Θεοῦ, καὶ τὴν δικαιοσύνην, καὶ τὴν εὐχήν, ἵνα φυλάξῃ ἡμᾶς ἀπὸ τοῦ ψεύδους, ὅταν ἐξέλθῃ εἰς συνάντησιν ἡμῶν. Ἁγνίσωμεν τὴν καρδίαν ἡμῶν καὶ τὸ σῶμα ἀπὸ τῆς ἐπιθυμίας [2], ἵνα σωθῶμεν ἀπὸ τῆς ἀκαθαρσίας, ὅταν ἐξέλθῃ εἰς συνάντησιν ἡμῶν. Ταῦτα γὰρ πάντα [3] κατέχει τὴν ψυχήν, ὅταν ἐξέλθῃ ἀπὸ τοῦ σώματος, αἱ ἀρεταὶ δὲ [4] βοηθοῦσιν αὐτῇ, ἐὰν ἐκτήσατο αὐτάς· ποῖος σοφὸς [5] οὐ θελήσει δοῦναι τὴν ψυχὴν αὐτοῦ εἰς θάνατον, ἵνα ρυσθῇ [6] ἀπὸ τούτων πάντων; Ποιήσωμεν [7] οὖν τὴν δύναμιν ἡμῶν, καὶ ἡ δύναμις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μεγάλη ἐστὶν εἰς τὸ βοηθῆσαι [8] τῇ ταπεινώσει ἡμῶν. Οἶδε γὰρ ὅτι [9] ἄνθρωπός ἐστιν, καὶ ἔδωκεν αὐτῷ τὴν μετάνοιαν, ἕως ἐσχάτης ἀναπνοῆς· γένηται [10] οὖν ὁ λογισμὸς εἰς Θεόν, ἵνα σε φυλάξῃ. Μὴ πρόσχῃς [11] τῇ χρείᾳ τοῦ κόσμου, ὡς ὅτι ἐστὶν ἐλπὶς ἐν αὐτῇ, ἵνα δυνηθῇς σωθῆναι, τὰ γὰρ τοῦ κόσμου τούτου καταλείψεις καὶ ἀπελεύσῃ. Ἃ δὲ ἂν ποιήσῃς διὰ Θεόν, ταῦτα εὑρήσεις ἀγαθὴν ἐλπίδα ἐν τῇ ὥρᾳ τῆς ἀνάγκης. Μίσησον τοὺς λόγους τοῦ κόσμου, ἵνα ἡ καρδία σου ὄψηται τὸν Θεόν. Ἀγάπα τὸ συνεχῶς προσεύχεσθαι [12], ἵνα φωτισθῇ σου ἡ καρδία. Μὴ ἀγαπήσῃς τὴν ὀκνηρίαν [13], ἵνα μὴ λυ-

---

1) Τὰ ἑπόμενα μέχρι τοῦ «ἁγιάσωμεν τὴν καρδίαν ἡμῶν» ἐλλείπουσιν ἐκ τοῦ Σαβ. κώδ.

2) Ἵνα ρυσθῶμεν ἐκ τῶν χειρῶν τοῦ μιασμοῦ, προαγομένου αὐτοῦ εἰς συνάντησιν ἡμῶν.

3) Τὰ ὀλεθριώτατα πάθη κατισχύσουσι τὴν ψυχὴν ἐν τῇ ἐξόδῳ αὐτῆς ἀπὸ τοῦ σώματος.

4) Βοηθήσουσιν αὐτῇ ἐν τῇ ἐξόδῳ αὐτῆς, ἐὰν αὐτὰς κερδήσῃ.

5) Ποῖος οὖν ἐστιν οὕτως ἄσοφος ὁ μὴ θέλων ἐκδοῦναι.

6) Ἐκ χειρός.

7) Τοίνυν ἀδελφοί, ὅση δύναμίς ἐστιν ἐν ὑμῖν.

8) Τῇ τοῦ ἀνθρώπου ταλαιπωρίᾳ.

9) Ἀταλαίπωρός ἐστιν.

10) Γενέσθω.

11) Μὴ προσθῇς.

12) Εὐεργ. βιβλ. δ'. ὑπόθ. θ'. σ. 52. Πρβλ. Ἐφραὶμ σ. οδ'.

13) Δυσοκνίαν.

πηθῇς[1], ὅταν φθάσῃς εἰς τὴν ἀνάστασιν τῶν δικαίων. Φύλαξον τὴν γλῶσσάν σου, ἵνα φωτισθῇ[2] σου ἡ καρδία. Μὴ ἀγαπήσῃς τὴν ὀκνηρίαν, καὶ ὁ φόβος τοῦ Θεοῦ παροικήσει σοι. Διάδος νῦν[3] ὑστερουμένῳ ἐν ὀφθαλμῷ πλουσίῳ, ἵνα μὴ καταισχυνθῇς μεταξὺ τῶν ἁγίων, καὶ τῶν ἀγαθῶν αὐτῶν. Μίσησον τὴν ἐπιθυμίαν ἐν τοῖς βρώμασιν, ἵνα μὴ ὁ Ἀμαλὴκ κωλύσῃ σε. Μὴ γοργεύου ἐν ταῖς λειτουργίαις σου[4], ἵνα μὴ καταφάγῃ σε τὰ θηρία. Μὴ ἀγαπήσῃς οἶνον εἰς μέθην, ἵνα μὴ στερηθῇς τῆς εὐφροσύνης τοῦ Θεοῦ. Ἀγάπησον τοὺς πιστούς[5], ἵνα δι' αὐτῶν ἐλεηθῇς[6]. Πόθησον τοὺς ἁγίους[7], ἵνα ὁ ζῆλος αὐτῶν καταφάγῃ σε.

Γ'. Μνήσθητι τῆς βασιλείας τῶν οὐρανῶν, ἵνα ἡ ἐπιθυμία αὐτῆς κατὰ μικρὸν μικρὸν ἑλκύσῃ σε. Διαλογίζου τὴν γέενναν, ἵνα μισήσῃς τὰ ἔργα αὐτῆς. Ἐγειρόμενος τὸ πρωῒ[8] καθ' ἡμέραν, μνημόνευε ὅτι λόγον δώσεις[9] τῷ Θεῷ περὶ παντὸς ἔργου, καὶ οὐχ ἁμαρτήσεις εἰς αὐτόν, καὶ ὁ φόβος αὐτοῦ παροικήσει ἐν σοί. Ἑτοίμαζε σεαυτὸν ἀπαντῆσαι, καὶ ποιήσεις τὸ θέλημα αὐτοῦ. Ἀνάκρινον σεαυτὸν[10] ἐνταῦθα καθ' ἡμέραν τί ὑστερεῖς, καὶ οὐ κοπιάσεις ἐν τῇ ὥρᾳ τῆς ἀνάγκης τοῦ θανάτου. Ἴδωσιν οἱ ἀδελφοί σου τὰ ἔργα σου, καὶ ὁ ζῆλός σου καταφάγῃ αὐτούς[11]. Ἐρεύνησον σεαυτὸν καθ' ἡμέραν ποῖον πάθος ἐνίκησας, καὶ μὴ πιστεύσῃς σεαυτῷ[12], τὸ γὰρ ἔλεος καὶ ἡ δύναμις τοῦ Θεοῦ ἐστιν. Μὴ λογίζου (σ)εαυτὸν πιστόν, ἕως ἐσχάτης ἀναπνοῆς. Μὴ ὑψηλοφρονήσῃς, ὅτι καλὸς εἶ, οὐ δύνασαι γὰρ (σ)εαυτὸν πιστεῦσαι τοῖς ἐχθροῖς σου. Μὴ θαρρήσῃς σεαυτῷ, ὅσον εἶ ἐν τῷ βίῳ, ἕως

---

1) Λυπηθῇ σου τὸ σῶμα.
2) Ἵνα ὁ φόβος τοῦ Θεοῦ σοι παροικήσῃ.
3) Νυνί.
4) Τὸ «μὴ» ἐλλείπει ἐκ τοῦ Σαβαΐτ. κώδ.
5) Ἁγίους.
6) Σωθῇς ἐν τῇ ἡμέρᾳ τῆς ἀνάγκης.
7) Δικαίους.
8) Εὐεργ. βιβλ. γ'. ὑπόθ. ι'. σ. 28.
9) Δεῖ σε δοῦναι.
10) Εὐεργ. βιβλ. γ'. ὑπόθ. ι'.
11) Ἰδέτωσαν οἱ ὀφθαλμοί μου τὰ ἔργα σου καὶ καταφάγῃ αὐτὰ ὁ ζῆλός σου.
12) Καὶ μὴ ἀφῇς τὴν καρδίαν.

*

ἂν παρέλθῃς πάσας τὰς ἐξουσίας τοῦ σκότους. Νῆφε, ἀδελφέ, πρὸς τὸ πνεῦμα, τὸ φέρον τὴν λύπην τῷ ἀνθρώπῳ [1], πολλὰ γὰρ τὰ θηρεύματα αὐτοῦ, ἕως οὗ ἀδύναμόν σε ποιήσῃ· ἡ γὰρ κατὰ Θεὸν λύπη χαρά ἐστιν ἐν τῷ ὁρᾶν σεαυτὸν ἐν τῷ θελήματι τοῦ Θεοῦ, ὁ δὲ λέγων σοι ποῦ ἔχεις φυγεῖν, μετάνοιαν οὐκ ἔχεις, οὗτος τῆς ἔχθρας ἐστίν, ἕως οὗ ποιήσῃ τὸν ἄνθρωπον ἀπολῦσαι τὴν ἐγκράτειαν· ἡ δὲ κατὰ Θεὸν λύπη, οὐκ ἐπιτίθεται [2] τῷ ἀνθρώπῳ, ἀλλὰ λέγει αὐτῷ, μὴ φοβοῦ, δεῦρο πάλιν, οἶδε γὰρ ὅτι ὁ ἄνθρωπος ἀδύνατός ἐστιν [3] καὶ ἐνδυναμοῖ αὐτόν. Φρονίμην καρδίαν ἔχε [4] ἐπὶ τοὺς λογισμούς σου καὶ ἐλαφρυνθήσονται ἀπὸ σοῦ, τὸν γὰρ φοβούμενον αὐτούς, ποιοῦσιν ἐκλυθῆναι [5] ἀπὸ τοῦ βάρους αὐτῶν. Ὁ φοβούμενος τὰς ἐνεργείας, δῆλον [6] ἑαυτὸν ποιεῖ, ὅτι ἄπιστός ἐστιν εἰς Θεόν. Τὸ μὴ μετρεῖν ἑαυτόν [7], καὶ τὸ ἔχειν ἑαυτὸν ἄγνωστον φανεροῖ τὸν ἄνθρωπον, ὅτι οὐ σχολάζει τοῖς πάθεσι ποιῆσαι τὰ θελήματα αὐτοῦ, ἀλλὰ τοῦ Θεοῦ [8]· ὁ δὲ θέλων τὸν λόγον αὐτοῦ εἰπεῖν ἐπὶ πολλῶν ἐκφαίνει [9], ὅτι φόβος Θεοῦ οὐκ ἔστιν ἐν αὐτῷ· ὁ γὰρ φόβος τοῦ Θεοῦ φύλαξ ἐστὶ καὶ βοήθεια τῆς ψυχῆς, φρουρὸς τοῦ ἔνδοθεν ἡγεμονικοῦ εἰς τὸ ἀπολέσαι πάντας τοὺς ἐχθροὺς αὐτοῦ.

Δ'. Ὁ ἐκζητῶν τὴν τιμὴν τοῦ Θεοῦ, σχολάζει τὴν ἀκαθαρ-

---

1) Εὐεργ. βιβλ. α'. ὑπόθ. α'. Κλίμαξ Ἰωάννου. σχολ. κδ. τοῦ ε'. λόγου. Πατρολ. τόμ. 88, σ. 789.

2) Λογίζεται τῷ ἀνθρώπῳ παράπτωμα.

3) Ἀταλαίπωρος.

4) Ἀνδρείαν ἔχε καρδίαν.

5) Ἐκτραπῆναι.

6) Ἔκδηλον.

7) Ἕπονται τὰ ἑξῆς ἐν τῷ Σαβ. κώδ. Ὁ δὲ παραρρίψας ἑαυτὸν ἐνώπιον τοῦ Δεσπότου ἑαυτοῦ Ἰησοῦ Χριστοῦ ἐν ὅλῃ καρδίᾳ αὐτοῦ ἰσχυρότερος αὐτῶν ἐστιν. Εὐεργ. βιβλ. β'. ὑπόθ. μζ'. σ. 144.

8) Οὐκ ἔστιν εὔσχολος εἰς τὰ πάθη τοῦ ποιῆσαι αὐτῶν τὸ θέλημα, ἀλλὰ τοῦ Θεοῦ.

9) Ἐν ὄχλῳ ἐκφαίνει ἑαυτὸν ὅτι οὐκ ἔστιν ὁ φόβος τοῦ Θεοῦ ἐν αὐτῷ. Ἐνταῦθα ὁ ἀντιγραφεὺς τοῦ 109ου πατριαρχ. κώδ. ὃν ἔχομεν ὑπ' ὄψιν ἐκ τῆς 36β σελίδος ὑπάγει εἰς τὴν 38α καὶ ἐπὶ μίαν σελίδα βαίνων ὁμαλῶς 38β ἐπανέρχεται ἐν τῇ 36β. Ὁ Σαβ. κώδ. καὶ τὸ λατιν. κείμενον εὑρίσκονται ἐν τάξει, τὰ ὁποῖα ἠναγκάσθημεν νὰ ἀκολουθήσωμεν, ἵνα μὴ ἀλλοιωθῇ ὁ εἱρμὸς τῶν λεγομένων.

σίαν ἀπολέσαι [1] ἀπ᾽ αὐτοῦ. Τὸ φροντίσαι ἐν γνώσει αὐτὸ ἐκκόπτει τὰ πάθη, γέγραπται γὰρ «φροντὶς ἐπελεύσεται ἐπ᾽ ἄνδρα σοφόν». Ὁ ἀσθενήσας αὐτὸς ἔγνω τὴν ὑγίειαν [2]. Ὁ στεφόμενος στέφεται, διότι ἐνίκησε τοὺς ἐχθροὺς τοῦ βασιλέως. Ἔστι πάθη, εἰσὶ καὶ ἀρεταί [3], εἰ δέ ἐσμεν ἀκηδιασταὶ ἔκδηλοί ἐσμεν, ὡς προδόται. Ἀνδρεία καρδίας βοήθειά ἐστι τῇ ψυχῇ μετὰ Θεόν, ὥσπερ ἡ ἀκηδία βοήθειά ἐστι τῆς κακίας. Ἡ δύναμις τῶν θελόντων κτήσασθαι τὰς ἀρετὰς αὕτη ἐστίν, ἵνα ἐὰν πέσωσι μὴ μικροψυχήσωσιν, ἀλλὰ πάλιν φροντίσωσιν [4]. Τὰ ἐργαλεῖα [5] τῶν ἀρετῶν εἰσιν οἱ σωματικοὶ κόποι ἐν γνώσει, τὰ γεννήματα τῶν παθῶν γίνονται ἀπὸ τῆς ἀμελείας. Τὸ μὴ κρίνειν τὸν πλησίον τεῖχός ἐστι τῶν ἐν γνώσει πολεμούντων, τὸ δὲ ψέξαι αὐτὸν καταλύει τὸ τεῖχος ἐν ἀγνωσίᾳ. Τὸ φροντίσαι τῆς γλώσσης [6] δῆλον ποιεῖ τὸν ἄνθρωπον, ὅτι πρακτικός ἐστιν, ἡ δὲ ἀπαιδευσία τῆς γλώσσης σημαίνει, ὅτι οὐκ ἔχει ἔνδοθεν αὐτοῦ ἀρετήν· Ἡ ἐν γνώσει ἐλεημοσύνη τίκτει τὸ παρορᾶν [7] καὶ ὁδηγεῖ εἰς τὴν ἀγάπην, ἡ δὲ ἀνελεημοσύνη σημαίνει, ὅτι οὐκ ἔστιν ἐν αὐτῷ ἀρετή. Ἡ ἀγάπη τὴν ἁγνείαν [8], ὁ δὲ περισπασμὸς τίκτει τὰ πάθη καὶ ἡ σκληροκαρδία τίκτει τὴν ὀργήν. Ἡ ἄσκησις τῆς ψυχῆς ἐστι τὸ μισεῖν τὸν περισπασμόν [9], ἡ δὲ τοῦ σώματός [10] ἐστιν ἔνδεια. Ἡ ἔκπτωσις

---

1) Σχολάσει ἀπολέσαι τὰς φθοράς.

2) Τὰ ἑπόμενα μέχρι τοῦ «τοὺς ἐχθροὺς τοῦ βασιλέως» ἐλλείπουσιν ἐκ τοῦ Σαβ. κώδικος.

3) Εἰ μὴ ἦσαν πάθη, οὐδὲ ἦσαν ἀρεταί.

4) Ὁ ἀββᾶς Ζωσιμᾶς (παρ᾽ Εὐεργ. βιβλ. α΄. ὑπόθ. κη΄. σ. 99) ἀποδίδων ταῦτα τῷ ἀββᾷ Μωϋσῇ δὲν καθορίζει τίνι ἀνήκουσι, Μωϋσῇ τῷ αἰθίοπι (Λαυσαϊκ. ἱστορ. κεφ. κβ΄.), ἢ Μωϋσῇ τῷ ἀναχωρητῇ (Κασσιανοῦ περὶ διακρίσεως, Φιλοκαλ. τόμ. α΄ σ. 47. Πρβλ. Συναξαρ. Νικοδήμου τόμ. β΄. ἐν ὑποσημ. κη΄. Ἰουνίου. Κλῖμαξ Ἰωάν. σχόλ. κδ΄. τοῦ ε΄. λόγ. Πατρολ. τόμ. 88, σ. 789. Εὐεργ. βιβλ. α΄. ὑπόθ. α΄. σ. 8.

5) Ὅπλα.

6) Κλῖμαξ Ἰωάν. σχολ. κστ΄. τοῦ κβ΄. λόγ. Πατρ. τόμ. 88, σ. 965. Εὐεργ. βιβλ. β΄. ὑπόθ. μζ΄. σ. 144.

7) Προορᾶν.

8) Ἡ ἀγαθοψυχία τίκτει τὴν ἁγνείαν.

9) Μετεωρισμόν.

10) Ἄσκησις. «Ἡ δὲ τοῦ σώματος ἔνδεια» δὲν ὑπάρχει ἐν τῷ λατιν.

τῆς ψυχῆς ἐστι τὸ ἀγαπᾶν τὸν περισπασμόν [1], ἡ δὲ διόρθωσις αὐτῆς ἡ ἡσυχία ἐν γνώσει. Κόρος ὕπνου ταραχή ἐστιν [2] ἐν σώματι, σωτηρία δὲ καρδίας ἀγρυπνία ἐν μέτρῳ [3]. Πολὺς ὕπνος παχύνει καρδίαν, ἀγρυπνία δὲ ἐν μέτρῳ λεπτύνει αὐτήν. Ἀγαθὸν ὑπνοῦν ἐν σιωπῇ καὶ γνώσει, ὑπὲρ ἀγρυπνοῦντα ἐν ματαιολογίαις. Τὸ πένθος ἐκδιώκει πάσας τὰς κακίας ἀταράχως. Τὸ μὴ πλῆξαι τὴν συνείδησιν τοῦ πλησίον [4] τίκτει τὴν ταπεινοφροσύνην. Ἡ δόξα τῶν ἀνθρώπων τίκτει τὴν ὑπερηφανίαν κατὰ μικρὸν μικρόν. Τὸ ἀγαπᾶν τὸν πλατυσμὸν ἐκδιώκει τὴν γνῶσιν, ἡ δὲ ἐγκράτεια τῆς γαστρὸς ταπεινοῖ τὰ πάθη. Ἡ ἐπιθυμία τῶν ἐδεσμάτων διεγείρει αὐτὰ ἀκόπως. Εὐκόσμησις σώματος ψυχῆς ἐστι καταστροφή [5], τὸ δὲ φροντίσαι αὐτοῦ, κατὰ φόβον Θεοῦ, καλόν.

Ε'. Τὸ προσέχειν τῷ κρίματι τοῦ Θεοῦ τίκτει φόβον τῇ ψυχῇ, τὸ δὲ καταπατεῖν τὴν συνείδησιν ἐκτινάσσει τὰς ἀρετὰς ἀπὸ τῆς καρδίας [6]. Ἡ ἀγάπη ἡ εἰς Θεὸν ἐκδιώκει τὴν ἀμέλειαν, ἡ δὲ ἀφοβία ἐγείρει αὐτήν. Τὸ φυλάξαι τὸ στόμα διεγείρει τὴν διάνοιαν πρὸς τὸν Θεόν, ἐὰν ἐν γνώσει σιωπᾷ, ἡ δὲ πολυλογία τίκτει τὴν ἀκηδίαν καὶ μανίαν. Τὸ ἀπολῦσαι τὸ θέλημά σου τῷ πλησίον σημαίνει, ὅτι ὁ νοῦς βλέπει τὰς ἀρετάς [7], τὸ δὲ κρατεῖν τὸ θέλημά σου μετὰ τοῦ πλησίον σημαίνει τὴν ἀγνωσίαν. Ἡ μελέτη ἡ ἐν φόβῳ [8] φυλάττει τὴν ψυχὴν ἀπὸ τῶν παθῶν, τὸ δὲ λαλῆσαι τοὺς λόγους τοῦ κόσμου, σκοτίζει αὐτὴν ἀπὸ τῶν ἀρετῶν. Τὸ ἀγαπῆσαι τὴν ὕλην θορυβεῖ τὸν νοῦν καὶ τὴν ψυχήν, ἡ δὲ ὑποταγὴ ἀνακαινίζει αὐτά. Τὸ σιωπᾶν εἰς τὸ μὴ ἐξ-

---

1) Ἐν τῷ λατιν. ἀπαντᾷ τὸ χωρίον τῆς πρὸς Τιμόθεον Α'. ἐπιστολῆς δ'. 8. «Ἡ γὰρ σωματικὴ γυμνασία πρὸς ὀλίγον ὠφέλιμός ἐστιν»

2) Παθῶν.

3) Πάθος φαντασίας ὕπνος ἐν κορεσμῷ, ἀγρυπνία δὲ ἐν γνώσει ἐξανθεῖ νοῦν ἀγαθὸν ὑπνοῦν. κτλ.

4) Ἐντεῦθεν ὁ πατριαρχ. κῶδιξ ἐπανέρχεται ἐν τῇ κανονικῇ αὐτοῦ τροχιᾷ.

5) Εὐεργ. βιβλ. α'. ὑπόθ. μθ'. σ. 173.

6) Κλῖμαξ Ἰωάν. σχόλ. κα'. τοῦ ε'. λόγου Πατρολ. τόμ. 88 σ. 789.

7) Τὸ δὲ ἐπικρατέστερον ἔχειν τὸ σὸν θέλημα σημεῖόν ἐστιν, ὅτι ἡ ἀγνωσία ἐν σοί ἐστιν.

8) Θεοῦ. Ἐν τῷ λατιν. Dei timor ὁ φόβος Κυρίου.

ειπεῖν τοὺς λογισμοὺς[1], δῆλόν σε ποιεῖ, ὅτι ἐκζητεῖς τὴν τιμὴν τοῦ κόσμου, καὶ τὴν δόξαν αὐτοῦ τὴν αἰσχράν, ὁ δὲ παρρησιαζόμενος ἐξειπεῖν τοὺς λογισμοὺς αὐτοῦ ἐπὶ τῶν πατέρων αὐτοῦ, ἐκδιώκει αὐτοὺς ἀπ' αὐτοῦ. Ὥσπερ οἰκία[2], μὴ ἔχουσα θύρας[3], μηδὲ θυρίδας, καὶ τὸ βουλόμενον τῶν ἑρπετῶν εἰσέρχεται εἰς αὐτήν, οὕτως ὁ ποιῶν τὸν κόπον αὐτοῦ καὶ μὴ φυλάσσων αὐτόν. Ὥσπερ ὁ ἰὸς κατατρώγει τὸν σίδηρον, οὕτως ἡ τιμὴ τὴν καρδίαν, ἐὰν συμπεισθῇ αὐτῇ. Ὥσπερ σμῖλαξ συμπλακεὶς ἀμπέλῳ ἀφανίζει τὸν καρπὸν αὐτῆς, οὕτως ἡ κενοδοξία ἀφανίζει τὸν κόπον τοῦ μοναχοῦ[4], ἐὰν πεισθῇ αὐτῇ. Πρὸ πασῶν τῶν ἀρετῶν ἐστίν ἡ ταπεινοφροσύνη, καὶ πρὸ πάντων τῶν παθῶν ἐστιν ἡ γαστριμαργία. Τέλος ἀρετῶν ἐστιν ἡ ἀγάπη, τέλος[5] δὲ τῶν παθῶν ἐστι τὸ δικαιῶσαι ἑαυτόν. Ὥσπερ σκώληξ κατατρώγων ξύλον ἀφανίζει αὐτό, οὕτω κακία ἐν καρδίᾳ σκοτίζει τὴν ψυχήν. Τὸ παραρρῖψαι τὴν ψυχὴν ἐνώπιον τοῦ Θεοῦ[6], τίκτει τὸ ὑποφέρειν ὕβριν ἀταράχως[7], καὶ τὰ δάκρυα αὐτῆς σῳά ἐστιν ἀπὸ πάντων τῶν ἀνθρωπίνων. Τὸ μὴ μέμφεσθαι ἑαυτόν, φέρει καὶ τὸ μὴ ὑπομένειν τὴν ὀργήν. Τὸ συμμῖξαι τὸν ἑαυτοῦ λόγον μετὰ τῶν κοσμικῶν, ταράσσει τὴν καρδίαν καὶ καταισχύνει αὐτήν, εὐχομένην τῷ Θεῷ διὰ τὸ μὴ ἔχειν αὐτὴν παρρησίαν. Τὸ ἀγαπᾶν τὴν χρείαν τοῦ κόσμου, ποιεῖ τὴν ψυχὴν σκοτισθῆναι, τὸ δὲ παραβλέπειν αὐτὴν ἐν πᾶσι φέρει τὴν γνῶσιν. Τὸ ἀγαπᾶν τὸν κόπον[8] μῖσός ἐστι πρὸς τὰ πάθη, ἡ δὲ ὀκνηρία φέρει αὐτὰ ἀκόπως.

---

1) Ἀνεγείρει αὐτοὺς ἐν αὐτῷ, τὰ δὲ μέχρι τοῦ «ὁ παρρησιαζόμενος» ἐλλείπουσιν ἐκ τοῦ Σαβ. κώδ.

2) Τὰ ἑπόμενα μέχρι τοῦ «ὥσπερ σκώληξ κατατρώγων ξύλον» δὲν εὑρίσκονται ἐν τῷ Σαβ. κώδ.

3) Εὐεργ. βιβλ. γ'. ὑπόθ. κστ'. σ. 69.

4) Ἐν τῷ λατ. Hominis.

5) Πλήρωσις.

6) Εὐεργ. βιβλ. β'. ὑπόθ. β'. σ. 15.

7) Ἐν ἀταραξίᾳ· τὸ δὲ ἡγεῖσθαι ἑαυτὸν ἄμεμπτον φέρει τὸ μὴ ἀνέχεσθαι τῆς ὀργῆς. Τὰ δὲ ἑπόμενα μέχρι τοῦ «μὴ ἔχῃς ἔχθραν πρὸς ἄνθρωπον» ἐλλείπουσιν ἐκ τοῦ Σαβ. κώδ.

8) Εὐεργ. βιβλ. ς'. ὑπόθ. ιγ'. σ. 44.

ΣΤ'. Μὴ δήσῃς ἑαυτὸν ἐν πολιτείᾳ καὶ ὁ λογισμός σου ἡσυχάσει ἐν σοί. Μὴ ἔσο πεποιθὼς ἐπὶ τῇ δυνάμει σου, καὶ βοήθεια ἐκ τοῦ Θεοῦ συνέρχεταί σοι. Μὴ ἔχῃς ἔχθραν [1] πρὸς ἄνθρωπον, ἐπεὶ οὐ δεκτὴ ἔσται ἡ προσευχή σου. Εἰρήνευε μετὰ πάντων, ἵνα παρρησιάσῃ εὐχόμενος. Φύλαξον τοὺς ὀφθαλμούς σου, καὶ ἡ καρδία σου οὐ μὴ βλέψῃ πονηρά [2]. Ὁ ἐπιβλέπων [3] εἴς τινα ἐν ἡδονῇ, μοιχείαν ἐπιτελεῖ (Ματθ. ε'. 28). Μὴ θελήσῃς ἀκοῦσαι βλάβην [4] λυπήσαντός σε, ἵνα μὴ ἐν τῇ καρδίᾳ σου ἀνταποδώσῃς αὐτῷ. Φύλαξον τὰς ἀκοάς σου, ἵνα μὴ ἐπισυνάξῃς ἑαυτῷ πολέμους. Ἐργάζου ἐν τῷ ἐργοχείρῳ σου, ἵνα εὕρῃ πτωχὸς ἄρτον, ἡ γὰρ ἀργία θάνατός ἐστι καὶ ἔκπτωσις τῆς ψυχῆς. Τὸ συνεχῶς προσεύχεσθαι [5] ἀπόλλυσι τὴν αἰχμαλωσίαν, τὸ δὲ κατὰ μικρὸν ἀμελῆσαι, μήτηρ ἐστὶ τῆς λήθης. Ὁ τὸν θάνατον ἐγγὺς ἔχων τῇ προσδοκίᾳ, οὐχ ἁμαρτάνει πολλά, ὁ δὲ προσδοκῶν πολὺν χρόνον, πολλαῖς ἁμαρτίαις συμπλακήσεται. Τοῦ ἑτοιμάζοντος ἑαυτὸν λόγον δοῦναι [6] περὶ πάντων τῶν ἔργων αὐτοῦ [7] τῷ Θεῷ, ὁ Θεὸς φροντίζει ἁγνίσαι πᾶσαν ὁδὸν αὐτοῦ ἀπὸ ἁμαρτίας, ὁ δὲ καταφρονῶν καὶ λέγων τέως φθάσω ἐκεῖ, παροικεῖ τοῖς πονηροῖς [8]. Πρὸ τοῦ τι ποιῆσαι ἔργον καθ' ἑκάστην ἡμέραν, μνήσθητι καὶ διαλογίζου πάντοτε ποῦ εἶ καὶ ποῦ ἔχεις ἀπελθεῖν, ὅταν ἐξέλθῃς ἐκ τοῦ σώματος, καὶ μὴ ἀμελήσῃς τῆς ψυχῆς σου μηδεμίαν ἡμέραν. Διαλογίζου τὴν τιμήν, ἣν κατέλαβον πάντες οἱ ἅγιοι [9] καὶ ὁ ζῆλος αὐτῶν ἑλκύσει σε [10] κατὰ μικρὸν μικρόν.

---

1) Εὐεργ. βιβλ. δ'. ὑπόθ. ιδ'. σ. 63.

2) Πολλά.

3) Ὁ ἐπιβλέπων πολλὰ ἐπ' οὐδενὸς τελειοῖ μοιχείαν.

4) Ἔκπτωσιν.

5) Εὐεργ. βιβλ. δ'. ὑπόθ. η'. σ. 47. «Τὸ δὲ κατὰ μικρὸν ἀμελῆσαι» κτλ. δὲν ἀναγινώσκεται ἐν τῷ λατ.

6) Εὐεργ. βιβλ, α'. ὑπόθ. ε'. σ. 16.

7) Μεριμνήσει καθαρίσαι πάσας τὰς ἁμαρτίας αὐτοῦ, ὁ δὲ καταφρονῶν καὶ λέγων, κτλ.

8) Τὰ ἐντεῦθεν μέχρι «ποῦ ἔχεις ἀπελθεῖν ὅταν ἐξέλθῃς ἐκ τοῦ σώματος» ἐλλείπουσιν ἐκ τοῦ Σαβ. κώδ.

9) Εὐεργ. βιβλ. α'. ὑπόθ. στ'. σ. 20.

10) Ἤτοι, πρὸς τὴν ἀρετήν.

Διαλογίζου πάλιν ~~καὶ τοὺς~~ ὀνειδισμούς, οὓς κατέλαβον [1] οἱ ἁμαρτωλοὶ καὶ φυλάξει σε [2] ἀεὶ ἀπὸ τῶν πονηρῶν.

Ζ'. Συμβουλῆς δὲ μέτεχε πατέρων σου [3] καὶ ποιήσεις τὸν ἅπαντά σου χρόνον ἐν ἀναπαύσει. Πρόσεχε σεαυτῷ [4] ἐὰν ὁ λογισμός σου νύξῃ σε ὅτι ὁ ἀδελφός σου λυπεῖται κατὰ σοῦ [5], μὴ καταφρονήσῃς αὐτοῦ, ἀλλὰ βάλε αὐτῷ μετάνοιαν ἐν φωνῇ οἰκτρᾷ, ἕως οὗ πείσῃς αὐτόν. Βλέπε, μὴ ἔσο σκληροκάρδιος ἐπὶ τὸν ἀδελφόν, βιαζόμεθα γὰρ πάντες ὑπὸ τῆς ἔχθρας. Ἐὰν οἰκήσῃς μετὰ ἀδελφῶν, μὴ προστάξῃς αὐτοῖς ἔν τινι πράγματι, ἀλλὰ συγκοπίασον αὐτοῖς, ἵνα μὴ ἀπολέσῃς τὸν μισθόν σου [6]. Ἐὰν θορυβῶσί σε οἱ δαίμονες περὶ τροφῆς, καὶ σκεπάσματος, καὶ μεγάλης πτωχείας, ὑποβάλλοντές σοι ὀνειδισμόν, μὴ ἀνταποκριθῇς αὐτοῖς ἔν τινι, ἀλλὰ παράθου σεαυτὸν τῷ Θεῷ ἐν ὅλῃ καρδίᾳ σου καὶ ἀναπαύσει σε. Βλέπε μὴ καταφρονήσῃς τὰς λειτουργίας σου [7] ἐπιτελεῖν, αὗται γὰρ φέρουσι τὸν φωτισμὸν τῇ ψυχῇ. Εἰ ἀγαθὰ ἐποίησας, μὴ καυχῶ [8] ἐν αὐτοῖς, ἐὰν δὲ καὶ ἐποίησας καὶ πολλὰ κακά, μὴ ἀμέτρως λυπηθῇ σου ἡ καρδία, ἀλλὰ στῆθι ἐπὶ τὴν καρδίαν σου εἰς τὸ μηκέτι συμπεισθῆναι αὐτοῖς καὶ φυλαχθήσῃ ἀπὸ τῆς ὑπερηφανείας αὐτῶν ἐὰν ᾖς σοφός. Ἐὰν ὀχλῆσαι ὑπὸ τῆς πορνείας, θλῖψόν σου τὸ σῶμα ἀδιαλείπτως ἐν ταπεινώσει ἐνώπιον τοῦ Θεοῦ [9], καὶ μὴ ἐάσῃς τὴν καρδίαν σου πεισθῆναι, ὅτι συνεχωρήθησάν σοι αἱ ἁμαρτίαι σου, καὶ ἀναπαύῃ. Ἐὰν ὁ ζῆλός σε θλίβῃ [10], μνήσθητι ὅτι Χριστοῦ μέλη ἐσμὲν πάντες, καὶ ὅτι ἡ

---

1) Ἄλλη γραφή, ἔλαχον.

2) Ἤτοι, ὁ λογισμὸς οὗτος.

3) Ἡ βουλὴ ἔστω σοι συμμέτοχος.

4) Εὐεργ. βιβλ. γ'. ὑπόθ. λη'. σ. 118.

5) Μὴ καταφρονήσῃς, ἀλλὰ ἀνάστηθι ἐν τάχει, ἴδε τὸ πρᾶγμα, δὸς μετάνοιαν τῷ ἀδελφῷ σου ἐν οἰκτρᾷ φωνῇ· μὴ ἔσο σκληροκάρδιος κτλ.

6) Τὸν σεαυτοῦ καρπόν.

7) Τὰς φωτοφόρους τῆς ψυχῆς· τὰ δὲ μέχρι τοῦ «εἰ ἀγαθοποιήσεις» ἐλλείπουσιν ἐκ τοῦ Σαβ. κώδ.

8) Μὴ χαυνώσῃς ἑαυτὸν ἐν ἑαυτοῖς· τὰ δὲ μέχρι τοῦ «ἐὰν ὀχλῇ ὑπὸ τῆς πορνείας» ἐλλείπουσιν ἐκ τοῦ Σαβ. κώδ.

9) Καὶ ἀναπαήσῃ, τὰ δὲ μέχρι τοῦ «ἐὰν ἡ γαστριμαργία», ἐλλείπουσιν ἐκ τοῦ Σαβ. κώδ.

10) Εὐεργ. βιβλ. γ'. ὑπόθ. ε'. σ. 19.

τιμή, καὶ τὸ ὄνειδος τοῦ πλησίον πάντων ἡμῶν ἐστι, καὶ ἀναπαύῃ. Ἐὰν ἡ γαστριμαργία σε πολεμῇ [1] ἐν ἐπιθυμίᾳ ἐδεσμάτων, μνήσθητι τῆς δυσωδίας αὐτῶν, καὶ ἀναπαύῃ. Ἐὰν ἡ καταλαλιὰ θλίβῃ σε εἰς τὸν ἀδελφόν σου, μνήσθητι, ὅτι ἐὰν ἀκούσῃ, λυπηθῆναι [2] ἔχει, καὶ διατρέπῃ ἀπαντῆσαι αὐτῷ, καὶ ἀναπαύῃ. Ἐὰν ὑπερηφανία κατακυριεύσῃ σου, μνήσθητι, ὅτι αὐτὴ ἀπόλλυσί σου ὅλον τὸν κόπον, καὶ οὐκ ἔστι τοῖς συμπειθομένοις αὕτη μετάνοια, καὶ ἀναπαύῃ. Ἐὰν ἡ ἐξουθένωσις [3] πολεμῇ τὴν καρδίαν σου εἰς τὸν πλησίον, μνήσθητι ὅτι διὰ τοῦ Θεοῦ παραδίδωσι σε [4] εἰς χεῖρας ἐχθρῶν σου καὶ ἀναπαύῃ. Ἐὰν κάλλος σώματος ἕλκῃ τὴν καρδίαν σου, μνήσθητι τῆς δυσωδίας αὐτοῦ [5], καὶ ἀναπαύῃ. Ἐὰν ἡδονὴ γυναικῶν ἡδίστη σοί ἐστιν, μνήσθητι τῶν ἤδη ἀποθανουσῶν ποῦ ἀπῆλθον καὶ ἀναπαύῃ.

Η'. Ταῦτα πάντα ἡ διάκρισις συναθροίζουσα καὶ ἀναλογιζομένη καταργεῖ. Ἀδύνατον οὖν σοι ἐλθεῖν [6] τὴν διάκρισιν, ἐὰν μὴ τὴν γεωργίαν αὐτῆς ποιήσῃς· πρῶτον [7] τὴν ἡσυχίαν· ἡ ἡσυχία τίκτει τὴν ἄσκησιν, ἡ ἄσκησις τίκτει τὸν κλαυθμόν, ὁ κλαυθμὸς τίκτει τὸν φόβον τοῦ Θεοῦ, ὁ φόβος τίκτει τὴν ταπείνωσιν, ἡ ταπείνωσις τίκτει τὸ προορᾶν, τὸ προορᾶν τίκτει τὴν ἀγάπην, ἡ ἀγάπη τίκτει τὴν ψυχὴν ἄνοσον καὶ ἀπαθῆ. Τότε γινώσκει ὁ ἄνθρωπος, ὅτι [8] μακράν ἐστιν ἀπὸ Θεοῦ μετὰ ταῦτα πάντα. Ὁ βουλόμενος τοίνυν ἐλθεῖν ἐπὶ πάσας τὰς τιμίας ταύτας τῶν ἀρετῶν, ἀμέριμνος ἔστω ἀπὸ παντὸς ἀνθρώπου, καὶ ἑτοιμάσῃ ἑαυτὸν εἰς θάνατον· καὶ ὁσάκις εὔχεται [9], κατανοεῖ τὸ τί ἐστι τὸ ἀφορίζον αὐτὸν ἀπὸ Θεοῦ καὶ καταργήσει αὐτό, καὶ

1) Εὐεργ. βιβλ. β'. ὑπόθ. κβ'. σ. 65.
2) Πονέσει.
3 Εὐεργ. βιβλ. γ'. ὑπόθ. β'. σ. 7.
4) Ἴσως τὸ χωρίον διορθωτέον οὕτω: «Ὅτι διὰ τοῦτο ὁ Θεὸς παραδίδωσί σε» κλ. ὡς καὶ ἐν τῷ λατιν. Cogita te Deum traditurum te in manus κλ.
5) Ὅταν ἀποθάνῃ.
6) Εὐεργ. βιβλ. α'. ὑπόθ. μϛ'. σ. 161.
7) Πρὸ πάντων.
8) Ὅτι οὐ μακράν.
9) Καὶ καθάπαξ εὐχόμενος κατανοήτω τί ἐστι τὸ ἀφορίζον κτλ.

μισήσει πᾶσαν τὴν οἴκησιν [1] ταύτην, καὶ ἡ ἀγαθότης τοῦ Θεοῦ χαρίζεται αὐτῷ αὐτὰς ἐν τάχει. Τοῦτο δὲ μάθε, ὅτι πᾶς ἄνθρωπος ἐσθίων καὶ πίνων ἀδιαφόρως, καὶ ἀγαπῶν τι τοῦ κόσμου τούτου, οὐ μὴ ἔλθῃ ἐπ' αὐτάς, οὐδ' οὐ μὴ φθάσῃ, ἀλλ' ἑαυτὸν ἀπατᾷ. Παρακαλῶ οὖν πάντα ἄνθρωπον, θέλοντα δοῦναι μετάνοιαν τῷ Θεῷ, φυλάξαι ἑαυτὸν ἀπὸ πολυοινίας, αὐτὸ γὰρ ἀνακαινίζει ὅλα τὰ πάθη [2] καὶ ἐκδιώκει τὸν φόβον τοῦ Θεοῦ ἀπὸ τῆς ψυχῆς [3]. Πλὴν ἐν πάσῃ σου τῇ δυνάμει αἴτησαι παρὰ τοῦ Θεοῦ, ἵνα ἐξαποστείλῃ σοι τὸν φόβον αὐτοῦ, ἵνα διὰ τῆς σῆς ἐπιποθίας εἰς Θεὸν ἀπολέσῃ σου πάντα τὰ πάθη τὰ ἀντιστρατευόμενα τῇ ταλαιπώρῳ ψυχῇ, θέλοντα ἀφορίσαι αὐτὴν ἀπὸ τοῦ Θεοῦ εἰς τὸ κληρονομῆσαι αὐτήν, διὰ τοῦτο οἱ ἐχθροὶ ποιοῦσι τὴν δύναμιν αὐτῶν ἀντιπολεμοῦντες τῷ ἀνθρώπῳ. Μὴ πρόσχῃς οὖν, ἀδελφέ, ἀναπαύσῃ, ὅσον εἶ ἐν τῷ σώματι [4] τούτῳ, μηδὲ πιστεύσῃς σεαυτῷ ἐὰν ἴδῃς [5] ἐν καιρῷ ἀναπαυόμενον ἀπὸ παθῶν, διότι στέλλουσιν [6] αὐτοὺς ἐν πανουργίᾳ πρὸς καιρόν [7], ἴσως ὁ ἄνθρωπος ἀπολύσει [8] τὴν ἑαυτοῦ καρδίαν, νομίζων, ὅτι ἀνεπαύθη, καὶ ἄφνω εἰσπηδῶσιν ἐπὶ τὴν ταλαίπωρον ψυχὴν καὶ ἁρπάζουσιν αὐτὴν ὡς στρουθίον, καὶ ἐὰν ἐπικρατέστεροι αὐτῆς ἐν παντὶ ἁμαρτήματι γένωνται, ταπεινοῦσιν αὐτὴν ἀνελεημόνως, χαλεπώτερον τῶν παρὰ τὰς ἀρχάς, ὑπὲρ ὧν ηὔχετο [9] συγχωρηθῆναι.

Θ'. Σταθῶμεν οὖν ἐν φόβῳ Θεοῦ καὶ φυλάξωμεν ἐπιτελοῦντες τὸ πρακτικὸν ἡμῶν, φυλάττοντες [10] πάσας τὰς ἀρετάς, αἵτινες κωλύουσι τὴν κακίαν τῶν ἐχθρῶν, ὅτι οἱ κόποι καὶ οἱ μόχθοι

---

1) Τὸν κόσμον τοῦτον. Ἐν τῷ λατιν. mundum universum.

2) Βαρσανουφ. ἀπόκρ. φη'. σ. 285.

3) Τὰ ἑπόμενα μέχρι τοῦ «μὴ πρόσχῃς οὖν ἀδελφέ», ἐλλείπουσιν ἐκ τοῦ Σαβ. κώδικος.

4) Εὐεργ. βιβλ. δ'. ὑπόθ. ιγ'. σ. 44. Ἀναπαύσῃ, νοητέον πρὸ αὐτοῦ τὸ ἵνα.

5) Σεαυτόν.

6) Φιλοκαλ. τόμ. α'. σ. 18, κεφ. ια'.

7) Οἱ δαίμονες.

8) Ἀμελήσει.

9) Ὑπεσύρετο.

10) Φροντίζοντες ἑαυτοῖς εἰς τὰς ἀρετάς, ὅπως ἀπαλλάξωσιν ἡμᾶς ἀπὸ τῶν παθῶν, διότι οἱ κόποι καὶ οἱ πόνοι κτλ.

τοῦ βραχέος καιροῦ τούτου, οὐ μόνον φυλάττουσιν ἡμᾶς ἀπὸ τῆς πονηρίας, ἀλλ' αὐτοὶ πάλιν εὐτρεπίζουσι τοὺς στεφάνους τῇ ψυχῇ πρὸ τοῦ ἐξελθεῖν ἀπὸ τοῦ σώματος [1]. Ὁ διδάσκαλος ἡμῶν [2], ὁ Ἅγιος Κύριος Ἰησοῦς, εἰδὼς τὴν μεγάλην αὐτῶν ἀνελεημοσύνην, καὶ οἰκτείρων τὸ γένος τῶν ἀνθρώπων, ἐνετείλατο ἐν στρυφνότητι καρδίας λέγων, γίνεσθε ἕτοιμοι ἐν πάσῃ ὥρᾳ, ὅτι οὐκ οἴδατε ἐν ποίᾳ ὥρᾳ ὁ λῃστὴς ἔρχεται (Ματθ. κδ'. 42-43), μήποτε ἄφνω ἔλθῃ καὶ εὕρῃ ἡμᾶς κοιμωμένους· Διδάσκων τοὺς ἑαυτοῦ ἐνετείλατο λέγων : «Βλέπετε μὴ παχυνθῶσιν [3] ὑμῶν αἱ καρδίαι ἐν κραιπάλαις καὶ μέθαις καὶ μερίμναις βιωτικαῖς, καὶ ἐπελεύσεται ὑμῖν ἄφνω ἡ ὥρα» (Λουκ. κα'. 34). Γινώσκων, ὅτι πλεονάζουσι μᾶλλον ἡμῶν οἱ πονηροί, καὶ δεικνὺς τοῖς ἑαυτοῦ, ὅτι τὸ δύνασθαι αὐτοῦ ἐστιν, ὥστε αὐτοὺς μὴ φοβηθῆναι, ἔλεγεν αὐτοῖς : «Ἰδοὺ ἐγὼ ἀποστέλλω ὑμᾶς ὡς πρόβατα ἐν μέσῳ λύκων» (Ματθ. ι'. 16)· ἀλλ' ἐνετείλατο αὐτοῖς μὴ λαβεῖν μηδὲν εἰς ὁδὸν (Λουκ. θ'. 3) [4], ὅσον γὰρ οὐκ εἶχόν τι τῶν λύκων, οὐκ ἠδύναντο αὐτοὺς καταφαγεῖν. Ὑποστρεψάντων δὲ αὐτῶν ὑγιῶν καὶ φυλαξάντων τὴν ἐντολήν, συνεχάρη αὐτοῖς, εὐχαριστῶν τῷ Θεῷ καὶ Πατρὶ ὑπὲρ αὐτῶν, καὶ ἐνισχύων τὴν καρδίαν αὐτῶν, ἔλεγεν αὐτοῖς : «Εἶδον τὸν σατανᾶν, ὡς ἀστραπὴν ἐκ τοῦ οὐρανοῦ πεσόντα. Ἰδοὺ δέδωκα ὑμῖν τὴν ἐξουσίαν [5] πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ, καὶ οὐ μὴ ἀδικήσωσιν ὑμᾶς» (Λουκ. ι'. 18-19). Οἱ μὲν οὖν Ἀπόστολοι Αὐτοῦ, ἐν φόβῳ καὶ ἐν τηρήσει [6], ὅταν δὲ ἐπλήρωσαν αὐτοῦ τὴν ἐντολήν [7], ἔδωκεν αὐτοῖς τὴν ἐξουσίαν μετὰ δυνάμεως.

---

1) Ἐνταῦθα ὁ Σαβ. κῶδιξ ἐξακολουθεῖ ἐκ τῆς ἀρχῆς τοῦ ιστ'. λόγου : «Ἀδελφοὶ φροντίσωμεν ἑαυτῶν, ὅτι ὁ καιρὸς συνεσταλμένος ἐστι» μέχρι τοῦ, ἔνθα καὶ περατοῦται : «καὶ ἐὰν ἡ ψυχὴ ἀκολουθήσῃ τῷ φόβῳ, ἀκίνητος γίνεται τοῖς πονηροῖς ἐπιτηδεύμασιν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν».

2) Φιλοκαλ. τόμ' α'. σ. 18 κεφ. ιβ'.

3) Ἐν τῷ γραφικῷ χωρίῳ ἀντὶ τοῦ «παχυνθῶσιν» ἀναγινώσκεται «βαρηθῶσι».

4) Μηδὲν αἴρετε εἰς τὴν ὁδόν, λέγει τὸ Εὐαγγέλιον.

5) Τοῦ πατεῖν.

6) Λείπει τὸ ῥῆμα, νοητέον τό, ἦσαν. Ἐν τῷ λατιν. Missio illa fuit cum timore et observatione.

7) Ἤτοι ἐπέστρεψαν ἐκπληρώσαντες τὴν ἐντολὴν αὐτοῦ, ὡς ἐν τῷ λατιν. Sed cum expleto mandato reversi essent.

Ι'. Οὗτοι οἱ λόγοι οὐκ εἰσὶν ἐκείνων μόνον, ἀλλὰ πάντων τῶν πληρούντων τὰς ἐντολάς. Ἀγαπήσας γὰρ αὐτοὺς ἐν τελείᾳ ἀγάπῃ, ἔλεγε : «Μὴ φοβοῦ τὸ μικρὸν ποίμνιον· εὐδόκησε γὰρ ὁ Πατὴρ ὑμῶν δοῦναι ὑμῖν τὴν βασιλείαν. Πωλήσατε οὖν τὰ ὑπάρχοντα καὶ δότε ἐλεημοσύνην καὶ ἕξετε βαλάντια μὴ παλαιούμενα καὶ θησαυροὺς ἀνεκλείπτους ἐν τοῖς οὐρανοῖς» (Λουκ. ιβ'. 32-33). Φυλαξάντων δὲ καὶ τοῦτον τὸν λόγον, εἶπεν αὐτοῖς: «Εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν, εἰρήνην τὴν ἐμὴν ἀφίημι ὑμῖν» (Ἰωάν. ιδ'. 27)· πείθων δὲ αὐτούς, ἔλεγεν : «Ὁ ἀγαπῶν με, τὰς ἐντολάς μου τηρήσει, κἀγὼ καὶ ὁ Πατήρ μου ἐλευσόμεθα καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν» (αὐτ. 23)· ἀφόβους δὲ ποιῶν αὐτοὺς ἀπὸ τοῦ κόσμου, ἔλεγεν αὐτοῖς : «Ἐν τῷ κόσμῳ θλῖψιν ἕξετε· ἀλλὰ θαρσεῖτε, ἐγὼ νενίκηκα τὸν κόσμον» (Ἰωάν. ιστ'. 33)· ἐνδυναμῶν δὲ αὐτούς, ἵνα μὴ ἐκκακῶσιν ἐν ταῖς θλίψεσιν, ἔλεγεν αὐτοῖς τὴν χαρὰν ἐν ταῖς καρδίαις αὐτῶν : «Ὑμεῖς ἐστε οἱ διαμεμενηκότες μετ' ἐμοῦ ἐν τοῖς πειρασμοῖς μου· κἀγὼ διατίθημι ὑμῖν καθὼς διέθετό μοι ὁ Πατὴρ βασιλείαν, ἵνα ἐσθίητε καὶ πίνητε ἐπὶ τῆς τραπέζης μου» (Λουκ. κβ'. 28-30). Ταῦτα δὲ οὐ πᾶσιν ἔλεγεν, ἀλλὰ τοῖς ὑπομείνασιν αὐτὸν ἐν τοῖς πειρασμοῖς· Τίνες οὖν εἰσιν οἱ ὑπομείναντες τῷ Ἰησοῦ ἐν τοῖς πειρασμοῖς, εἰ μὴ οἱ ἱστάμενοι ἐπὶ τὰς παραφύσεις, ἕως ἐκκόψωσιν αὐτάς; ταῦτα δὲ εἶπεν αὐτοῖς ἀπερχόμενος ἐπὶ τὸν σταυρόν. Ὁ θέλων οὖν ἐσθίειν καὶ πίνειν ἐπὶ τῆς τραπέζης Αὐτοῦ [1], συμπορευθῇ αὐτῷ ἐπὶ τῷ σταυρῷ· ὁ γὰρ σταυρὸς τοῦ Ἰησοῦ ἐστιν ἐγκράτεια ἐπὶ παντὸς πάθους, ἕως οὗ ἐκκοπῶσιν.

ΙΑ'. Ὁ γὰρ ἀγαπητὸς ἀπόστολος, ἐκκόψας αὐτά, ἐτόλμα λέγειν : «Χριστῷ συνεσταύρωμαι· ζῶ δὲ οὐκέτι ἐγώ, ζῇ δὲ ἐν ἐμοὶ Χριστὸς» (Γαλάτ. β'. 20)· οὐκοῦν ἐν τοῖς καταργήσασι τὰ πάθη ζῇ ὁ Χριστός. Παραινῶν δὲ ὁ Ἀπόστολος τοῖς ἑαυτοῦ τέκνοις, εἶπεν : «Οἱ δὲ τοῦ Χριστοῦ Ἰησοῦ τὴν σάρκα ἐσταύρωσαν σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις» (Γαλάτ. ε'. 24)· Γράφων δὲ Τιμοθέῳ, τῷ ἑαυτοῦ τέκνῳ, ἔλεγεν : «Εἰ γὰρ συναπεθάνομεν

1) Ἤτοι τοῦ Κυρίου.

καὶ συζήσομεν· εἰ ὑπομένομεν καὶ συμβασιλεύσομεν· εἰ ἀρνησόμεθα καὶ αὐτὸς ἀρνήσεται ἡμᾶς» (Β'. Τιμοθ. β'. 11-12)· Τίνες οὖν εἰσιν οἱ ἀρνούμενοι Αὐτόν, εἰ μὴ οἱ πράττοντες τὰ θελήματα αὐτῶν κατὰ σάρκα, ὑβρίζοντες τὸ ἅγιον βάπτισμα; Διὰ μὲν γὰρ τοῦ ὀνόματος αὐτοῦ ἐδόθη ἡμῖν ἄφεσις ἁμαρτιῶν, διὰ δὲ τοῦ φθόνου ἡμῶν, πάλιν ὁ ἐχθρὸς διὰ τῆς ἁμαρτίας. Ὁ Κύριος ἡμῶν οὖν Ἰησοῦς Χριστός, εἰδὼς τὴν ἀπ' ἀρχῆς κακίαν αὐτοῦ, ὅτι μεγάλη ἐστί [1], προσέθηκεν ἡμῖν τὴν μετάνοιαν ἕως ἐσχάτης ἀναπνοῆς. Εἰ μὴ γὰρ ἦν μετάνοια, οὐκ ἄν τις ἐσώζετο. Γινώσκων ὁ Ἀπόστολος, ὅτι ἐστὶν ὁ ἁμαρτάνων καὶ μετὰ τὸ βάπτισμα ἔλεγεν : «Ὁ κλέπτων μηκέτι κλεπτέτω (Ἐφεσ. δ'. 28). Ὅσῳ τοίνυν ἔχομεν τὴν τοῦ ἁγίου βαπτίσματος σφραγῖδα, σπουδάσωμεν καταλεῖψαι τὰς ἁμαρτίας ἡμῶν, ὅπως εὕρωμεν ἔλεος ἐν τῇ ἡμέρᾳ ἐκείνῃ· ἤγγικε γάρ, καὶ ἔρχεται «καθήμενος ἐπὶ θρόνου δόξης αὐτοῦ, καὶ συναχθήσονται ἐνώπιον αὐτοῦ πᾶσαι αἱ φυλαὶ» (Ματθ. κε'. 31-32), καὶ εἷς ἕκαστος φανεροῦται ἀπὸ τῆς ἰδίας λαμπάδος, τῆς οὔσης ἐν τῇ χειρὶ αὐτοῦ. Ὅστις οὖν μὴ ἔχῃ ἔλαιον, σβεσθήσεται ἀπ' αὐτοῦ ἡ λαμπὰς καὶ ριφήσεται εἰς τὸ σκότος, οὗτινος δὲ ἡ λαμπὰς φωτεινή ἐστι, συνεισελεύσεται Αὐτῷ εἰς τὴν βασιλείαν.

ΙΒ'. Σπουδάσωμεν οὖν, ἀγαπητοί, γεμίσαι τὰ ἀγγεῖα ἡμῶν ἐλαίου, ἐν ὅσῳ ἐσμὲν ἐν τῷ σώματι, ἵνα λάμψῃ ἡ λαμπὰς ἡμῶν πρὸς τὸ εἰσελθεῖν ἡμᾶς εἰς τὴν βασιλείαν Αὐτοῦ· τὸ γὰρ ἀγγεῖον ἐστὶν ἡ μετάνοια, τὸ δὲ ἐν αὐτῇ ἔλαιον, τὸ πρακτικὸν πασῶν τῶν ἀρετῶν ἐστιν, ἡ δὲ φωτεινὴ λαμπὰς ἡ ἁγία ψυχή ἐστιν [2] οἵα οὖν γένηται φωτοφόρος ψυχὴ διὰ τῶν ἑαυτῆς πράξεων, εἰσελεύσεται εἰς τὴν βασιλείαν Αὐτοῦ μετ' Αὐτοῦ, οἵα δέ ἐστιν ἐσκοτισμένη ψυχὴ ἀπὸ τῆς ἰδίας κακίας ἀπελεύσεται εἰς τὸ σκότος. Ἀγωνίζεσθε τοίνυν, ὦ ἀδελφοί, ὅτι ἤγγικεν ἡμῖν ὁ καιρός. Μακάριος οὖν ἐστιν ὁ ἔχων τὴν μέριμναν ταύτην· ὁ γὰρ καρπὸς

---

1) «Ὅτι μεγάλη ἐστί» δὲν ὑπάρχει ἐν τῷ λατιν.

2) Ἐν τῷ λατιν. Praeclara lampas atque illustris est anima sancta, λαμπὰς φαεινὴ καὶ λαμπρὰ εἶνε ἡ ἁγία ψυχή.

ὄψιμος γέγονε, καὶ καιρός ἐστι λοιπὸν τοῦ θερισμοῦ· Μακάριος οὖν ἐστιν ὁ σώσας τὸν καρπὸν αὐτοῦ, ὅτι συνάξουσιν αὐτὸν οἱ ἄγγελοι εἰς τὴν αἰώνιον ἀποθήκην, οὐαὶ δὲ τοῖς οὖσι ζιζάνιον, ὅτι τὸ πῦρ αὐτοὺς κληρονομήσει. Ἡ γὰρ κληρονομία τοῦ κόσμου τούτου χρυσός ἐστι καὶ ἄργυρος, καὶ οἰκίαι, καὶ ἐνδύματα, καὶ οὐ μόνον, ὅτι παρασκευάζει ἡμᾶς ἁμαρτάνειν, ἀλλὰ καὶ ἡμεῖς ἀπερχόμενοι καταλιμπάνομεν αὐτά· ἡ δὲ τοῦ Θεοῦ κληρονομία ἀμέτρητός ἐστιν, ἣν «οὔτε ὀφθαλμὸς εἶδεν, οὔτε οὖς ἤκουσεν, οὔτε ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη» (Α΄. Κορινθ. β΄. 9), καὶ ταύτην ἐχαρίσατο τοῖς ὑπακούουσιν αὐτῷ ἐν τῷ μικρῷ καιρῷ τούτῳ, καὶ λαμβάνουσιν αὐτὴν διὰ ἄρτον, καὶ ὕδωρ, καὶ ἱμάτιον, ἃ παρέσχον τοῖς δεομένοις, καὶ διὰ φιλανθρωπίαν, καὶ ἁγνείαν σώματος, καὶ τοῦ μὴ κακοποιῆσαι τὸν πλησίον, καὶ καρδίαν ἄκακον, καὶ τὰς λοιπὰς αὐτοῦ ἐντολάς, καὶ οἱ φυλάσσοντες ταῦτα ἀνάπαυσιν ἔχουσιν ἐν τῷ αἰῶνι τούτῳ, καὶ εὐλαβηθήσονται αὐτοὺς οἱ ἄνθρωποι, καὶ ὅταν ἐξέλθωσι τοῦ αἰῶνος τούτου ἐκ τοῦ σώματος, χαρὰν αἰώνιον λήψονται. Οἱ δὲ ποιοῦντες τὰ θελήματα αὐτῶν ἐν τῇ ἁμαρτίᾳ καὶ μὴ μετανοοῦντες, ἀλλ᾽ εἰσὶν ἐν περισπασμῷ τῆς ἡδονῆς, καὶ τῇ αὐτῶν ἀπάτῃ ἐπιτελοῦντες τὴν κακίαν αὐτῶν, καὶ τὴν εὐτραπελίαν τῶν λόγων αὐτῶν, καὶ τὴν κραυγὴν ἐν ταῖς μάχαις αὐτῶν, καὶ τὴν ἀφοβίαν τῆς κρίσεως τοῦ Θεοῦ, καὶ τὴν ἀνελεημοσύνην εἰς τοὺς πτωχούς, καὶ τὰ λοιπὰ τῶν ἁμαρτημάτων, ἔσται τούτων τὰ πρόσωπα πεπληρωμένα αἰσχύνης ἐν τῷ αἰῶνι τούτῳ, καὶ οἱ ἄνθρωποι καταφρονήσουσιν αὐτῶν, καὶ ὅταν ἐξέλθωσιν ἐκ τοῦ κόσμου τούτου, ὄνειδος καὶ αἰσχύνη προάξει αὐτοὺς ἐν τῇ γεέννῃ. Δυνατὸς δὲ ὁ Θεὸς ἀξιῶσαι ἡμᾶς προκόψαι ἐν τοῖς ἔργοις Αὐτοῦ, φυλάττοντες ἑαυτοὺς ἀπὸ παντὸς ἔργου πονηροῦ, ἵνα δυνηθῶμεν σωθῆναι ἐν τῇ ὥρᾳ τοῦ πειρασμοῦ τοῦ μέλλοντος ἐλθεῖν ἐπὶ ὅλον τὸν κόσμον, οὐ γὰρ χρονίζει ὁ Κύριος ἡμῶν Ἰησοῦς, ἀλλ᾽ ἐλεύσεται ἔχων μεθ᾽ ἑαυτοῦ τὸν μισθόν, καὶ τοὺς μὲν ἀσεβεῖς ἐκπέμψει εἰς τὸ πῦρ τὸ αἰώνιον, τοῖς δὲ ἰδίοις παρέξει τὸν μισθόν, καὶ εἰσελεύσονται μετ᾽ Αὐτοῦ, καὶ ἀναπαύσονται ἐν τῇ βασιλείᾳ Αὐτοῦ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· Ἀμήν.

# ΤΟΥ ΑΥΤΟΥ

## ΠΕΡΙ ΛΟΓΙΣΜΩΝ ΑΠΟΤΑΓΗΣ ΚΑΙ ΞΕΝΙΤΕΙΑΣ.

### *Λόγος ιζ'.*

Α'. Πρὸ πάντων[1], ὁ πρῶτος ἀγών ἐστιν ἡ ξενιτεία μάλιστα ἢ καὶ κατὰ μόνας φυγεῖν, τὰ ἴδια καταλείψεις καὶ εἰς ἕτερον τόπον ἀπέλθῃς, πίστιν τελείαν ἐπιφερόμενος καὶ ἐλπίδα, ἑδραίαν τε καρδίαν κατὰ τῶν ἑαυτοῦ θελημάτων· κυκλοῦσι[2] γάρ σε ἐν πολλοῖς κύκλοις φοβερίζοντές σε περὶ πειρασμῶν, καὶ σκληρᾶς πτωχείας, καὶ νοσημάτων, ὑποβάλλοντές σοι, ὅτι εἰ ἐν τούτοις περιπέσῃς, τί ποιήσεις μὴ ἔχων τὸν φροντίζοντά σε ἢ γινώσκοντά σε. Ἡ ἀγαθότης τοῦ Θεοῦ δοκιμάζει σε, ἵνα φανερωθῇ σου ἡ σπουδή, καὶ ἡ πρὸς Θεὸν ἀγάπη. Λοιπὸν ἐὰν καταληφθῇς μόνος εἰς τὸ κελλίον, σπείρουσί σοι λογισμοὺς βαρυτάτους δειλίας, λέγοντες, οὐχ ἡ ξενιτεία μόνη σώζει τὸν ἄνθρωπον, ἀλλὰ τὸ φυλάξαι τὰς ἐντολάς, φέροντές σοι μνήμην τινῶν, ὡς ἐγγιζόντων τοῖς κατὰ σάρκα, πείθοντές σου τὴν καρδίαν καὶ λέγοντες τί οὖν οἱ τοιοῦτοι οὐκ εἰσὶ δοῦλοι τοῦ Θεοῦ; Ἐμβάλλουσι δὲ τῇ καρδίᾳ σου περὶ δυσκρασίας ἀέρων, καὶ βάρους σώματος ἕως οὗ ἐξασθενήσῃ ἡ καρδία σου ἀπὸ τῆς ὀλιγωρίας. Ἐὰν δὲ ἡ ἀγάπη καὶ ἡ ἐλπὶς ἐν αὐτῷ ὦσιν, ἡ κακία ἐκείνων οὐκ ἐνεργεῖ, λοιπὸν φανεροῦται ἡ σπουδή σου ἐνώπιον τοῦ Θεοῦ, ὅτι ἀγαπᾷς αὐτὸν ὑπὲρ τὴν ἀνάπαυσιν τῆς σαρκός. Τοὺς δὲ ὑπομένοντας τὴν θλῖψιν τῆς ξενιτείας, ἡ θλῖψις φέρει αὐτοὺς ἐπὶ τὴν ἐλπίδα, καὶ ἡ ἐλπὶς φυλάττει αὐτοὺς ἀπὸ μέρους ἐκ τῶν κατὰ

---

1) Εὐεργ. βιβλ. α'. ὑπόθ. ιγ'. σ. 42.
2) Ἤτοι, οἱ λογισμοί.

σάρκα. Οὐ γὰρ ἁπλῶς ἐξενίτευσας, ἀλλ᾽ ἵνα ἑτοιμάσῃς σεαυτὸν καὶ σχολάσῃς πολεμεῖν πρὸς τοὺς ἐχθροὺς καὶ γνωρίσῃς ἕκαστον ἀποῤῥῖψαι ἐν τῷ καιρῷ αὐτοῦ, ἕως οὗ φθάσας εἰς ἀνάπαυσιν ἀπαθείας ἐλευθερωθῇς, ὡς νικήσας ἕκαστον, πολεμῶν ἐν καιρῷ αὐτοῦ.

Β΄. Μέγα δὲ νομίζω [1] καὶ τίμιον τὸ τὴν κενοδοξίαν νικῆσαι, καὶ τὸ προκόψαι εἰς γνῶσιν Θεοῦ, ὁ γὰρ ἐμπεσὼν εἰς τὴν αἰσχρότητα τοῦ πονηροῦ τούτου πάθους τῆς κενοδοξίας, τῆς εἰρήνης ἀλλοτριοῦται, καὶ σκληρύνεται τὴν καρδίαν πρὸς τοὺς ἁγίους, καὶ ἐν τέλει τῶν κακῶν αὐτοῦ, εἰς ὑψηλοφροσύνην περιπίπτει πονηράν, καὶ φροντίδα τοῦ ψεύσασθαι. Σὺ δέ, ὦ πιστέ, ἔχε κρυπτοὺς τοὺς πόνους σου, καὶ φρόντισον ἐν πόνῳ καρδίας καὶ γλώσσης [2], μὴ ἀφέληται αὐτοὺς ἡ γλῶσσα καὶ παραδῷ τοῖς ἐχθροῖς σου [3]. Ὁ γὰρ ἐργασάμενος καὶ ἀποθέμενος τὰ πάθη τοῦ σώματος, καὶ πάντα τὰ ἐλαττώματα αὐτοῦ, διὰ τῆς μετανοίας, ὁ τοιοῦτος τὴν ἰδίαν ψυχὴν παρεσκεύασε τιμίαν, ἣν τῷ Θεῷ ὡς παραθήκην ἀμώμητον [4], ἵνα ἀξιωθῇ ναὸς αὐτοῦ γενέσθαι. Τὸν δὲ ἀγαπῶντα τὴν δόξαν τῶν ἀνθρώπων, ἀδύνατον εἶναι ἀπαθῆ, ἀλλὰ ζῆλος καὶ φθόνος οἰκεῖ ἐν αὐτῷ, ὁ τοιοῦτος πέπρακε τὴν ψυχὴν αὐτοῦ τοῦ πειρασθῆναι πολλῶν [5], καὶ σφάττεται ὑπὸ τῶν δαιμόνων ἡ καρδία αὐτοῦ, διὰ τὸ μὴ συνεχῶς εὑρίσκειν αὐτὸν χώραν τοῦ ἐπιτελεῖν τὰ θελήματα αὐτοῦ, τὸ δὲ τέλος αὐτοῦ ἀπώλεια. Ὁ δὲ τὴν ταπεινοφροσύνην κτησάμενος, ἀποκαλύπτει αὐτῷ ὁ Θεὸς τὰς ἁμαρτίας αὐτοῦ, εἰς τὸ ἐπιγνῶναι αὐτάς, εἰ δὲ καὶ συνδράμει τοῦ-

---

1) Εὐεργ. βιβλ. γ΄. ὑπόθ. κστ΄. σ. 69. Κλῖμαξ Ἰωάν. σχόλ. ιστ΄. τοῦ κγ΄. λόγου, Πατρολ. τόμ. 88. σ, 973.

2) «Ἐν πόνῳ καρδίας καὶ γλώσσης» ἐλλείπει ἐν τῷ λατιν.

3) Τὰ ἐφεξῆς ἀκολουθοῦντα ἐν τῷ Εὐεργετινῷ κεφάλαια (ἔνθ᾽ ἀν.), ἀποδιδόμενα τῷ ἀββᾷ Ἡσαΐᾳ, εὑρίσκονται καὶ παρὰ Μάρκῳ († 450;) τῷ ἀσκητῇ «Ἐὰν θέλῃς παρὰ Κυρίου ἐπικαλυφθῆναι» (Περὶ τῶν οἰομένων ἐξ ἔργων τελειοῦσθαι κεφ. ρλε΄.) «Κρύψας ἀρετὴν μὴ ἐπαίρου» (αὐτ. κεφ. ρλστ΄.) «Ἀσφάλισαι λόγον ἀπὸ καυχήσεως» (αὐτ. κεφ. ρπη΄.) Φιλοκαλ. τόμ. α΄. σ. 68, 69, 71. Πατρολ. τόμ. 65 σ. 949, 957.

4) Νοητέον, παρέθετο.

5) Ἤτοι ἐκτίθησι τὴν ψυχὴν πολλοῖς πειρασμοῖς.

τῳ τὸ πένθος καὶ παραμείνει αὐτῷ τὰ ἀμφότερα, ἐκβάλλουσιν ἀπὸ τῆς ψυχῆς αὐτοῦ τὰ ἑπτὰ δαιμόνια, καὶ τρέφουσι τὴν ψυχὴν ἐκ τῆς ἰδίας τιμῆς [1], καὶ ἐκ τῶν ἰδίων αὐτοῦ ἀρετῶν. Τῷ δὲ τοιούτῳ [2] οὐ μέλλει περὶ ὀνειδισμοῦ ἀνθρώπων, αἱ γὰρ ἴδιαι ἁμαρτίαι μνημονευόμεναι, πανοπλία αὐτῷ γίνονται, καὶ φυλάττουσιν αὐτὸν ἀπὸ ὀργῆς, καὶ ἀνταποδόσεως, καὶ ὑποφέρει τά ἐπερχόμενα· ποῖον γὰρ ὄνειδος ἔχει προσάψαι αὐτόν, οἷον ἔχει ἐνώπιον τοῦ Θεοῦ πρὸ προσώπου αὐτοῦ τῶν ἰδίων ἁμαρτημάτων; Ἐὰν οὖν μὴ δυνηθῇς βαστάσαι τὸ ῥῆμα τοῦ πλησίον σου καὶ ἀνταποδῷς αὐτῷ, πόλεμοι ἐγερθήσονται ἐν τῇ καρδίᾳ σου καταπονοῦντές σε περὶ ὧν ἤκουσας, καὶ ποιοῦσί σε λυπηθῆναι περὶ ὧν ὅλως ἐλάλησας, καὶ καταδυναστεύεταί σου ἡ αἰχμαλωσία, καὶ ποιεῖ σε μακαρίσαι τοὺς κατὰ μέρος ἡσυχάζοντας, καὶ σκληρύνει σου τὴν καρδίαν πρὸς τοὺς πλησίον, ὡς ἀγάπης χωρὶς ὄντας. Ἀλλὰ μᾶλλον ἀγώνισαι κτήσασθαι τὴν μακροθυμίαν, ὅτι νικᾷ τὴν ὀργήν, καὶ ἡ ἀγάπη θεραπεύει τὴν λύπην. Τὸ δεηθῆναι τοῦ Θεοῦ ἐν φόβῳ φυλάττει σοι ταῦτα· ἡ γὰρ ἀγάπη καὶ ἡ μακροθυμία φθείρουσι τὴν κατὰ φύσιν ὀργήν, καὶ ἐὰν παραμείνῃ σοι ταῦτα, ἀνθ' ὧν ὀργίζῃ κατὰ τοῦ πλησίον, ὀργίζῃ κατὰ τῶν δαιμόνων, τῷ δὲ πλησίον εἰρηνεύεις, ἔχων ἐν σοὶ τὸ πένθος καὶ τὴν ταπεινοφροσύνην. Ὁ δυνάμενος [3] φέρειν ῥῆμα σκληρὸν δυσχεροῦς καὶ ἀσυνέτου [4] διὰ τὸν Θεόν, καὶ διὰ τὸ εἰρηνεύειν τοὺς λογισμούς, οὗτος κληθήσεται υἱὸς τῆς εἰρήνης, καὶ δυνατός ἐστιν οὗτος κτήσασθαι εἰρήνην ψυχῆς, σώματος καὶ πνεύματος. Καὶ ἐὰν τὰ τρία ταῦτα συμφωνήσωσι, καὶ παύσωνται οἱ ὡπλισμένοι κατὰ τοῦ νόμου τοῦ νοός, καὶ καταργηθείη [5] τῆς σαρκὸς ἡ αἰχμαλωσία, οὗτος κληθήσεται υἱὸς τῆς εἰρήνης καὶ ἐνοικήσει ἐν

---

1) Ἐν τῷ λατιν. Vera gloria.

2) Εὐεργ. βιβλ. β'. ὑπόθ. ε'. σ. 15.

3) Εὐεργ. βιβλ. β'. ὑπόθ. β'. σ. 15. Κλῖμαξ Ἰωάν. σχόλ. ιθ'. τοῦ κε'. λόγ. Πατρ. τόμ. 88 σ. 1008. Ἐπιγράφεται τῷ Ἰσαὰκ (πιθανῶς τῷ Σύρῳ), ἀλλ' ἀνήκει τῷ ἀββᾶ Ἡσαΐᾳ.

4) Ἤτοι, ἀνθρώπου.

5) Καταργηθῇ, καθ' ὑποτ. κατ' ἀναλογίαν πρὸς τὰ προηγούμενα.

αὐτῷ τὸ Πνεῦμα τὸ Ἅγιον, ὅτι αὐτοῦ ἐγένετο καὶ οὐ χωρισθήσεται αὐτοῦ.

Γ΄. Μακάριοί εἰσιν, ὧν οἱ κόποι ἐν γνώσει ἐγένοντο, ἀνέπαυσαν γὰρ αὐτοὺς ἀπὸ παντὸς βάρους, καὶ παρῆλθον τὴν πανουργίαν τῶν δαιμόνων, μάλιστα τῶν τῆς δειλίας, τῶν κωλυόντων τὸν ἄνθρωπον εἰς πᾶν ἔργον ἀγαθόν, ὃ ἐπιβάλλεται, φέροντες εἰς ὄκνον τὸν νοῦν, ἐὰν ἐπιδῷ ἑαυτὸν προσκαρτερεῖν τῷ Θεῷ, εἴπως δύναιντο διὰ τῶν πόνων ἀποστῆσαι αὐτὸν τῆς τοιαύτης ὁδοῦ. Νομίζω δὲ ὅτι ἐάν ἐστιν ἡ ἀγάπη ἐν ἡμῖν, καὶ ἡ ὑπομονή, καὶ ἡ ἐγκράτεια, οὐδὲ ἓν δυνήσονται ἀνύσαι πρᾶγμα, μάλιστα ἐὰν ἐπιγνῷ ὁ νοῦς, ὅτι ὁ ὄκνος ἐστὶν ὁ καταστρέφων πάντα, καὶ καταφρονήσεις αὐτοῦ, εἰ κατέλειπες[1] πᾶσαν τὴν φαινομένην ὕλην. Νῆφε ἀπὸ τοῦ δαίμονος τῆς λύπης, μήποτε διὰ τὴν μεγάλην πτωχείαν και θλῖψιν, οὐ μὴ δυνηθῇς ἐλθεῖν ἐπὶ τὰς μεγάλας ἀρετάς, αἵτινές εἰσι τὸ μὴ μετρεῖν ἑαυτόν, τὸ φέρειν ὕβριν, τὸ μὴ ὀνομασθῆναί σε ἐν πάσῃ διαταγῇ τοῦ κόσμου τούτου. Ἐὰν γὰρ ἀγωνίσῃ ταῦτα κτήσασθαι, αὐτά σοι τοὺς στεφάνους τῆς ψυχῆς ἑτοιμάσουσιν· Οὐ γὰρ οἱ ἀποταξάμενοι καὶ πτωχεύσαντες ἐν τῷ φαινομένῳ μόνον εἰσὶ πτωχοί, ἀλλ' οἱ πτωχεύσαντες ἀπὸ πάσης κακίας, καὶ πεινῶντες ἀεὶ τὴν μνήμην τοῦ Θεοῦ· Οὐδὲ οἱ τὴν φαινομένην θλῖψιν ἔχοντες κτῶνται τὴν ἀπάθειαν, ἀλλ' οἱ μεριμνῶντες περὶ τοῦ ἔσω ἀνθρώπου, καὶ τὰ ἑαυτῶν θελήματα κόπτοντες, οὗτοι λήψονται τὸν στέφανον τῶν ἀρετῶν. Στῆθι οὖν ἐπὶ τὴν καρδίαν σου προσέχων ταῖς αἰσθήσεσί σου, καὶ ἐὰν εἰρηνεύσῃ μετὰ σοῦ ἡ μνήμη, καταλαμβάνεις τοὺς λῃστὰς ἀπολύντας αὐτήν· Ὁ γὰρ ἀκριβευόμενος ἐν τοῖς λογισμοῖς ἐπιγινώσκει τοὺς θέλοντας εἰσελθεῖν καὶ μιᾶναι αὐτόν. Ἐὰν μεριμνᾷς περὶ τῶν ἐντολῶν ἐν ζεούσῃ καρδίᾳ [2], κατανοήσεις τοὺς ταράσσοντάς σε ἐκ ποίας σε προφάσεως θορυβοῦσιν [3], ὀλιγωρίαν σοι φέροντες ἐκλέξασθαι τόπον, αἰτίαν μὴ ἔχοντα, καὶ

---

1) Εὐεργ. βιβλ. α΄. ὑπόθ. ιγ΄. σ. 43.
2) Κλῖμαξ Ἰωάν. σχόλ δ΄. τοῦ ιγ΄. λόγ. Πατρολ. τόμ. 88 σ. 864.
3) Ὀλιγωρίαν σοι κλ. μέχρι τοῦ : ταράσσουσιν, ἐλλείπει ἐν τῷ λατιν.

πάλιν μεταμελούμενοι καθήμεθα. Ταράσσουσι γὰρ τὸν νοῦν, ὅπως γένηται μετέωρος καὶ ἀργός, οἱ δὲ ἐπιγνόντες τὴν κακουργίαν αὐτῶν, ἀτάραχοι μένοντες, εὐχαριστοῦντες [1] τῷ Κυρίῳ ἐπὶ τῷ τόπῳ, ἐν ᾧ ὑπομεῖναι ἔδωκεν αὐτοῖς. Ἡ γὰρ ὑπομονὴ καὶ ἡ μακροθυμία, καὶ ἡ ἀγάπη ἐπὶ τοῖς κόποις καὶ μόχθοις εὐχαριστεῖ, ἡ δὲ ἀκηδία, καὶ ὀλιγωρία, καὶ τὸ ἀγαπῆσαι τὴν ἀνάπαυσιν, ζητοῦσι τόπον, ἐν ᾧ δοξάζονται, καὶ λοιπὸν ἐκ τῆς τῶν πολλῶν δόξης ἐξασθενοῦσιν αἱ αἰσθήσεις, καὶ ἀναγκαίως ἡ αἰχμαλωσία τῶν παθῶν καταδυναστεύει αὐτῶν καὶ ἀπόλλυσι τὴν ἐγκράτειαν τὴν κρυπτὴν διὰ τοῦ μετεωρισμοῦ καὶ τοῦ κόρου.

Δ'. Καὶ εἶπε πάλιν ὁ ἅγιος, πρὸ τοῦ παύσωνται τῆς ἀσθενείας αἱ αἰσθήσεις, ἐὰν ὁ νοῦς βουληθῇ ἐπιβῆναι τῷ σταυρῷ, ἡ ὀργὴ τοῦ Θεοῦ ἔρχεται ἐπ' αὐτόν, ὅτι ἤρξατο πράγματος ὑπὲρ τὸ μέτρον αὐτοῦ, μὴ ἐασάμενος πρότερον τὰς αἰσθήσεις αὐτοῦ[2]. Ἐὰν ἡ καρδία σου ῥέμβηται, καὶ οὐκ οἶδας ἄγξαι αὐτήν, ἡ πρᾶξίς σού ἐστιν ἡ—θέλοντός σου καὶ μὴ θέλοντος—ἕλκουσα αὐτὴν εἰς τὸ ῥέμβεσθαι, ὅπερ ἐστὶ παρὰ φύσιν τοῦ Ἀδάμ. Ἐὰν ἡ καρδία σου [3] φύσει τὴν ἁμαρτίαν ἐμίσησε, καὶ ἀπέστησεν αὐτὴν ἐκ τῶν τικτόντων αὐτήν, καὶ ἔθου τὴν κόλασιν ἐνώπιόν σου ἐν γνώσει, καὶ ἀπηλλοτριώθης τῶν ἑλκόντων σε εἰς αὐτήν, καὶ ἐδεήθης ἐν γνώσει τοῦ ποιητοῦ σου τοῦ συμπαραμεῖναί σοι ἐν μηδενὶ λυπῶν αὐτόν, ἀλλὰ κλαίων ἐνώπιον αὐτοῦ καὶ λέγων: Σόν ἐστι τὸ ἔλεος λυτρώσασθαί με, ἀδυνάτως γὰρ ἔχω τὰς χεῖρας αὐτῶν ἐκφυγεῖν, ἐκτὸς τῆς σῆς βοηθείας, προσέχων καὶ τῇ καρδίᾳ σου μὴ λυπῆσαι τὸν διδάσκοντά σε κατὰ Θεόν· τοῦτο κατὰ φύσιν ἐστὶ τοῦ Ἰησοῦ· Ἐὰν γὰρ πάντα ποιήσῃ ὁ ἄνθρωπος[4], ὑπακοὴν δὲ καὶ ταπείνωσιν, καὶ ὑπομονὴν μὴ κτήσηται, ἐκκλίνει εἰς

---

1) Μᾶλλον εὐχαριστοῦσι.

2) Ἐν τῷ λατιν. Si sensibus tuis vis perfecte mederi, Christi Crucem amplectere; in ea enim veram omnium aegritudinum medicinam invenies, ἐὰν θέλῃς νὰ θεραπεύσῃς τελείως τὰς αἰσθήσεις σου περιβαλοῦ τὸν Σταυρὸν τοῦ Χριστοῦ, διότι ἐν αὐτῷ ἀληθῆ θεραπείαν πάσης νόσου θὰ εὕρῃς.

3) Φιλοκαλ. τόμ. α.' σ. 20 κεφ. στ'.

4) Κλῖμαξ Ἰωάν. σχολ. ι'. τοῦ κστ'. λόγου. Πατρολογ. 88 σελ. 1093.

τὸ παρὰ φύσιν. Ἀλλ' ὅλην ἐκδῷ τὴν ἑαυτοῦ καρδίαν εἰς τὸ ἐπακοῦσαι τῷ Θεῷ, δεόμενος αὐτοῦ ἐν ἀληθείᾳ καὶ λέγων, Κύριε, ἐνώπιόν σου εἰμί, ἀξίωσόν με τοῦ θελήματός σου, ὅτι οὐ γινώσκω τὸ συμφέρον μου, Σὺ πολέμησον ὅτι οὐκ οἶδα τὴν κακίαν αὐτῶν, καὶ ἐὰν ἐργάζῃ τὸ κατὰ φύσιν τοῦ Ἰησοῦ, οὐκ ἐᾷ σε πλανηθῆναι ἔν τινι· Ἐὰν δὲ μίαν ἐντολὴν ποιήσῃς, οὐκ ἐξέδωκας ἑαυτὸν τοῦ ὑπακοῦσαι αὐτοῦ, οὐδὲ φροντίζει σου. Ὥσπερ γὰρ χωρίον οὐ δύναται ἀντιλέξαι τῷ ἐργαζομένῳ εἰς τὸ καθαρίσαι αὐτὸ ἀπὸ τῶν ζιζανίων καὶ σπείρει ἐν αὐτῷ κατὰ φύσιν σπέρμα, οὐ δύναται τὰ φυσικὰ φυῆναι μετὰ τῶν παρὰ φύσιν, συμπνίγονται γὰρ ὑπ' αὐτῶν, ἐπειδὴ ἀχρωμότερα αὐτῶν εἰσι τὰ ζιζάνια, οὕτως, ἐὰν μὴ καθαρίσῃς ἑαυτὸν ἀπὸ τῶν σαρκικῶν θελημάτων, οὐ δύνασαι ἑαυτὸν τηρῆσαι ἀπὸ τῆς ἁμαρτίας, ἐὰν μὴ πρῶτον φυλάξῃς ἑαυτὸν ἀπὸ τῶν γεννώντων αὐτήν.

Ε΄. Ἔστι δὲ ταῦτα ἡ μικροψυχία, ἥτις μήτηρ ἐστὶ κακὴ τῆς ἁμαρτίας, ἡ ἀκηδία τίκτει τὸ θέλημα, καὶ τὸ θέλημα καὶ ὁ πλατυσμὸς γεννῶσι καταφρόνησιν. Ἡ αὐθεντεῖν θέλουσα καρδία γεννᾷ τὸ ἀγαπῆσαι τὴν ὁμιλίαν τοῦ κόσμου, γεννᾷ τὸ ἐκζητῆσαι τὰ μὴ διαφέροντά σοι, γεννᾷ τὸ ἐκδοῦναι τὴν ἀκοὴν τῷ καταλαλοῦντι, γεννᾷ τὸ ἀκοῦσαι ῥήματα καὶ μεταδοῦναι αὐτὰ ἄλλῳ, γεννᾷ τὸ ἐκζητῆσαι τὰ τοῦ κόσμου, γεννᾷ τὸ διδάξαι μὴ ἐπερωτώμενον, γεννᾷ τὸ κεντῆσαι τῷ πλησίον, γεννᾷ καὶ ἄλλα πολλὰ κακά. Εἴ τις οὖν προέκοψεν ἢ θέλει προκόψαι, φυλαξάτω ἑαυτὸν ἐν γνώσει ἐκ τῶν τικτόντων τὰς ἁμαρτίας, καὶ ἀφ' ἑαυτῶν ἀσθενοῦσιν αἱ ἁμαρτίαι· ὁ οὖν ἀγωνιζόμενος βλέπει ταύτας καὶ τὴν πικρίαν αὐτῶν, ὁ δὲ καταφρονῶν ἑτοιμάζει ἑαυτῷ κόλασιν. Ὁ φοβούμενος ἀσθένειαν σώματος [1], οὐ φθάνει τὸ κατὰ φύσιν, εἰ δὲ καὶ προσπί-

---

1) Εὐεργ. βιβλ. β΄. ὑπόθ. ιδ΄. σελ. 48. Τὰ δὲ ἐν τῇ 50ῇ σ. τοῦ Εὐεργ. (βιβλ. γ΄.) ἀποδιδόμενα τῷ ἀββᾷ Ἡσαΐᾳ εὑρίσκονται καὶ παρὰ Μάρκῳ τῷ ἀσκητῇ· «ὥσπερ λύκῳ πρόβατον» (περὶ τῶν οἰομένων ἐξ ἔργων τελειοῦσθαι, κεφ. σιζ΄.) «οὐδεὶς δύναται πόνον καὶ λύπην» (κεφ. σιη΄.), «φόβος Θεοῦ καὶ ἔλεγχος» (κεφ. σιθ΄.) Φιλοκαλ. τόμ. α΄. σελ. 72. Πατρολ. τόμ. 66 σελ. «Νεότητος σάρκες πιαινόμεναι διαφόροις βρώμασι» (Πρὸς Νικόλ. μονάζοντα» Φιλοκαλ. σελ. 77—78. Πατρολ. τόμ. 65, σελ· 961 1040).

πτει τῷ Θεῷ ἐν παντὶ κόπῳ αὐτοῦ, δυνατός ἐστιν ὁ Θεὸς ἀναπαῦσαι αὐτόν. Εἰ μὴ γὰρ Γεδεὼν ἔθλασε τὰς ὑδρίας οὐκ ἂν εἶδε τὸ φῶς τῶν λαμπάδων (Κριτ. ζ΄. 19), οὕτως, εἰ μὴ ὁ ἄνθρωπος καταφρονήσει τοῦ σώματος, οὐκ ἂν ἴδοι τὸ φῶς τῆς θεότητος. Καὶ γὰρ Ἰαήλ, γυνὴ Χαβὲρ τοῦ Κιναίου, εἰ μὴ τὸν πάσσαλον τῆς σκηνῆς ἐξέσπασεν, οὐκ ἂν καθεῖλε τὸν Σισάρα, τὴν ὑπερηφανίαν (Κριτ. δ΄. 21). Λοιπὸν ἐὰν ὁ νοῦς ἐνδυναμωθῇ καὶ ἑτοιμάσῃ ἑαυτὸν ἐξακολουθῆσαι τῇ ἀγάπῃ τῇ σβεννυούσῃ πάντα τὰ πάθη τῆς σαρκὸς καὶ τοῦ σώματος, ὅτι «μακροθυμεῖ καὶ χρηστεύεται» (Α΄. Κορινθ. ιγ΄. 4), μισεῖ τὸ ζῆλος καὶ τὴν ὑπερηφανίαν, καὶ λογίζεται κατὰ φύσιν ἐν τῇ καρδίᾳ, καὶ οὐκ ἐᾷ τι τῶν παρὰ φύσιν καταδυναστεῦσαι τοῦ νοὸς καὶ ἐν τῇ αὐτοῦ δυνάμει ἀνθίσταται ὁ νοῦς τῇ παραφύσει, ἕως οὗ συγχωρήσῃ αὐτὴν ἐκ τῶν κατὰ φύσιν. Ἐὰν δὲ ἀληθινὸς νοῦς κατακυριεύσῃ, γίνεται κεφαλὴ τῆς ψυχῆς, τοῦ μὴ προσδέξασθαί τι τῶν κατὰ φύσιν, διηγεῖται γὰρ αὐτῇ πάντα τὰ ἀδικήματα, ἃ ἐποίησεν αὐτῇ τὰ παρὰ φύσιν ὅλῳ τῷ καιρῷ, ᾧ ἦν μεμιγμένη τοῖς φυσικοῖς.

ΣΤ΄. Ὁ Δεσπότης ἡμῶν Ἰησοῦς, ὅτε ἐποίησεν ἔλεος μετὰ τῶν ἁγίων αὐτοῦ, διεχώρισεν ἐν τῷ σταυρῷ τοὺς λῃστάς· σταυρωθέντων γὰρ τῶν δύο, αὐτὸς ἦν ἐν μέσῳ αὐτῶν, καὶ ὁ μὲν ἐξ εὐωνύμων ἐταράσσετο, εἰδώς, ὅτι κατήργηται ἡ μιαρὰ αὐτοῦ φιλία, εἶδε πρὸς τὸν ἐκ δεξιῶν, ὁ δὲ ἐκ δεξιῶν προσεῖχεν εἰς τὸν Ἰησοῦν ἐν ταπεινώσει καὶ φόβῳ, λέγων : «Μνήσθητί μου ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου» (Λουκ. κγ΄. 42). Λοιπὸν δῆλόν ἐστιν, ὅτι οὐκέτι φίλοι εἰσίν, οὐδὲ δύναται ὁ ἐξ ἀριστερῶν πεῖσαι αὐτὸν ἐν ταῖς πονηραῖς αὐτοῦ μεθοδείαις· οἱ δὲ μήπω τὴν ὁδὸν ταύτην φθάσαντες, πίπτουσι καὶ ἐγείρονται μετ᾽ αὐτῶν, ἕως γένηται τὸ ἔλεος. Φροντίς ἐστι λοιπὸν εἰς τὸ κατανοῆσαι ἐν φόβῳ καὶ ταπεινοφροσύνῃ, ὡς ὁ ἐκ δεξιῶν, ἡ γὰρ ταπεινοφροσύνη δίδωσι τοῦ φέρειν ἐξουδένωσιν· Ὅταν οὖν τις χωρίσῃ ἑαυτὸν [1] ἀπὸ τοῦ

1) Φιλοκαλία, τόμ. α΄. σελ. 19 κεφ. ιζ΄. Νικηφόρου μονάζοντος (1340) «περὶ Νήψεως καὶ φυλακῆς καρδίας» (Φιλοκαλ. τόμ. β΄. σελ. 239). Τὸ χωρίον εἶνε ἀναντapόδοτον, ἂν μή τις θεωρήσῃ τὸ κατωτέρω οἱ φθάσαντες εἰς κατὰ μεταβολὴν ἀριθμοῦ ὡς ἐπανάληψιν τοῦ προηγηθέντος.

ἀριστεροῦ καὶ γνῷ ἀκριβῶς πάντα τὰ ἁμαρτήματα, ἃ ἐποίησεν εἰς τὸν Θεόν, ἐπειδὴ οὐ βλέπει τὰς ἁμαρτίας, ἐὰν μὴ χωρισθῇ ἀπ' αὐτῶν, χωρισμῷ πικρίας, οἱ φθάσαντες εἰς τοῦτο τὸ μέτρον, αὐτοὶ εὗρον τὸν κλαυθμόν, καὶ τὴν δέησιν, καὶ τὸ αἰσχύνεσθαι ἐνώπιον τοῦ Θεοῦ, μνημονεύοντες τῆς πονηρᾶς φιλίας τῶν παθῶν· Δυνατὸς δέ ἐστιν ὁ Θεὸς ἐνδυναμῶσαι τοὺς κρυπτῶς ἐργαζομένους ἐν ταπεινοφροσύνῃ, ὅτι Αὐτοῦ ἐστιν ἡ τιμή, καὶ ἡ δόξα, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

# ΤΟΥ ΑΥΤΟΥ

## ΠΕΡΙ ΑΜΝΗΣΙΚΑΚΙΑΣ.

### *Λόγος ιη'.*

Α'. Ὁ ἁγιώτατος ἀπόστολος ἐνετείλατο τοῖς τέκνοις αὐτοῦ λέγων: «Ὁ Κύριος ἐγγύς· μηδὲν μεριμνᾶτε, ἀλλ' ἐν παντὶ τῇ προσευχῇ καὶ τῇ δεήσει μετ' εὐχαριστίας τὰ αἰτήματα ὑμῶν γνωριζέσθω πρὸς τὸν Θεόν· καὶ ἡ εἰρήνη τοῦ Θεοῦ βραβευέτω ἐν ταῖς καρδίαις ὑμῶν» (Φιλιπ. δ'. 5-7). Καὶ ἐν τῷ κατὰ Μᾶρκον Εὐαγγελίῳ, λέγει τοῖς μαθηταῖς ὁ Κύριος[1], ὅτι ἀφίετε τὰ παραπτώματα πάντα τοῖς ὀφειλέταις ὑμῶν, ὅπως καὶ ὑμῖν ἀφήσῃ ὁ Πατὴρ ὑμῶν (Μάρκ. ια'. 26 καὶ Ματθ. στ'. 14). Φοβερὸν τὸ ῥῆμα τοῦ Κυρίου, ὅτι ἐὰν μὴ ἴδῃς τὴν καρδίαν σου καθαρὰν πρὸς πάντας, μηδὲν αἰτήσῃς παρὰ τοῦ Θεοῦ, ὕβριν γὰρ αὐτῷ προσάγεις, ὅτι ἁμαρτωλὸς ὢν καὶ ἔχων λύπην κατὰ τοῦ ὁμοίου σου ἀνθρώπου, λέγεις τῷ ἐξερευνῶντι καρδίας, ὅτι ἄφες μοι τὰς ἁμαρτίας μου. Ὁ τοιοῦτος οὐκ εὔχεται τῷ νοΐ, ἀλλὰ τοῖς χείλεσιν ἐν ἀγνοίᾳ· ὁ γὰρ θέλων ἐν ἀληθείᾳ τῷ νοῒ εὔχεσθαι τῷ Θεῷ, ἐν Πνεύματι ἁγίῳ καὶ καρδίᾳ καθαρᾷ, ἐξερευνᾷ τὴν καρδίαν αὐτοῦ, πρὶν ἢ εὔξηται εἰ ἀμέριμνός ἐστιν ἀπὸ παντὸς ἀνθρώπου ἢ οὔ, καὶ εἰμή, ἑαυτὸν ἀπατᾷ, οὐ γάρ ἐστιν ὁ ἀκούων αὐτοῦ, ἐπειδὴ ὁ νοῦς σου οὐκ εὔχεται, ἀλλὰ συνήθειά ἐστι τῶν ὡρῶν τοῦ κανόνος. Ὁ δὲ θέλων ἐργάζεσθαι καθαρῶς διερευνήσει πρῶτον τὸν νοῦν αὐτοῦ τί ἔχει, ἵνα, ἐὰν λέγῃς ἐλέησόν με, καὶ σὺ ἐλεήσῃς τὸν παρακαλοῦντά σε, καὶ ἐὰν λέγῃς συγχώρησόν μοι καὶ σὺ ὁ ταλαίπωρος συγχωρήσῃς. Εἰ δὲ λέγεις, μὴ μνησθῇς τῶν παραπτωμάτων μου,

1) Εὐεργ. βιβλ. δ'. ὑπόθεσ. ιδ'. σελ. 62.

μηδὲ σὺ ἀρνηθῇς τῶν παραπτωμάτων τοῦ πλησίον σου· καὶ ἐὰν λέγῃς, μὴ μνησθῇς τῶν κακῶν ὧν ἐποίησα, εἴτε ἑκὼν εἴτε βιασθείς, εἰ γὰρ ἔστι βία οὐκ ὀφείλεις οὔτε σὺ λογίσασθαί τι κατά τινος ἀνθρώπου. Εἰ μὴ ἔφθασας ταῦτα ποιῆσαι εἰς μάτην εὔχῃ, ὁ γὰρ Θεὸς οὐκ εἰσακούει σου, κατὰ πάσας τὰς Γραφάς· συγχώρησόν μοι. Εἶπε πάλιν ἐν τῇ προσευχῇ, ἐν τῷ κατὰ Ματθαῖον (στ'. 12) «Καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν», καὶ ἐν τῷ κατὰ Λουκᾶν [1], ὅτι «ἐὰν ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, ἀφήσει καὶ ὁ Πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς».

Β'. Ὅλην τὴν ἀγάπην δέδωκά σοι, ἵνα, ὃ θέλεις παρὰ τοῦ Θεοῦ γενέσθαι σοι, τοῦτο πρῶτος ποιήσῃς, καὶ τότε ἐλευθερωθήσῃ κατὰ τὸ μέτρον, ὃ φθάσας ἐποίησας μετὰ τῶν ἀνθρώπων· εἰ γὰρ ἐκαθάρισας τὴν καρδίαν σου εἰς πᾶσαν τὴν κτίσιν τοῦ μὴ μνησικακεῖν τινι, τηρεῖν ὀφείλεις· ὁ γὰρ Θεὸς ἀκρίβειά ἐστι, καὶ οὐ λόγοι μόνον γλώσσης· Πᾶς ἄνθρωπος ἑαυτὸν δεσμεῖ εἰς γέενναν, καὶ ἑαυτὸν λύει, οὐδὲν γὰρ σκληρότερον θελήματος, εἴτε πρὸς θάνατον ῥέψει, εἴτε πρὸς ζωήν [2]. Μακάριοι οὖν εἰσιν, οἵτινες ἠγάπησαν τὴν ζωὴν τὴν αἰώνιον, ὅτι οὐ προσκόπτουσιν. Ἀγὼν λοιπόν ἐστιν ἐν κόπῳ καὶ ἐν ἱδρῶτι κρυπτῶς [3] τῆς καρδίας, πρὸς τὸν καταπονοῦντά σε λογισμόν, τοῦ μὴ ἐᾶσαι βέλος αὐτοῦ τρῶσαι τὴν καρδίαν σου, καὶ ἔσται σοι κόπος ἰάσασθαι αὐτήν, εἰ μὴ ἄρα τὰς ἁμαρτίας σου σχῇς παρεστώσας ἐνώπιόν σου διὰ παντός· Καὶ ἐὰν ἀκούσῃς τι γεγενῆσθαί σοι κακὸν [4] παρά τινος, ἵνα ἀντιστήσῃς τὸ θέλημά σου τὸ καλὸν τοῦ μὴ ἀνταποδοῦναι ἐν τῇ καρδίᾳ σου [5], ἢ μέμψασθαι, ἢ κρῖναι αὐτόν, ἢ καταλαλῆσαι, ἢ παραδοῦναι αὐτὸν ἐν στόματι ἄλλων, καὶ λογίσῃ μετὰ ταῦτα, ὅτι οὐδὲν κακόν ἐστι παρ' ἐμοί. Εἰ δέ ἐστιν ἐν σοὶ ὁ φόβος τῆς γεέννης, καὶ κατακυριεύσει τῶν κακῶν τῶν βουλομένων

---

1) Γράφ, Ματθ· στ'. 14.
2) Ἐν τοῖς ἀνωτέρω ὑπάρχουσι παραλλαγαί τινες ἐν τῷ λατιν.
3) Ἴσως, κρυπτῷ.
4) Εὐεργ. βιβλ. β'. ὑπόθ. λζ'. σελ 115.
5) Τὰ ἑπόμενα μέχρι τέλους τῆς περιόδου ἐλλείπουσιν ἐν τῷ Λατιν.

σοι ἀντιδοῦναι τῷ πλησίον, λέγων σοι, ὅτι ταλαίπωρε, εὔχῃ σὺ διὰ τὰς ἁμαρτίας σου, καὶ βαστάζει σε ὁ Θεὸς ἕως σήμερον, μὴ φανερῶν αὐτάς, σὺ δὲ τῷ πλησίον μηνίων, βάλλεις αὐτὸν εἰς τὰ στόματα τῶν ἀνθρώπων, ἐκδήλους ἢ καὶ ἀμεταθέτους ἔχων τὰς ἁμαρτίας, μηδεμιᾶς καταλαβούσης σε συγχωρήσεως, ἐὰν οὖν ἡ καρδία σου ἀπαλυνθῇ καὶ φυλάξῃς ἑαυτὸν ἀπὸ τῶν κακῶν, ἔσται σοι ἔλεος παρὰ τοῦ Θεοῦ, εἰ δὲ ἡ καρδία σου ἡ πονηρὰ σκληρυνθείη πρὸς τὸν πλησίον, οὔπω ἦλθέ σοι μνήμη ἐνώπιον τοῦ Θεοῦ. Συγχώρησόν μοι· ἐγὼ γάρ εἰμι πτωχὸς πάντῃ καὶ τεταπεινωμένος ταῖς ἁμαρτίαις, γράφων [1] δὲ ταῦτα καταισχύνω τὸ πρόσωπόν μου ἐν τῇ καρδίᾳ μου. Ἐὰν γὰρ μὴ φθάσῃ ὁ ἄνθρωπος εἰς τὸ κατὰ φύσιν τοῦ υἱοῦ τοῦ Θεοῦ, εἰς μάτην εἰσὶ πάντες οἱ κόποι αὐτοῦ· ὁ γὰρ γεωργός, σπείρων τὸν σπόρον αὐτοῦ, προσδοκᾷ πολυπλασίονα ποιῆσαι, ἐὰν δὲ ἀνεμόφθορος γένηται, λύπη ἐστὶν ἐν τῇ καρδίᾳ αὐτοῦ διὰ παντός, ἕνεκεν τῆς ζημίας τῶν σπερμάτων καὶ τῶν κόπων, ὧν ἐποίησε περὶ τὴν γῆν.

Γ΄. Πέτρος ὁ ἀπόστολος, σταυρωθεὶς ἐν Ῥώμῃ, παρεκάλεσεν ἑαυτὸν σταυρωθῆναι ἐπὶ κεφαλήν, δηλῶν διὰ τούτου τὸ μυστήριον τῆς παραφύσεως τῆς κατακυριευσάσης παντὸς ἀνθρώπου. Εἶπε γὰρ ὅτι χρεωστεῖ πᾶς ἄνθρωπος βαπτισθείς, σταυρῶσαι τὰς παραφύσεις τὰς πονηράς, τὰς καταλαβούσας τὸν Ἀδὰμ καὶ καταβαλούσας αὐτὸν ἐκ τῆς δόξης αὐτοῦ εἰς ὀνειδισμὸν πονηρόν, καὶ αἰσχύνην αἰώνιον. Δεῖ οὖν τῷ νοῒ ἀνδρείως ἀγωνίσασθαι καὶ μισῆσαι πάντα τὰ βλεπόμενα παρὰ παντὸς ἀνθρώπου, καὶ ἐχθρεῦσαι αὐτοῖς ἐν μίσει πικροτάτῳ ἕως τέλους. Ταῦτα γάρ εἰσι τὰ κεφάλαια τὰ κατακυριεύσαντα πάντων τῶν υἱῶν Ἀδάμ, τὸ κέρδος, ἡ τιμή, ἡ ἀνάπαυσις, τὸ καυχᾶσθαι εἰς ὃ καταλιμπάνεις, ὁ καλλωπισμὸς τοῦ σώματος, ἵνα ᾖ ἀσινὲς καὶ εὔμορφον καὶ τὸ ἐπιζητεῖν καλὸν ἱμάτιον· ταῦτα τρέφει τὴν ἡδονήν, ἣν ὁ δράκων ἔβαλεν εἰς τὸ στόμα τῆς Εὔας, ἐξ ὧν καὶ ἡμεῖς γινώσκομεν ὅτι υἱοί ἐσμεν τοῦ Ἀδάμ, ἐκ τῶν πονηρῶν λογισμῶν, οἳ ἐποίησαν ἡμᾶς ἐχθροὺς τοῦ Θεοῦ. Μακάριος οὖν ὁ σταυρωθείς, καὶ ἀποθα-

1) Περιέμενέ τις τό, θέλων, ἐκτὸς ἐὰν λέγηται ἐκ μέρους τοῦ γράφοντος.

νῶν, καὶ ταφεὶς τῆς γνώσεως τοῦ Θεοῦ[1]· καὶ τὰ ἅγια τοῦ Ἰησοῦ ἴχνη ἀκολουθῶν, ὅστις ἐγένετο ἄνθρωπος ὑπὲρ ἡμῶν, ἵνα γενώμεθα ὅμοιοι αὐτῷ διὰ τῆς ταπεινότητος καὶ πτωχείας καὶ τῆς ἀνοχῆς τῶν ὕβρεων καὶ τῆς ἀτιμίας καὶ ἵνα, οὐδόλως ταραττόμενοι ἐκ τοῦ σώματος, μήτε φοβούμενοι τὰς ἐνέδρας τοῦ κακοῦ, ἔχωμεν εἰρήνην μετὰ πάντων. Ὅστις ἀφαιρέσας τὰς κακίας ταύτας, ταῦτα ἀσπασθῇ, οὗτός ἐστι κατὰ Χριστὸν καὶ υἱὸς Θεοῦ καὶ ἀδελφὸς Ἰησοῦ. Δῴη δὲ ὁ Θεός, ἵνα πάντες ἡμεῖς ὦμεν ἐν τῷ ἀριθμῷ τῶν ἐκλεκτῶν αὐτοῦ καὶ τύχωμεν τῶν ἀγαθῶν καὶ αἰωνίων, ἐν τῷ Κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ, οὗ ἡ δόξα καὶ τὸ κράτος εἰς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

1) Τῆς γνώσεως τοῦ Θεοῦ, ἤτοι ἕνεκα τῆς γνώσεως. Ἐν τῷ Λατιν. Beatus qui cum Christo crucifixus est, et mortuus, et sepultus et resurrexit in novitate vitae. Ἐνταῦθα ὑπάρχει ἕτερον χάσμα ἐν τῷ ὑπ' ὄψιν ἡμῶν 109ῳ Πατρ. κώδ. καὶ ἐλλείπουσι τὰ ἐντεῦθεν μέχρι τοῦ «ἔστωσαν αἱ ὀσφύες ὑμῶν περιεζωσμέναι» τοῦ τελευταίου μέρους τοῦ ἑπομένου λόγου «περὶ νόσων ψυχῆς»· μὴ ὑπάρχοντος δὲ ἑτέρου Κώδικος ἐν τῇ βιβλιοθήκῃ τοῦ ἱεροῦ ἡμῶν Κοινοῦ πρὸς συμπλήρωσιν, παρελάβομεν τὰ ἐλλείποντα ἐκ τοῦ Λατινικοῦ κειμένου, ὧν τὴν μετάφρασιν πάνυ εὐγενῶς ἐποιήσατο ὁ ἐλλογιμώτατος κ. Ἰωάν. Φωκυλίδης, τέως καθηγητὴς τῆς Γαλλικῆς ἐν τῷ ἐνταῦθα Γυμνασίῳ τῶν Ἱεροσολύμων καὶ ἐν τῇ Θεολογικῇ Σχολῇ, καὶ ἄλλοτε τῆς Λατινικῆς ἐν τῇ Θεολογικῇ σχολῇ τοῦ Σταυροῦ, πρὸς ὃν δημοσίως ἐκφράζομεν τὴν εὐγνωμοσύνην ἡμῶν.

# ΤΟΥ ΑΥΤΟΥ

## ΠΕΡΙ ΤΩΝ ΝΟΣΩΝ ΤΗΣ ΨΥΧΗΣ.

### *Λόγος ιθ΄.*

Α΄. Ἀρεστὸν μοι, ἵνα κράξω μετὰ Ἡσαΐου τοῦ προφήτου: «Ἀνέξομαι ὡς ἡ τίκτουσα ἐκαρτέρησα· ἐκστήσω καὶ ξηρανῶ ἅμα» (Ἡσ. μβ΄. 13). Εἰ ἐπέγνως σεαυτόν, εἰ πηγὴ ρεῖ ἐν σοὶ Ἁγίου Πνεύματος, βέβαιον ὅτι οἱ ἐχθροί σου διασκορπισθήσονται καὶ ἀπολεσθήσονται. «Οὐδὲ ἐροῦσι», λέγει ὁ Σωτὴρ ἡμῶν, «ἰδοὺ ὧδε ἢ ἰδοὺ ἐκεῖ· ἰδοὺ γὰρ ἡ βασιλεία τοῦ Θεοῦ ἐντὸς ἡμῶν ἐστιν» (Λουκ. ιζ΄. 51). Εἰσί τινες[1], οἳ λέγουσιν ὅσα τῆς βασιλείας εἰσί, οὐ πράττουσιν ὅμως ταῦτα· εἰσὶ δὲ πάλιν οἱ πράττοντες αὐτά, ἀλλ᾿ ἧττον εἰδότως καὶ περιεσκεμμένως, ὀλιγίστων δὲ μεταξὺ αὐτῶν ἐστιν ἡ βασιλεία τοῦ Θεοῦ, ὡς λέγει ὁ Σωτήρ. Τούτοις δὲ ἔρχεται τὸ Ἅγιον Πνεῦμα καὶ ἐν τούτοις πληροῦται ὁ λόγος Ἰωάννου τοῦ εὐαγγελιστοῦ: «Ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι, τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα αὐτοῦ, οἳ οὐκ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήματος ἀνδρός, ἀλλ᾿ ἐκ Θεοῦ ἐγεννήθησαν» (Ἰωαν. α΄. 12—13). Οὗτοι ἀπηλλάγησαν τῆς θλίψεως, τῆς κα-

---

1) Εἰσὶ μὲν οὖν τινες λαλοῦντες τὰ τῆς βασιλείας, μὴ ἐργαζόμενοι δὲ αὐτὰ, καὶ εἰσὶν ἕτεροι ἐργαζόμενοι μὲν τὰ τῆς βασιλείας, ἀλλ᾿ οὐκ ἐν φυλακῇ, οὐδὲ ἐν γνώσει· ἐν οἷς δὲ γέγονεν ὁ λόγος τοῦ Σωτῆρος, τὸ «ἡ βασιλεία τῶν οὐρανῶν ἐντὸς ἡμῶν ἐστίν, ὀλίγοι εἰσὶ καὶ δυσεύρετοι, τούτοις ἐπεδήμησε τὸ Πνεῦμα τὸ Ἅγιον τοῦ Θεοῦ καὶ ὄντως ἐκ Θεοῦ ἐγεννήθησαν, κατὰ τὸν λόγον Ἰωάννου τοῦ Ἀποστόλου, καὶ τὴν εἰκόνα τοῦ χοϊκοῦ ἀποβαλόντες τὴν εἰκόνα τοῦ ἐπουρανίου [α], μεταμορφούμενοι ἀπὸ δόξης εἰς δόξαν, καὶ τὸν Χριστὸν ἐν ἑαυτοῖς κατοικοῦντα, διὰ τῆς πίστεως ἔχοντες· τούτων τὸ Πνεῦμα, καὶ ἡ ψυχή, καὶ τὸ σῶμα, ἀμέμπτως ἡνώθησαν διὰ τῆς ἐνεργείας τοῦ Πνεύματος, καὶ ἀνέγκλητοι καὶ ἀκατάγνωστοι ὑπὸ τῆς συνειδήσεως μένουσιν, τῆς εἰρήνης τοῦ Θεοῦ βραβευούσης ἐν ταῖς καρδίαις αὐτῶν, τούτους οὐκέτι οἱ ἐχθροὶ βλάψαι δύνανται. (Εὐερ. βιβλ. δ΄. ὑπόθεσ. κβ΄. σελ. 81).

α) Ἐλλείπει τὸ κατάλληλον ρῆμα.

ταλαβούσης τὴν Εὔαν: «Ἐν λύπαις τέξῃ τέκνα» (Γεν. γ'. 16). Οὗτοι ἀπηλλάγησαν τῆς πικρᾶς ἀποφάσεως, τῆς ἐπενεχθείσης τῷ Ἀδάμ: «Ἐπικατάρατος ἡ γῆ ἐν τοῖς ἔργοις σου» (αὐτόθ. 17). Οὗτοι δ' εἰσὶν οἱ λαμβάνοντες τὴν χάριν, ἣν ἔλαβεν ἡ Μαρία: «Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σέ, καὶ δύναμις τοῦ ὑψίστου ἐπισκιάσει σε» (Λουκ. α'. 35). Διότι, καθ' ὃν τρόπον θλῖψις κατέλαβε τὴν Εὔαν καὶ τὸ σπέρμα αὐτῆς μέχρι τῆς σήμερον ἡμέρας, οὕτω χαρὰ κατέλαβε τὴν Μαρίαν καὶ πάντας τοὺς ἀγαθοὺς χριστιανοὺς εἰς τὸ διηνεκές. Οὕτω λοιπὸν ἐσμὲν ἤδη υἱοὶ τῆς Εὔας καὶ τὴν ἀρὰν αὐτῆς ἐφ' ἡμᾶς διὰ τοὺς κακοὺς ἡμῶν διαλογισμοὺς ἐγινώσκομεν· οὕτω δὲ ὀφείλομεν ἐννοεῖν, ὅτι ἐσμὲν υἱοὶ τοῦ Θεοῦ διὰ τοὺς ἀγαθοὺς τοῦ Ἁγίου Πνεύματος διαλογισμοὺς καὶ τοῦ Χριστοῦ τὰ πάθη, ἐὰν πράγματί εἰσιν ἐν τῷ ἡμετέρῳ σώματι. Διότι οὕτως ἐγράφη παρὰ τοῦ ἀποστόλου: «Ἑαυτοὺς πειράζετε.... ἢ οὐκ ἐπιγινώσκετε ἑαυτοὺς ὅτι Ἰησοῦς Χριστὸς ἐν ὑμῖν ἐστιν; εἰ μή τι ἀδόκιμοί ἐστε» (Β'. Κορινθ. ιγ'. 5). Διότι ὅτε «ἐφορέσαμεν τὴν εἰκόνα τοῦ χοϊκοῦ» (Α'. Κορινθ. ιε'. 49), ἔγνωμεν ὅτι ἐσμὲν υἱοὶ αὐτῆς ἐξ αἰσχρᾶς ὕλης διαλογισμῶν, οἰκούντων ἐν ἡμῖν, οἵτινές εἰσιν ἀσθένειαι τῆς ψυχῆς· Οἱ δὲ φέροντες «τὴν εἰκόνα τοῦ ἐπουρανίου», γινώσκουσιν ὅτι εἰσὶν υἱοὶ τοῦ Θεοῦ διὰ τοῦ ἐν αὐτοῖς οἰκοῦντος Ἁγίου Πνεύματος. Διότι ὁ Ἡσαΐας κράζει: «Διὰ τὸν φόβον σου, Κύριε, ἐν γαστρὶ ἐλάβομεν, καὶ ὠδινήσαμεν, καὶ ἐτέκομεν· πνεῦμα σωτηρίας σου ἐποιήσαμεν ἐπὶ τῆς γῆς» (Ἡσ. κστ'. 17—18)· Πάλιν δὲ ἐν τῷ Ἐκκλησιαστῇ γέγραπται: «Ὡς ὀστᾶ ἐν γαστρὶ κυοφορούσης· οὕτως οὐ γνώσῃ τὰ ποιήματα τοῦ Θεοῦ» (Ἐκκλ. ια' 5). Διότι ὡς ἡ ἁγία Παρθένος ἐβάστασε τὸν υἱὸν τοῦ Θεοῦ ἐν σαρκί, οὕτως οἱ λαμβάνοντες τὴν χάριν τοῦ Ἁγίου Πνεύματος, συλλαμβάνουσι καὶ βαστάζουσιν ἐκεῖνον ἐν τῇ καρδίᾳ αὐτῶν, ὡς ὁ ἀπόστολος λέγει: «Ἵνα δῴη ὑμῖν κατὰ τὸν πλοῦτον τῆς δόξης αὐτοῦ δυνάμει κραταιωθῆναι διὰ τοῦ Πνεύματος αὐτοῦ εἰς τὸν ἔσω ἄνθρωπον, κατοικῆσαι τὸν Χριστὸν διὰ τῆς πίστεως ἐν ταῖς καρδίαις ἡμῶν, ἐν ἀγάπῃ ἐρριζωμένοι καὶ τεθεμελιωμένοι, ἵνα ἐξισχύσητε καταλαβέσθαι σὺν πᾶσι τοῖς ἁγίοις» (Ἐφεσ. γ'. 16-18), καὶ πάλιν: «Ἔχομεν, λέγει, τὸν

θησαυρὸν τοῦτον ἐν ὀστρακίνοις σκεύεσιν, ἵνα ἡ ὑπερβολὴ τῆς δυνάμεως ᾖ τοῦ Θεοῦ καὶ μὴ ἐξ ἡμῶν» (Β'. Κορινθ. δ'. 7).

Β'. Εἰ λοιπὸν ἀφίκου ἐνταῦθα, ὥστε τῇ αὐτῇ εἰκόνι ἀπὸ δόξης εἰς δόξαν μεταποιηθῆναί σε καὶ πληρωθῆναι ἐν σοὶ τὸ τοῦ ἀποστόλου: «Καὶ ἡ εἰρήνη τοῦ Θεοῦ βραβευέτω ἐν ταῖς καρδίαις ἡμῶν» (Κολασ. γ'. 15), καί: «Εἴπερ Πνεῦμα Θεοῦ οἰκεῖ ἐν ὑμῖν» (Ρωμ. η'. 10), καὶ ἐπειδὴ «ἐκ σκότους φῶς ἔλαμψεν ἐν ταῖς καρδίαις ἡμῶν πρὸς φωτισμὸν τῆς γνώσεως τῆς δόξης τοῦ Θεοῦ» (Β'. Κορινθ. δ'. 6)· καὶ εἰ ἐτελέσθη ἐν σοὶ τοῦτο [1] «ἔστωσαν αἱ ὀσφύες ὑμῶν περιεζωσμέναι καὶ οἱ λύχνοι καιόμενοι· καὶ ἔσεσθε ὡς δοῦλοι προσδεχόμενοι τὸν Κύριον αὐτῶν πότε ἀναλύσει ἐκ τῶν γάμων» (Λουκ. ιβ'. 35—36), ἵνα μὴ φραγῇ τὸ στόμα σου, μὴ ἔχον ἀπολογίαν ἀναμέσον τῶν ἁγίων· Καὶ εἰ οἶδας ὅτι ἔχει ἔλαιον τὸ ἀγγεῖόν σου, ὡς αἱ φρόνιμοι παρθένοι (Ματθ. κε'. 4), ἵνα εἰσέλθῃς εἰς τὸν νυμφῶνα καὶ μὴ ἀφεθῇς ἔξω. καὶ εἰ ᾐσθήθης, ὅτι τὸ πνεῦμά σου καὶ ἡ ψυχή σου καὶ τὸ σῶμα ἡνώθησαν ἀμέμπτως, καὶ ἀνίστανται ἐν τῇ ἡμέρᾳ τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ ἄσπιλα καὶ εἰ ἀνέλεγχος καὶ ἀκατάγνωστος ἐγένου ὑπὸ τῆς συνειδήσεως· καὶ εἰ νήπιον ἐγένου κατὰ τὸν λόγον τοῦ Σωτῆρος, τὸν λέγοντα: «Ἄφετε τὰ παιδία ἔρχεσθαι πρός με, τῶν γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν» (Λουκ. ιη'. 16. Ματθ. ιθ'. 13), ἀληθῶς αὐτῷ γέγονας νύμφη, καὶ τὸ Πνεῦμα τὸ Ἅγιον αὐτοῦ ἐκληρονόμησέ σε, ἔτι ὄντος σου ἐν τῷ σώματι, εἰ δὲ μήγε λύπην καὶ στεναγμὸν προσδόκα πικρόν, διότι ἡ αἰσχύνη καὶ τὸ ὄνειδος προάξει σε ἐνώπιον τῶν ἁγίων. Τοῦτο δὲ γίνωσκε ὅτι ὥσπερ παρθένος ἀνισταμένη πρωΐας καθ' ἑκάστην, ἄλλης μερίμνης οὐχ ἅπτεται, πρὶν ἢ καλλωπίσῃ ἑαυτὴν τῷ νυμφίῳ ἑαυτῆς, ἐσοπτριζομένη πολλάκις μή ποτέ τις μῶμός ἐστιν ἐν τῷ προσώπῳ αὐτῆς καὶ οὐκ ἀρέσει τῷ νυμφίῳ αὐτῆς, οὕτω μέριμνα πολλή ἐστι τοῖς ἁγίοις νύκτα καὶ ἡμέραν, ἐρευνῆσαι τὴν πρᾶξιν αὐτῶν καὶ τὸν λογισμὸν καὶ μαθεῖν, εἴ εἰσιν ὑπὸ τὸν ζυγὸν τοῦ Θεοῦ καὶ τοῦ

---

1) Ἐντεῦθεν ἄρχεται πάλιν ὁ Ἱεροσολυμιτικὸς κῶδιξ.

Ἁγίου Πνεύματος ἢ οὔ. Λοιπὸν ἀγωνίζου, ἀδελφέ, ἐπιμελῶς, ἐν πόνῳ καρδίας καὶ σώματος, ἐν γνώσει, τοῦ κτήσασθαι τὴν αἰώνιον χαρὰν ἐκείνην, διότι σπάνιοί εἰσιν οἱ ἀξιωθέντες αὐτῆς, οἵτινες ἐκτήσαντο «τὴν μάχαιραν τοῦ Πνεύματος» (Ἐφεσ. στ'. 17), καὶ ἠλευθέρωσαν τὴν ψυχὴν αὐτῶν, καὶ τὰς αἰσθήσεις, «ἀπὸ παντὸς μολυσμοῦ» τῶν παθῶν, ὡς εἶπεν ὁ ἀπόστολος (Β. Κορινθ. ζ'. 1). Δυνατὸς δέ ἐστιν ὁ Θεὸς συναντιλαβέσθαι τῇ ἀσθενείᾳ ἡμῶν (Ρωμ. η'. 26). ἀξιωθῶμεν φθάσαι μετὰ τῶν ἁγίων αὐτοῦ. Ἀμήν.

# ΤΟΥ ΑΥΤΟΥ

## ΠΕΡΙ ΤΑΠΕΙΝΟΦΡΟΣΥΝΗΣ.

### *Λόγος κ'.*

Τί ἐστι ταπείνωσις; Ταπείνωσίς ἐστι, τὸ λογίσασθαι ἑαυτὸν ἁμαρτωλὸν εἶναι [1] καὶ μηδὲν καλὸν ποιεῖν ἐνώπιον τοῦ Θεοῦ. Τὸ δὲ ἔργον τῆς ταπεινώσεως τοῦτό ἐστιν, ἡ σιωπὴ καὶ τὸ μὴ μετρεῖν ἑαυτὸν ἔν τινι, καὶ τὸ μὴ φιλονεικῆσαι, καὶ ἡ ὑποταγή, καὶ τὸ βλέμμα χαμαὶ προσέχειν, καὶ τὸ ἔχειν πρὸ ὀφθαλμῶν τὸν θάνατον, τὸ φυλάξαι ἑαυτὸν ἀπὸ ψεύδους, καὶ τὸ μὴ ὁμιλῆσαι ἐν ματαιολογίαις, τὸ μὴ ἀντιλέγειν τῷ μείζονι, καὶ τὸ μὴ θέλειν στῆσαι τὸν λόγον αὐτοῦ, τὸ ὑποφέρειν ὕβριν, καὶ τὸ μισῆσαι τὴν ἀνάπαυσιν, τὸ βιάζεσθαι ἑαυτὸν ἐν κόπῳ, καὶ τὸ μὴ παροξύνειν τινά. Φρόντισον οὖν, ἀδελφέ, μετὰ ἀκριβείας τελέσαι ταῦτα, ἵνα μὴ γένηται ἡ ψυχή σου κατοικητήριον παντὸς πάθους, καὶ τελέσαι [2] τὸν βίον σου ἄκαρπον εἰς τοὺς αἰῶνας. Ἀμήν.

---

1) Ἰωάν. Δαμασκ. ἱερὰ παράλληλα, Πατρολ. τόμ. 96, σ. 370.
2) Ἀπαιτεῖται τὸ μὴ πρὸ τοῦ τελέσαι.

# ΤΟΥ ΑΥΤΟΥ

## ΠΕΡΙ ΜΕΤΑΝΟΙΑΣ.

### *Λόγος κα΄.*

Α΄. Ἐπηρωτήθη ὁ ἀββᾶς Ἡσαΐας, τί ἐστι μετάνοια, ἢ τί ἐστι φυγεῖν ἀπὸ τῆς ἁμαρτίας, καὶ ἀπεκρίθη λέγων. Ὁδοὶ δύο εἰσί, μία τῆς ζωῆς καὶ μία τοῦ θανάτου[1]. Ὁ πορευόμενος ἐν ταύτῃ οὐ περιπατεῖ ἐν τῇ ἑτέρᾳ, ὁ δὲ περιπατῶν εἰς τὰς δύο, οὔπω οὐδὲ εἰς μίαν ἐλογίσθη, οὐδὲ εἰς τὴν βασιλείαν, οὐδὲ εἰς τὴν κόλασιν· πλὴν ἐὰν τελευτήσῃ ὁ τοιοῦτος, τὸ κρῖμα τοῦ Θεοῦ ἐστι τοῦ καὶ τὸ ἔλεος ἔχοντος. Ὁ δὲ θέλων εἰς τὴν βασιλείαν εἰσελθεῖν, φυλάσσει τὰ ἔργα αὐτῆς· ἡ γὰρ βασιλεία[2] κατάργησίς ἐστι πάσης ἁμαρτίας. Σπείρουσι μὲν οἱ ἐχθροί, ἀλλ' οὐ βλαστάνουσιν οἱ λογισμοὶ αὐτῶν· Ἐὰν γὰρ φθάσῃ ὁ νοῦς θεωρῆσαι τὴν γλυκύτητα τῆς Θεότητος[3], οὐκέτι τὰ βέλη αὐτῶν εἰσέρχεται εἰς αὐτόν. Ἐνδεδυμένος γάρ ἐστι τὴν πανοπλίαν τῶν ἀρετῶν, ἥτις φυλάσσει αὐτόν καὶ φροντίζει αὐτοῦ καὶ οὐ συγχωρεῖ αὐτὸν ταράσσεσθαι, ἀλλὰ σχολάζει τῇ ἰδίᾳ θεωρίᾳ τοῦ γνῶναι καὶ διακρῖναι τὰς δύο ὁδούς, καὶ τὴν μὲν μίαν φεύγειν, τὴν δὲ ἑτέραν ἀγαπῆσαι. Εἴ τις οὖν ἐπέγνω τὴν δόξαν τοῦ Θεοῦ, αὐτὸς ἔγνω τὴν πικρίαν τοῦ ἐχθροῦ. Εἴτις ἔγνω τὴν βασιλείαν, αὐτὸς ἔγνω τὴν γέενναν, εἴτις ἔγνω τὴν ἀγάπην, αὐτὸς ἔγνω τί ἐστι τὸ μῖσος, εἴτις ἔγνω τὴν εἰς θυμὸν ἐπιθυμίαν, αὐτὸς ἔγνω τὸ μῖσος τὸ εἰς τὸν κόσμον, εἴτις ἔγνω τί ἐστιν ἡ ἁγνεία, αὐτὸς ἔγνω τὴν ἀκαθαρσίαν τῶν

1) Πρβλ. Διδαχὴν τῶν ιβ΄. ἀποστόλων, ὑπὸ Φιλοθ. Βρυεννίου, Κων]πολις 1883 σ. 3.
2) Ἤτοι τῶν οὐρανῶν.
3) Εὐεργετην. βιβλ. δ΄. ὑπόθεσ. κβ΄ σελ. 82.

δυσωδιῶν, εἴτις ἔγνω τὸν καρπὸν τῶν ἀρετῶν, αὐτὸς ἔγνω τί ἐστιν ὁ καρπὸς τῆς κακίας, ᾧ συγχαίρουσιν ἄγγελοι ἐπὶ τοῖς ἔργοις αὐτοῦ· οὗτος ἔγνω, ὅτι συνέχαιρον αὐτῷ οἱ δαίμονες, ὅτε ἔπραττε τὰ ἔργα αὐτῶν· ἐὰν γὰρ [1] μὴ φάγῃς ἀπ' αὐτῶν, οὐκ ἐπιγινώσκεις τὴν πικρίαν αὐτῶν. Πῶς ἐπιγινώσκει τις τὴν φιλαργυρίαν τί ἐστιν, ἐὰν μὴ ἀποτάξηται καὶ μείνῃ ἐν μεγάλῃ πτωχείᾳ διὰ τὸν Θεόν; Πῶς ἐπιγινώσκει τὴν πικρίαν τοῦ ζήλου, ἐὰν μὴ κτήσηται τὴν πρᾳότητα; Πῶς ἐπιγινώσκει τὴν ταραχὴν τῆς ὀργῆς, ἐὰν μὴ κτήσηται τὴν μακροθυμίαν ἑαυτῷ ἐν πᾶσι; Πῶς ἐπιγινώσκει τὴν ἀναίδειαν τῆς ὑπερηφανίας, ἐὰν μὴ κτήσηται τὴν πρᾳότητα τῆς ταπεινοφροσύνης; Πῶς ἐπιγινώσκει τὴν δυσωδίαν τῆς πονηρίας, ἐὰν μὴ γνῷ τὴν γλυκύτητα τῆς καθαρωτάτης ἁγνείας; Πῶς ἐπιγινώσκει τὴν αἰσχύνην τῆς καταλαλιᾶς, ἐὰν μὴ γνῷ τὰ ἑαυτοῦ ἐλαττώματα; Πῶς ἐπιγινώσκει τὴν ἀπαιδευσίαν τῆς γελωτοποιΐας, ἐὰν μὴ γνῷ τὸν κλαυθμὸν τὸν ἐπὶ ταῖς ἁμαρτίαις; Πῶς ἐπιγινώσκει τὴν ταραχὴν τῆς ἀκηδίας, ἐὰν μὴ κατασταθῶσιν αἱ αἰσθήσεις αὐτοῦ καὶ κατανοήσῃ τὸ φῶς τοῦ Θεοῦ; Τούτοις δὲ πᾶσι κεφαλή ἐστι μία, ἡ καλουμένη κακία τῆς ἔχθρας. Ταῖς δὲ ἀρεταῖς μία ἐστι μήτηρ, καλουμένη φόβος Θεοῦ, καί, τῷ κτωμένῳ αὐτὸν ἐν ἁγνείᾳ, τίκτει τὰς ἀρετάς, καὶ ἐκκόπτει τοὺς κλάδους τῆς κακίας, οὓς προεῖπον.

Β'. Κτῆσαι οὖν τοῦτον [2], ἀγαπητέ, σεαυτῷ ποιήσεις ὅλον τὸν χρόνον σου ἐν ἀναπαύσει· ὁ γὰρ φόβος τοῦ Θεοῦ μήτηρ ἐστὶ τῶν ἀρετῶν. Ἐν ὅσῳ δὲ οὐ παρῆλθέ τις ταῦτα, οὔπω ἔστι τῆς βασιλείας τῶν οὐρανῶν, ἀλλὰ ἀγωνίζεσθαι χρὴ κατὰ μικρὸν μικρόν, ἕως οὗ ἐκκόψειεν ἕκαστον τῶν προειρημένων παθῶν. Τοῦ δὲ μεριμνῶντος γνῶναι ἢ ἐργάζεται [3] ἢ οὔ, τοῦτό ἐστι τὸ σημεῖον, ἐν ὅσῳ πράττει ἡ ἀριστερὰ τὰς ἑαυτῆς ἐνεργείας, οὔπω ἀπέθανεν ἡ ἁμαρτία, οὐδὲ τῆς δεξιᾶς αἱ ἀρεταὶ εἰρηνεύουσιν μετ' αὐτοῦ: Γέγραπται γὰρ ὅτι: «Παριστάνετε ἑαυτοὺς δούλους εἰς ὑπακοήν,

---

1) «Ἐὰν γὰρ μὴ φάγῃς» κλ. μέχρι τέλους τῆς περιόδου δὲν ἀπαντᾷ ἐν τῷ Λατιν.
2) Ἤτοι, τὸν φόβον τοῦ Θεοῦ.
3) Ἴσως γραπτέον, εἰ.

δοῦλοί ἐστε ᾧ ὑπακούετε, ἤτοι ἁμαρτίας εἰς θάνατον ἢ ὑπακοῆς εἰς δικαιοσύνην» (Ρωμ. στ'. 16)· καὶ πάλιν: «Ἢ οὐκ ἐπιγινώσκετε ὅτι Ἰησοῦς Χριστὸς ἐν ὑμῖν ἐστιν; εἰ μή τι ἀδόκιμοί ἐστε» (Β'. Κορινθ. ιγ'. 5)· καὶ πάλιν Ἰάκωβος λέγει (α'. 26): «Εἴ τις δοκεῖ θρῆσκος εἶναι, μὴ χαλιναγωγῶν γλῶσσαν αὑτοῦ, τούτου ματαία ἡ θρησκεία». Ταῦτα πάντα διδάσκει ἡμᾶς τὸ Πνεῦμα τὸ Ἅγιον, δεικνύον ἡμῖν ἀποστῆναι ἀπὸ τῆς παραφύσεως καὶ φυλάξασθαι ἀπ' αὐτῆς· ἡ γὰρ μετάνοιά ἐστι τὸ ἀποστρέψαι ἀπὸ τῆς ἁμαρτίας, οὐ γάρ ἐστι μία ἁμαρτία, ἀλλ' ὅλος ὁ παλαιὸς ἄνθρωπος ἁμαρτία καλεῖται, διὰ τοῦτο λέγει ὁ ἀπόστολος: «Οὐκ οἴδατε ὅτι οἱ ἐν σταδίῳ τρέχοντες, πάντες μὲν τρέχουσιν, εἷς δὲ λαμβάνει τὸ βραβεῖον»; (Α'. Κορινθ. θ'. 24). Τίς οὖν ἐστιν, εἰ μὴ ὁ ἱστάμενος καὶ γενναίως πολεμῶν; εἶπε γὰρ πάλιν ὅτι: «Ὁ ἀγωνιζόμενος πάντα ἐγκρατεύεται» (αὐτόθ. 25). Φροντίσωμεν οὖν, ἀδελφοί, ἑαυτῶν· τίς οὖν ἐστιν ἡ φροντίς, εἰ μὴ παραρρῖψαι ἑαυτὸν ἐνώπιον τῆς ἀγαθότητος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ; καὶ δυνατός ἐστιν πρὸς αὐτοὺς[1] κόψαι τὰ ὁρμήματα αὐτῶν τὰ πονηρά, ἐπεὶ ὁ ἄνθρωπος σὰρξ καὶ αἷμά ἐστι.

Γ'. Πάλιν ἐπηρωτήθη, τί ἐστι τὸ ἡσυχάζειν ἐν τῷ κελλίῳ· καὶ ἀπεκρίθη λέγων. Τὸ ἡσυχάσαι ἐν τῷ κελλίῳ τὸ παραρρίπτεσθαι μὲν ἐνώπιον τοῦ Θεοῦ, καὶ ποιῆσαι τὴν δύναμιν αὐτοῦ ἀντιστῆναι παντὶ πονηρῷ λογισμῷ ὑπὸ[2] τοῦ ἐχθροῦ· τοῦτο γάρ ἐστι τὸ φυγεῖν ἀπὸ τοῦ κόσμου. Καὶ πάλιν ἐπηρωτήθη καὶ τί ἐστιν ὁ κόσμος; καὶ ἀπεκρίθη λέγων. Ὁ κόσμος ἐστὶν ὁ περισπασμὸς τῆς ἁμαρτίας· ὁ κόσμος ἐστὶ τὸ ἐργάζεσθαι τὰς παραφύσεις. Ὁ κόσμος ἐστὶ τὸ πληρῶσαι τὰ θελήματά σου τὰ κατὰ σάρκα· Ὁ κόσμος ἐστὶ τὸ λογίσασθαι ἑαυτὸν παραμένειν ἐν τῷ αἰῶνι τούτῳ. Ὁ κόσμος ἐστὶ τὸ φροντίσαι τοῦ σώματος ὑπὲρ τὴν ψυχήν. Ὁ κόσμος ἐστὶ τὸ καυχᾶσθαι, ἐν οἷς καταλιμπάνεις· οὐκ ἐξ ἐμαυτοῦ λέγω, ἀλλ' Ἰωάννης ὁ ἀπόστολός ἐστιν ὁ λέγων: «Μὴ ἀγαπᾶτε τὸν κόσμον, μηδὲ τὰ ἐν κόσμῳ. Ἐάν τις ἀγαπᾷ τὸν κόσμον,

2) Ἤτοι, τοὺς ἐχθροὺς ἡμῶν.
1) Ἡ «ὑπὸ» φαίνεται παρέλκουσα.

*

ἡ ἀγάπη τοῦ Πατρὸς οὐκ ἔστιν ἐν αὐτῷ· ὅτι πᾶν τὸ ἐν τῷ κόσμῳ, ἡ ἐπιθυμία τῆς σαρκὸς καὶ ἡ ἐπιθυμία τῶν ὀφθαλμῶν καὶ ἡ ἀλαζονεία τοῦ βίου, οὐκ ἔστιν ἐκ τοῦ Πατρός, ἀλλ' ἐκ τοῦ κόσμου παράγεται καὶ ἡ ἐπιθυμία αὐτοῦ· ὁ δὲ ποιῶν τὸ θέλημα αὐτοῦ μένει εἰς τὸν αἰῶνα» (Α'. Ἰωαν. β'. 15—17). «Τεκνία, μηδεὶς πλανάτω ὑμᾶς· ὁ ποιῶν τὴν δικαιοσύνην δίκαιός ἐστιν· ὁ δὲ ποιῶν τὴν ἁμαρτίαν ἐκ τοῦ διαβόλου ἐστίν, ὅτι ὁ διάβολος ἀπ' ἀρχῆς ἁμαρτάνει» (αὐτόθ. γ'. 7—8)· «ἡ γὰρ φιλία τοῦ κόσμου ἔχθρα εἰς Θεόν ἐστιν (Ἰακώβ. δ'. 4). Καὶ πάλιν Πέτρος ὁ ἀπόστολος, ποιῶν τὰ τέκνα αὐτοῦ ξένα ἀπὸ τῆς ἁμαρτίας τοῦ κόσμου, ἔλεγε: «Παρακαλῶ ὑμᾶς, ἀδελφοί, ὡς παροίκους καὶ παρεπιδήμους, ἀπέχεσθε τῶν σαρκικῶν ἐπιθυμιῶν, αἵτινες στρατεύονται κατὰ τῆς ψυχῆς» (Α'. Πετρ. β'. 11—12). Καὶ ὁ ἀγαπητὸς ἡμῶν γινώσκων Ἰησοῦς ὁ Δεσπότης, ὅτι κόπος ἐστὶν ὁ κόσμος τῆς ἁμαρτίας, ἕως οὗ καταλείψῃ αὐτὸν ὁ ἄνθρωπος, ἐνεδυνάμωσε τοὺς ἰδίους αὐτοῦ λέγων: «Ἔρχεται ὁ τοῦ κόσμου ἄρχων, καὶ ἐν ἐμοὶ εὑρίσκει οὐδὲν τῶν αὐτοῦ» (Ἰωάνν. ιδ'. 30). Καὶ πάλιν: «Ὁ κόσμος ἐν τῷ πονηρῷ κεῖται» (Α. Ἰωάν. ε'. 19). Εἶπε δὲ περὶ τῶν ἑαυτοῦ ὅτι ἔλαβεν αὐτοὺς «ἐκ τοῦ κόσμου» (Ἰωάν. ιε'. 19). Ἐκ ποίου κόσμου ἔλαβεν αὐτούς, εἰ μὴ ἀπὸ παντὸς περισπασμοῦ τῆς ἁμαρτίας; Ὅστις οὖν θέλει γενέσθαι μαθητὴς τοῦ Ἰησοῦ, φύγῃ[1] ἀπὸ τῶν παθῶν· εἰ μὴ γὰρ ἐκκόψει αὐτά, οὐ δύναται οἰκητήριον τοῦ Θεοῦ γενέσθαι, οὐδὲ ὁρᾷ τὴν γλυκύτητα τῆς θεότητος αὐτοῦ, ἐὰν μὴ ἀποστῇ ἀπ' αὐτῶν· αὐτὸς γὰρ εἶπεν: «Ὁ λύχνος τοῦ σώματός ἐστι ὁ ὀφθαλμός· ἐὰν οὖν ὁ ὀφθαλμός σου ἁπλοῦς ᾖ, ὅλον τὸ σῶμά σου φωτεινὸν ἔσται· ἐὰν δὲ ὁ ὀφθαλμός σου πονηρὸς ᾖ, ὅλον τὸ σῶμά σου σκοτεινὸν ἔσται» (Λουκ. ια'. 34—35). Σκόπει οὖν ὅτι, εἰ μὴ ὁ νοῦς ὑγιὴς γένηται ἀπὸ τῆς κακίας, οὐ δύναται κατανοῆσαι τὸ φῶς τῆς θεότητος· σκοτεινὸν γὰρ τεῖχος γίνεται ἡ κακία τῷ νοΐ, καὶ ἔρημον ποιεῖ τὴν ψυχήν, ὡς γέγραπται ἐν τῷ Εὐαγγελίῳ: «Οὐδεὶς λύχνον ἅψας ὑπὸ μόδιον τίθησιν, ἀλλ' ἐπὶ τὴν λυχνίαν

1) Εὐεργετην. βιβλ. δ'. ὑπόθεσ. κδ'. σελ. 96. Φύγῃ, μᾶλλον φεύγει.

ἵνα οἱ εἰσπορευόμενοι τὸ φῶς βλέπωσι» (Λουκ. ηʹ. 16). Λέγεται οὖν ὁ μόδιος ἡ ἀδικία τοῦ κόσμου τούτου· ὅσον οὖν ὁ νοῦς ἐν τῷ παρὰ φύσιν ἐστίν, οὐ δύναται ὁ λύχνος τῆς θεότητος εἶναι ἔνδοθεν αὐτοῦ. Ἐὰν δὲ γένηται ὁ νοῦς εἰς λυχνίαν ὑψηλήν, τότε ἐστὶν ἐπ᾿ αὐτῷ τὸ φῶς τῆς θεότητος καὶ γινώσκει τοὺς ἐν τῷ οἴκῳ, καί, ὃν ὀφείλει ἐκβαλεῖν, ἐκβάλλει, καί, ᾧ ὀφείλει εἰρηνεύειν, τοῦτον ἐᾷ. Διὰ τοῦτο ἐδίδασκεν οἷς ἐφωτίσθη ὁ νοῦς ἐν ταῖς ἐντολαῖς τῆς θεότητος αὐτοῦ λέγων : «Ὑμῖν λέγω τοῖς ἀκούουσιν· ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, καλῶς ποιεῖτε τοῖς μισοῦσιν ὑμᾶς, εὐλογεῖτε τοὺς καταρωμένους ὑμᾶς, προσεύχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς καὶ διωκόντων. Τῷ τύπτοντί σε ἐπὶ τὴν σιαγόνα πάρεχε καὶ τὴν ἄλλην· καί, ἀπὸ τοῦ αἴροντός σου τὸ ἱμάτιον καὶ τὸν χιτῶνα, μὴ κωλύσῃς· παντὶ τῷ αἰτοῦντί σε δίδου· καὶ ἀπὸ τοῦ αἴροντος τὰ σά, μὴ ἀπαίτει» (Λουκ. στʹ. 27—30).

Δʹ. Ταῦτα εἶπε τοῖς φυγοῦσιν ἀπὸ τοῦ κόσμου, ἐπειδὴ κατέλιπον πάντα τὰ τοῦ αἰῶνος τούτου, καὶ ἡτοίμασαν ἑαυτοὺς ἀκολουθῆσαι τῷ Σωτῆρι αὐτῶν, διὰ τοῦτο ἀγαπήσας αὐτοὺς ἐν ἀγάπῃ τελείᾳ, ἔλεγεν αὐτοῖς : «Ἐγείρεσθε, ἄγωμεν ἐντεῦθεν» (Ἰωάν. ιδʹ. 31)· Ποῦ οὖν αὐτοὺς λαμβάνει, ὅτε λέγει αὐτοῖς : «Ἐγείρεσθε, ἄγωμεν ἐντεῦθεν»; εἰ μὴ ὅτι λαμβάνει τὸν νοῦν αὐτῶν ἐκ τῆς ἐργασίας τοῦ αἰῶνος τούτου καὶ ἀναπαύει ἐν τῇ βασιλείᾳ αὐτοῦ. Διὰ τοῦτο ἐνδυναμῶν αὐτοὺς ἔλεγεν : «Ἐγώ εἰμι ἡ ἄμπελος, ὑμεῖς τὰ κλήματα, μείνατε ἐν ἐμοί, κἀγὼ ἐν ὑμῖν καὶ καθὼς τὸ κλῆμα οὐ δύναται καρπὸν φέρειν, ἐὰν μὴ μείνῃ ἐν τῇ ἀμπέλῳ, οὕτω καὶ ὑμεῖς, ἐὰν μὴ ἐν ἐμοὶ μείνητε» (αὐτ. ιεʹ. 5, 4). Ταῦτα λέγει τοῖς καταλείψασι τὸν κόσμον, ὅτι ἐστὶν ἐν αὐτοῖς πνεῦμα καὶ οἰκεῖ ἐν ταῖς καρδίαις αὐτῶν. «Οὐκ ἀφήσω γάρ, φησίν, ὑμᾶς ὀρφανούς, ἀλλ᾿ ἔρχομαι πρὸς ὑμᾶς» (αὐτ. ιδʹ. 18). Εἴ τις οὖν ἠγάπησε τὸν Θεὸν καὶ ἠθέλησεν αὐτὸν οἰκῆσαι ἐν αὐτῷ καὶ μὴ καταληφθῆναι ὀρφανός, φροντισάτω πρῶτον, ἃ ἐνετείλατο αὐτῷ ὁ Ἰησοῦς φυλάξαι, καὶ οἰκεῖ ἐν αὐτῷ, οὐ γάρ ἐστιν μακρὰν ἀφ᾿ ἡμῶν, οὐδὲ ἀνὰ μέσον ἡμῶν καὶ αὐτοῦ ἐστί τι, εἰ μὴ τὰ πάθη. Ἐὰν οὖν, ἀδελφέ, λέγῃς σεαυτὸν ἀποταξάμενον τῷ

κόσμῳ, καὶ εὑρεθῇς ἐργαζόμενος τὰ τοῦ κόσμου, οὐκ ἀπετάξω, ἀλλὰ σεαυτὸν ἀπατᾷς. Τοῖς γὰρ ἀποταξαμένοις τῷ κόσμῳ σημεῖον ἔδωκε τοῦτο, εἰπών: «Ὁ ἀγαπῶν τὴν ψυχὴν αὐτοῦ, ἀπολέσει αὐτήν, ὁ δὲ ἀπολέσας αὐτὴν ἕνεκεν ἐμοῦ, σώσει αὐτήν» (αὐτ. ιβ'. 25). Πῶς οὖν ἀπόλλυσιν αὐτήν, εἰ μὴ διὰ τοῦ ἐκκόψαι πάντα τὰ θελήματα αὐτῆς τὰ σαρκικά; Καὶ πάλιν: «Ὅστις οὐ βαστάζει τὸν σταυρὸν αὐτοῦ καὶ ἀκολουθεῖ ὀπίσω μου, οὐ δύναταί μου εἶναι μαθητής» (Λουκ. ιδ'. 27). Ποῖον οὖν σταυρὸν λέγει, ἵνα βαστάζωμεν, εἰ μή, ἵνα πάντοτε γρηγορήσῃ ὁ νοῦς καὶ σταθῇ ἐν ταῖς ἀρεταῖς τοῦ μὴ κατελθεῖν ἀπὸ τοῦ σταυροῦ, τουτέστιν [1] ἐγκράτεια ἀπὸ τῶν παθῶν, ἕως οὗ ἐκκόψει αὐτὰ καὶ ἀναστῇ ὁ νοῦς λοιπὸν ἀήττητος; Τοῖς δὲ ἐγερθεῖσιν ἐσημειώσατο λέγων: «Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ ὁ κόκκος τοῦ σίτου πεσὼν εἰς τὴν γῆν ἀποθάνῃ, αὐτὸς μόνος μένει· ἐὰν δὲ ἀποθάνῃ, πολὺν καρπὸν φέρει» (Ἰωάν. ιβ'. 24). Ἀναπαύων δὲ τοὺς κατὰ κόκκον ἀποθανόντας, φησίν: «Ὁ ἐμοὶ διακονῶν τιμηθήσεται ὑπὸ τοῦ Πατρός μου, ὅπου εἰμὶ ἐγὼ, ἐκεῖ καὶ ὁ διάκονος ὁ ἐμὸς ἔσται» (αὐτ. 26). Πῶς οὖν διακονοῦσι τῷ Ἰησοῦ, εἰ μὴ ὅτι ἐμίσησαν τὸν κόσμον τῶν παθῶν, ἐπιτελοῦντες τὰς ἐντολὰς αὐτοῦ; φυλάξαντες δὲ αὐτὰς ἐπαρρησιάσαντο μετ' αὐτοῦ λέγοντες: «Ἰδοὺ ἡμεῖς ἀφήκαμεν πάντα καὶ ἠκολουθήσαμέν σοι· τί ἄρα ἔσται ἡμῖν»; Καὶ ἔδειξεν αὐτοῖς τὸ τί ἔσται αὐτοῖς, λέγων: «Ὑμεῖς οἱ ἀκολουθήσαντές μοι ἐν τῇ παλιγγενεσίᾳ, ὅταν καθίσῃ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπὶ θρόνου δόξης αὐτοῦ, καθίσεσθε καὶ ὑμεῖς ἐπὶ δώδεκα θρόνους κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ· καὶ πᾶς ὅστις ἀφῆκεν ἀδελφούς, ἢ ἀδελφάς, ἢ πατέρα, ἢ μητέρα, ἢ γυναῖκα, ἢ ἀγρούς, ἢ οἰκίαν ἕνεκεν τοῦ ὀνόματός μου, πολυπλασίονα λήψεται καὶ ζωὴν αἰώνιον κληρονομήσει» (Ματθ. ιθ'. 27-30).

Ε'. Γινώσκων ὁ Δεσπότης ἡμῶν, ὁ ἀγαπητὸς Ἰησοῦς, ὅτι εἰ μὴ ἀμεριμνήσει ἄνθρωπος ἀπὸ πάντων, οὐ δύναται ὁ νοῦς αὐτοῦ ἀνελθεῖν ἐπὶ τὸν σταυρόν, ἐνετείλατο ἀφεῖναι πάντα, ὧν ἡ σχέσις καὶ ἡ ἀφορμὴ καταφέρει τὸν νοῦν ἀπὸ τοῦ σταυροῦ· διὸ φησὶ τῷ

---

1) Μᾶλλον, τοῦτο δ' ἔστιν, ἡ, ὅ ἐστιν.

ἐλθόντι πρὸς αὐτὸν καὶ εἰπόντι : «Ἀκολουθήσω σοί, Κύριε, πρῶτον δὲ ἐπίτρεψόν μοι, ἵνα ἀπελθὼν τυπώσω [1] τὰ ἐν τῷ οἴκῳ μου» (Λουκ. θ΄. 61), γνοὺς δὲ ὁ ἀγαπητὸς ἡμῶν Ἰησοῦς, ὅτι ἐὰν ἴδῃ αὐτά, πάλιν κλίνει ἡ καρδία αὐτοῦ εἰς αὐτά, καὶ αἱ ἀφορμαὶ αὐτῶν διὰ τοῦ δικαιώματος ἀπέχουσιν, ἐκώλυσεν αὐτὸν ἀπελθεῖν εἰπών : «Οὐδείς, φησίν, ἐπιβαλὼν τὴν χεῖρα αὐτοῦ ἐπ' ἄροτρον καὶ στραφεὶς εἰς τὰ ὀπίσω εὔθετός ἐστιν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν» (αὐτόθ. 62). Ὅτε δὲ ἐποίησε τὸ δεῖπνον τοῦ υἱοῦ αὐτοῦ, καὶ ἀπέστειλε τοὺς δούλους αὐτοῦ καλέσαι τοὺς κεκλημένους καὶ ἕνεκεν τῆς ἀγάπης ἕκαστος, ἧς εἶχεν ἐπὶ τὸν κόσμον, οὐκ ἠδυνήθησαν εἰσελθεῖν (Λουκ. ιδ΄. 16—21), καὶ εἶπε λυπούμενος : «Εἴ τις ἔρχεται πρός με καὶ οὐ μισεῖ τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα καὶ τὴν γυναῖκα καὶ τὰ τέκνα καὶ τοὺς ἀδελφοὺς καὶ τὰς ἀδελφάς, ἔτι δὲ καὶ τὴν ἑαυτοῦ ψυχήν, οὐ δύναταί μου εἶναι μαθητής» (αὐτοθ. 26). Ταῦτα λέγει διδάσκων ἡμᾶς, ὅτι ὁ θέλων εἰσελθεῖν εἰς τὴν βασιλείαν αὐτοῦ, εἰ μὴ πρότερον τάξει ἐν αὐτῷ μισῆσαι πάντα τὰ ἕλκοντα τὴν καρδίαν αὐτοῦ εἰς τὸν κόσμον, οὐ δύναται εἰσελθεῖν εἰς τὴν βασιλείαν, ἣν ἐπεθύμησε. Νουθετῶν δὲ ἡμᾶς μὴ πεποιθέναι ἐπὶ τῇ πίστει μόνῃ, μὴ οὔσης πράξεως, ἔφη, ὅτι: «Εἰσελθὼν δὲ ὁ βασιλεὺς θεάσασθαι τοὺς ἀνακειμένους, εἶδεν ἐκεῖ ἄνθρωπον οὐκ ἐνδεδυμένον ἔνδυμα γάμου καὶ ἐποίησεν αὐτὸν ριφῆναι εἰς τὸ σκότος τὸ ἐξώτερον (Ματθ. κβ΄. 11—14), εἰσέρχονται γὰρ διὰ τὸ χριστιανῶν ὄνομα, ἔξω δὲ ρίπτονται διὰ τὸ μὴ ἔχειν αὐτοὺς τὴν πρᾶξιν. Γινώσκων γὰρ ὁ ἀπόστολος, ὅτι οὐ δύναταί τις ἀγαπᾶν τὰ τοῦ Θεοῦ καὶ τὰ τοῦ κόσμου, ἔγραφε Τιμοθέῳ, τῷ υἱῷ αὐτοῦ, λέγων: «Οὐδεὶς στρατευόμενος ἐμπλέκεται ταῖς τοῦ βίου πραγματείαις, ἵνα τῷ στρατολογήσαντι ἀρέσῃ. Ἐὰν δὲ καὶ ἀθλῇ τις οὐ στεφανοῦται, ἐὰν μὴ νομίμως ἀθλήσῃ» (Β΄. Τιμοθ. β΄. 4). Ἐνδυναμῶν δὲ αὐτὸν ἐλπίζειν, ὅτι οὐκ ἀπόλλυνται οἱ κόποι αὐτοῦ, ἔλεγεν αὐτῷ : «Τὸν κοπιῶντα γεωργὸν δεῖ πρῶτον τῶν καρπῶν μεταλαμβάνειν» (αὐτ. 6). Γράφων δέ τισιν ἔλεγε πάλιν: «Ὁ ἀ-

1) Ἤτοι, διατάξω, διευθετήσω.

γαμος μεριμνᾷ τὰ τοῦ Κυρίου, ὁ δὲ γαμήσας, μεριμνᾷ τὰ τοῦ κόσμου» (Α'. Κορινθ. ζ' 32—33) φροντίζων[1], ἀκούσεται ὁ τοιοῦτος τῆς φωνῆς τῆς φοβερᾶς τῆς λεγούσης: «Ῥίψατε αὐτὸν εἰς τὸ σκότος τὸ ἐξώτερον, ὅπου ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων» (Ματθ. κε'. 30).

ΣΤ'. Ποιήσωμεν τὴν δύναμιν ἡμῶν, ἀδελφοί, ἐνδύσασθαι τὸ ἔνδυμα τῶν ἀρετῶν, ἵνα μὴ ριφῶμεν ἔξω, ἀπροσωποληψία γὰρ ἔσται ἐνώπιον αὐτοῦ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ· διὰ τοῦτο εἶπεν ὁ ἀπόστολος τοῖς τέκνοις αὐτοῦ: «Ὅτι οἱ τὰ τοιαῦτα πράσσοντες βασιλείαν Θεοῦ κληρονομῆσαι οὐ δύνανται» (Γαλάτ. ε'. 21). Εἰδὼς δὲ ὅτι οἱ ἀξιωθέντες ἐγερθῆναι ἐκ τῶν νεκρῶν παθῶν, οὐκέτι ἔχουσιν ἀντίδικον, ἀπέδειξεν αὐτοῖς τὸν καρπὸν τοῦ πνεύματος ὅς ἐστιν: «Ἀγάπη, χαρά, εἰρήνη, μακροθυμία, χρηστότης, ἀγαθωσύνη, πίστις, πρᾳότης, ἐγκράτεια, ὑπομονή· κατὰ τῶν τοιούτων, φησίν, οὐκ ἔστι νόμος» (αὐτόθ. 22—23). Ὁ δὲ ἀγαπητὸς ἡμῶν Κύριος Ἰησοῦς, δεικνὺς ἡμῖν ὅτι ἡ πρᾶξις ἔχει φανερωθῆναι ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, εἶπε: «Πολλοὶ ζητήσουσιν εἰσελθεῖν καὶ οὐ μὴ δυνηθῶσιν, ἀφ' οὗ γὰρ ἂν ἀνεγερθῇ ὁ οἰκοδεσπότης καὶ ἀποκλείσῃ τὴν θύραν, τότε ἐρεῖ τοῖς κρούουσιν: οὐκ οἶδα ὑμᾶς» (Λουκ. ιγ'. 25). Μὴ δυνάμεθα περὶ Θεοῦ εἰπεῖν, ὅτι ἀγνοεῖ τι; Μὴ γένοιτο! Ἀλλ' ὅτι οὐκ οἴδασι τὰς ἀρετὰς οἱ κρούοντες καὶ λέγοντες: «Κύριε, Κύριε, ἄνοιξον ἡμῖν» (Ματθ. κε'. 11), διὰ τοῦτο εἶπεν αὐτοῖς: «Οὐκ οἶδα ὑμᾶς». Ἔδειξε δὲ πάλιν ἡμῖν περὶ τῶν ἐχόντων πίστιν, πρᾶξιν δὲ μὴ ἐχόντων, λέγων: «Ἐγώ εἰμι ἡ ἄμπελος, ὑμεῖς τὰ κλήματα, ὁ μένων ἐν ἐμοὶ κἀγὼ ἐν αὐτῷ· ὁ δὲ μὴ μένων ἐν ἐμοὶ ἐκβληθήσεται ἔξω ὡς τὸ κλῆμα καὶ ξηρανθήσεται καὶ συναχθήσεται εἰς καῦσιν πυρὸς» (Ἰωάνν. ιε'. 5, 6). Τὰ δὲ καρπὸν φέροντα καλὸν καθαρίζει, ἵνα πλείονα καρπὸν ποιῇ· (αὐτ. 2). Πάλιν δεικνὺς ἡμῖν, ὅτι οὐκ ἀγαπᾷ τοὺς ποιοῦντας τὰ θελήματα αὐτῶν τὰ σαρκικά, ηὔχετο λέγων; «Οὐ περὶ τοῦ κόσμου ἐρωτῶ, ἀλλὰ περὶ ὧν δέδωκάς μοι, ὅτι σοί εἰσιν» (Ἰωάν. ιζ'. 9),

---

1) Ἴσως παρελείφθη τὸ ἐν τῷ Εὐαγγελίῳ ἐπιφερόμενον: φροντίζων, πῶς ἀρέσαι τῇ γυναικί.

καὶ ἐγὼ ἔλαβον αὐτοὺς ἐκ τοῦ κόσμου (αὐτ. 19). ὁ κόσμος γὰρ τὰ ἴδια ἀγαπᾷ, λοιπόν φησιν: «Πάτερ φύλαξον αὐτοὺς ἐκ τοῦ πονηροῦ ὅτι οὐκ εἰσιν ἐκ τοῦ κόσμου» (αὐτόθ. 15). Ἐξερευνήσωμεν ἑαυτοὺς λοιπόν, ἀδελφοί, εἰ ἐκ τοῦ κόσμου ἐσμὲν ἢ οὔ, καὶ εἰ οὐκ ἐσμεν ἐκ τοῦ κόσμου, φυλάσσει ἡμᾶς ἐκ τοῦ πονηροῦ. Οὗτος γὰρ εἶπεν: «Οὐ περὶ τούτων δὲ ἐρωτῶ μόνον, ἀλλὰ καὶ περὶ τῶν πιστευόντων διὰ τοῦ λόγου αὐτῶν εἰς ἐμέ, ἵνα πάντες ἓν ὦσιν, ὡς ἡμεῖς ἕν ἐσμεν (αὐτόθ. 20—21) καὶ πάλιν: «Ὅπου εἰμί, ἵνα καὶ αὐτοὶ ὦσι μετ' ἐμοῦ» (αὐτόθ. 24).

Ζ΄. Ὅρα τοίνυν πηλίκην ἀγάπην ἠγάπησεν ἡμᾶς, ἀνθρώπους τοὺς ἀγωνισαμένους ἐκ τῷ κόσμῳ τούτῳ καὶ μισήσαντας τὰ θελήματα τῆς καρδίας αὐτῶν τὰ σαρκικά, ὅτι βασιλεύσουσι μετ' αὐτοῦ εἰς τοὺς ἀπεράντους αἰῶνας· Θεασάμενος γὰρ Ἰωάννης ὁ ἀπόστολος τὴν μεγάλην ἐκείνην δόξαν εἶπεν: «Οἴδαμεν, ὅτι ἐὰν φανερωθῇ, ὅμοιοι αὐτῷ ἐσόμεθα» (Α΄. Ἰωάν. γ΄. 2), ἐὰν φυλάξωμεν τὰς ἐντολὰς αὐτοῦ καὶ τὰ ἀρεστὰ ἐνώπιον αὐτοῦ ποιήσωμεν· καὶ πάλιν ὁ αὐτός: «Μὴ θαυμάζετε, ἀγαπητοί, εἰ μισεῖ ὑμᾶς ὁ κόσμος· ἡμεῖς οἴδαμεν ὅτι μεταβεβήκαμεν ἐκ τοῦ θανάτου εἰς τὴν ζωήν, ὅτι ἀγαπῶμεν τοὺς ἀδελφοὺς» (αὐτόθ. 13—14)· καὶ πάλιν: «Πᾶς ὁ μὴ ποιῶν τὴν δικαιοσύνην οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ, καὶ ὁ μὴ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ» (αὐτ.)· καὶ πάλιν: «Ὁ ποιῶν τὴν δικαιοσύνην ἐκ τοῦ Θεοῦ γεγένηται» (αὐτ. β΄. 29)· «ὁ δὲ ποιῶν τὴν ἁμαρτίαν ἐκ τοῦ διαβόλου ἐστὶν» (αὐτ. γ΄. 8)· καὶ πάλιν: «Ὁ γεγεννημένος ἐκ τοῦ Θεοῦ ἁμαρτίαν οὐ ποιεῖ, ὅτι σπέρμα αὐτοῦ ἐν αὐτῷ μένει· καὶ οὐ δύναται ἁμαρτάνειν, ὅτι ἐκ τοῦ Θεοῦ γεγέννηται» (αὐτόθ. 9). Ποιήσωμεν οὖν τὴν δύναμιν ἡμῶν, ἀδελφοί, ἔχοντες τὴν παράκλησιν τῶν μαρτυριῶν τούτων, ἴσως ἐλεήσει ἡμᾶς ἡ ἀγαθότης αὐτοῦ καὶ ἀποστείλει ἡμῖν δύναμιν τοῦ ἐκδύσασθαι τὴν βαρυτάτην [1] τοῦ ἀκαθάρτου κόσμου τούτου· καὶ γὰρ οὐ σιωπᾷ ὁ ἐχθρὸς ἡμῶν, πᾶσαν ὥραν θηρεύων ἡμᾶς, θέλων ἁρπάσαι τὰς ψυχὰς ἡμῶν. Ὁ δὲ Κύριος ἡμῶν Ἰησοῦς ἐστι μεθ' ἡμῶν, ἐπιτιμῶν αὐτὸν διὰ τῶν ἁγίων αὐτοῦ λόγων,

1) Μᾶλλον, βαρύτητα. Ἐν τῷ Λατιν. jugum, ζυγόν.

ἐὰν φυλάξωμεν αὐτούς. Ἐπεί, πῶς κωλύει τις τὸν ἐχθρὸν ἢ τίς δύναται πρὸς αὐτόν, εἰ μὴ οἱ λόγοι, οὓς εἶπεν ὁ Θεὸς πρὸς αὐτόν; Οὗτοι ἀνθίστανται καὶ συντρίβουσιν αὐτόν, τοῦ ἀνθρώπου ἀγνοοῦντος. Παιδεύων δὲ ἡμᾶς ὁ ἀπόστολος Πέτρος καὶ δεικνύων ἡμῖν, ὅτι ἡ πρᾶξις σώζει τὸν ἄνθρωπον ἔλεγεν: «Ἐπιχορηγήσατε ἐν τῇ πίστει ὑμῶν τὴν ἀρετήν, ἐν δὲ τῇ ἀρετῇ τὴν γνῶσιν, ἐν δὲ τῇ γνώσει τὴν ἐγκράτειαν, ἐν δὲ τῇ ἐγκρατείᾳ τὴν ὑπομονήν, ἐν δὲ τῇ ὑπομονῇ τὴν εὐσέβειαν, ἐν δὲ τῇ εὐσεβείᾳ τὴν φιλαδελφίαν, ἐν δὲ τῇ φιλαδελφίᾳ τὴν ἀγάπην· ταῦτα γὰρ ἡμῖν παρόντα καὶ πλεονάζοντα οὐκ ἀργοὺς οὐδὲ ἀκάρπους παρίστησιν εἰς τὴν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐπίγνωσιν· ᾧ γὰρ μὴ πάρεστι ταῦτα, τυφλός ἐστι, μυωπάζων, λήθην λαβὼν τοῦ καθαρισμοῦ τῶν πάλαι αὐτοῦ ἁμαρτιῶν (Β΄. Πετρ. α΄. 5, 8, 9). Πάλιν Ἰωάννης ὁ Βαπτιστὴς λέγει: «Ποιήσατε καρποὺς ἀξίους τῆς μετανοίας, ἤδη δὲ καὶ ἡ ἀξίνη πρὸς τὴν ῥίζαν τοῦ δένδρου κεῖται· πᾶν οὖν δένδρον μὴ ποιοῦν καρπὸν ἐκκόπτεται καὶ εἰς πῦρ βάλλεται» (Λουκ. γ΄. 8—9)· Καὶ πάλιν ὁ Δεσπότης ἡμῶν Ἰησοῦς φησίν: «Ἐκ τοῦ καρποῦ γινώσκεται τὸ δένδρον» (Ματθ. ιβ΄. 33) «μήτι συλλέγουσιν ἀπὸ ἀκανθῶν σταφυλὴν ἢ ἀπὸ τριβόλων σῦκα»; (αὐτόθ. ζ΄. 16) καὶ πάλιν: «Οὐ πᾶς ὁ λέγων μοι, Κύριε, Κύριε, εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ἀλλ' ὁ ποιῶν τὸ θέλημα τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς» (αὐτόθ. 21)· Πάλιν Ἰάκωβος λέγει: Ἡ πίστις, χωρὶς τῶν ἔργων, νεκρά ἐστι· καὶ τὰ δαιμόνια πιστεύουσι καὶ φρίττουσι» (Ἰάκωβ. β΄. 17, 19, 20). ὥσπερ γὰρ τὸ σῶμα χωρὶς πνεύματος νεκρόν ἐστι, οὕτω καὶ ἡ πίστις χωρὶς τῶν ἔργων νεκρά ἐστιν. Πάλιν ὁ ἀπόστολος, ἐπιβεβαιῶν τοῖς τέκνοις αὐτοῦ, ὅτι χρήζει ἡ πίστις τῆς πράξεως, ἐνετείλατο ἐμπόνως λέγων: «Πᾶσα πορνεία ἢ ἀκαθαρσία μηδὲ ὀνομαζέσθω ἐν ὑμῖν, καθὼς πρέπει ἁγίοις, ἀλλὰ μᾶλλον εὐχαριστία· τοῦτο γάρ ἐστε γινώσκοντες, ὅτι πᾶς πόρνος ἢ ἀκάθαρτος ἢ πλεονέκτης, ὅς ἐστιν εἰδωλολάτρης, οὐκ ἔχει κληρονομίαν ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ» (Ἐφεσ. ε΄. 3—5), ἐπιβεβαιῶν δὲ καὶ πάλιν τὸν λόγον ἔλεγεν αὐτοῖς: «Μηδεὶς ἀπατάτω ὑμᾶς κενοῖς λόγοις· διὰ ταῦτα γὰρ ἔρχεται ἡ ὀργὴ τοῦ Θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπει-

θείας· μὴ οὖν γίνεσθε συμμέτοχοι αὐτῶν· ἦτε γάρ ποτε σκότος, νῦν δὲ φῶς ἐν Κυρίῳ, ὡς τέκνα φωτὸς περιπατεῖτε·—ὁ γὰρ καρπὸς τοῦ Πνεύματος ἐν πάσῃ ἀγαθωσύνῃ, καὶ δικαιοσύνῃ καὶ ἀληθείᾳ—»(αὐτ. 6--11)· Καὶ πάλιν : «Πᾶσα πικρία καὶ ὀργὴ καὶ θυμὸς καὶ κραυγὴ ἀρθήτω ἀφ' ὑμῶν σὺν πάσῃ κακίᾳ» (αὐτ. 31)· φησὶ γάρ : «Μιμηταί μου γίνεσθε, καθὼς κἀγὼ Χριστοῦ» (Α'. Κορινθ. ια'. 1). «Ὅσοι γὰρ εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε» (Γαλάτ. γ'. 27).

Η'. Ἐρευνήσωμεν οὖν ἑαυτούς, ἀδελφοί, εἰ ἐνεδυσάμεθα τὸν Χριστὸν ἢ οὔ, ἐπιγινώσκεται γὰρ ὁ Χριστὸς διὰ τῆς ἁγνείας, ἁγνὸς γάρ ἐστι καὶ ἐν τοῖς ἁγνοῖς κατοικεῖ· Πῶς οὖν ἁγνισθῶσιν εἰ μήτι, ἃ ἐποίησαν πονηρά, μηκέτι ποιῶσιν; Αὕτη [1] γάρ ἐστιν ἡ ἀγαθότης τοῦ Θεοῦ, ὅτι, οἵαν ἂν ὥραν ἐπιστρέψῃ ὁ ἄνθρωπος ἀπὸ τῶν ἁμαρτιῶν αὐτοῦ, ἀποδέχεται αὐτὸν μετὰ χαρᾶς, καὶ οὐ λογίζεται αὐτῷ περὶ τῶν ἑτέρων αὐτοῦ ἁμαρτιῶν, καθὼς γέγραπται ἐν τῷ Εὐαγγελίῳ περὶ τοῦ νεωτέρου υἱοῦ, τοῦ ἀναλώσαντος τὸ ἑαυτοῦ μέρος ἀσώτως, ἔσχατον δὲ ἔβοσκε χοίρους καὶ ἐπεθύμει χορτασθῆναι ἀπὸ τῆς τροφῆς τῶν χοίρων, ὕστερον δέ, μεταμεληθείς, ἐφ' οἷς ἔπραξεν, ἔμαθεν, ὅτι οὐκ ἔστι κόρος ἁμαρτιῶν, ἀλλ' ὅσον ἐργάζεταί τις ταῦτα [2] ἐπὶ πλέον ἐκκαίεται εἰς αὐτά [3]. Ὅτε οὖν ἔκρουσε πρὸς αὐτὸν ἡ μετάνοια οὐκ ἀνεβάλετο, ἀλλ' ὑπέστρεψε πρὸς τὸν πατέρα αὐτοῦ ἐν ταπεινώσει, ἐάσας πάντα τὰ θελήματα αὐτοῦ τὰ σαρκικά. Ἐπίστευσε γὰρ τῷ πατρὶ αὐτοῦ, ὅτι οἰκτίρμων ἐστὶν καὶ οὐ λογίζεται αὐτῷ, ἃ ἔπραξε, διὸ καὶ ὁ πατὴρ αὐτοῦ εὐθέως ἐκέλευσε δοθῆναι αὐτῷ τὴν στολὴν τῆς ἁγνότητος, καὶ τὸν ἀρραβῶνα τῆς υἱοθεσίας (Λουκ. ιε'. 11-22). Ταῦτα δὲ ἔλεγεν ὁ Δεσπότης ἡμῶν Ἰησοῦς Χριστός, ὅτι, ἐὰν ἐπιστραφῶμεν πρὸς αὐτόν, ὀφείλομεν ἐᾶσαι πρῶτον τὴν τροφὴν τῶν χοίρων καὶ τότε δέχεται ἡμᾶς ἁγνοὺς ὄντας· ταῦτα εἶπεν, ἵνα μὴ ἀκηδιάσῃ ἡ ψυχὴ λέγουσα, πότε ὁ Θεὸς εἰσακούσει μου, αὐ-

---

1) Εὐεργετην. βιβλ. α. ὑποθ. α'. σελ. 8.
2) Μᾶλλον, αὐτάς.
3) Αὐτάς.

τὸς γὰρ οἶδε τὸν καιρὸν πότε ἄξιός ἐστιν ὁ αἰτῶν τυχεῖν τῆς ἐκδικήσεως καὶ τότε εἰσακούει αὐτοῦ ἐν τάχει. Ἐπιστρέψωμεν οὖν, ἐν ὅλῃ καρδίᾳ, καὶ μὴ ἐκκακήσωμεν παρακαλοῦντες, καὶ ἐν τάχει εἰσακούει ἡμῶν, αὐτὸς γὰρ εἶπεν: «Αἰτεῖτε καὶ δοθήσεται ὑμῖν, ζητεῖτε καὶ εὑρήσετε, κρούετε, καὶ ἀνοιγήσεται ὑμῖν» (Ματθ. ζ'. 7)· Ἐὰν οὖν, ἀδελφοί, αἰτῶμεν ἢ ζητῶμεν, ἢ κρούωμεν, μάθωμεν τί ζητοῦμεν ἢ αἰτοῦμεν παρ' αὐτοῦ. Ὁ γὰρ ἐλθὼν πρὸς τὸν φίλον αὐτοῦ τὸ μεσονύκτιον ἠνάγκαζεν αὐτὸν λέγων: «Χρῆσον μοι τρεῖς ἄρτους, ἐπειδὴ φίλος μου παρεγένετο ἐξ ὁδοῦ» (Λουκ. ια'. 5)· ὅτε οὖν παρέμενε κρούων, ἔδωκεν αὐτῷ εἴ τι ἤτησεν αὐτόν.

Θ'. Ἐκβάλωμεν οὖν, ἀδελφοί, ἀφ' ἡμῶν τὴν ὀκνηρίαν, καὶ ἑτοιμάσωμεν ἑαυτοὺς εἰς τὴν τοιαύτην ἀναίδειαν, καὶ ἐὰν ἴδῃ τὴν ὑπομονὴν ἡμῶν, παρέχει ἡμῖν τὰ αἰτήματα ἡμῶν, ἐλεήμων [1] γάρ ἐστι καὶ θέλει, ἵνα ἐπιστρέψῃ ὁ ἄνθρωπος, καθὼς γέγραπται, ὅτι: «Ἀμὴν λέγω ὑμῖν, ὅτι χαρὰ γίνεται ἐν οὐρανοῖς ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι» (Λουκ. ιε'. 7)· ἐν ὅσῳ οὖν ἔχομεν ἀδελφοὶ τὸ τοιοῦτον αὐτοῦ ἔλεος, καὶ τὸν πλοῦτον τῶν οἰκτιρμῶν αὐτοῦ, ἐν ὅλῃ καρδίᾳ πονήσωμεν, ἕως ἔτι ἐσμὲν ἐν τῷ σώματι, βραχὺς γάρ ἐστιν ὁ τῆς ζωῆς ἡμῶν χρόνος, καὶ ἐὰν ἀγωνισώμεθα, κληρονομοῦμεν χαρὰν τὴν αἰώνιον καὶ ἀνεκλάλητον, εἰ δὲ ὑποστρέψωμεν εἰς τὰ ὀπίσω, ἐσόμεθα, ὡς ὁ νεανίσκος, ὁ ἐπερωτήσας τὸν Κύριον Ἰησοῦν, πῶς δεῖ σωθῆναι, ᾧ ἀπεκρίθη: «Πάντα ὅσα ἔχεις πώλησον καὶ δὸς πτωχοῖς καὶ ἆρον τὸν σταυρόν σου καὶ ἀκολούθει μοι» (Λουκ. ιη'. 22), δεικνύων ἡμῖν, ὅτι τὸ κόψαι τὸ θέλημα, τοῦτό ἐστι τὸ σωθῆναι· «Ἀκούσας γὰρ περίλυπος ἐγένετο σφόδρα καὶ ἀνεχώρησεν» (αὐτ. 23). Ἔμαθε δὲ ὅτι οὐκ ἔστι κόπος τὸ δοῦναι τὰ ἑαυτοῦ τοῖς πτωχοῖς, ὡς τὸ βαστάξαι τὸν σταυρόν. Τὸ γὰρ διαδοῦναι τὰ ἑαυτοῦ τοῖς πτωχοῖς μία ἐστίν ἀρετὴ καὶ ποιεῖ αὐτὴν ὁ ἄνθρωπος διὰ τὸ βαστάξαι τὸν σταυρόν· ὁ δὲ σταυρὸς κατάργησίς ἐστι πάσης ἁμαρτίας καὶ τίκτει τὴν ἀγάπην, καὶ χωρὶς ἀγάπης οὐδὲ σταυρός. Γινώσκων

---

1) Εὐεργ. βιβλ. α'. ὑπόθ. α'. σ. 8.

οὖν ὁ ἀπόστολος, ὅτι εἰσὶ καὶ νομιζόμεναι ἀρεταί, ἐν αἷς οὐκ ἔστιν ἀγάπη, οὐδὲ τελειότης ἀρετῶν, εἶπεν: «Ἐὰν ταῖς γλώσσαις τῶν ἀνθρώπων λαλῶ καὶ τῶν ἀγγέλων, ἀγάπην δὲ μὴ ἔχω, γέγονα χαλκὸς ἠχῶν καὶ κύμβαλον ἀλαλάζον, κἂν ψωμίσω μου πάντα τὰ ὑπάρχοντα καὶ παραδώσω τὸ σῶμά μου, ἵνα καυθήσωμαι, ἀγάπην δὲ μὴ ἔχω, οὐδὲν ὠφελοῦμαι. Ἡ ἀγάπη μακροθυμεῖ, χρηστεύεται, οὐ ζηλοῖ, οὐ περπερεύεται, οὐ φυσιοῦται, οὐκ ἀσχημονεῖ, οὐ ζητεῖ τὰ ἑαυτῆς, οὐ παροξύνεται, οὐ λογίζεται τὸ κακὸν» (Α΄. Κορινθ. ιγ΄. 1-5). Ὁ θέλων οὖν ἐπὶ τὴν ὁδὸν τῆς ἀγάπης ἐλθεῖν, ἀμεριμνήσει ἀπὸ παντὸς ἀνθρώπου, εἴτε καλοί εἰσιν, εἴτε κακοί, καὶ λοιπὸν ἡ ἐπιθυμία ἡ εἰς Θεὸν μένει ἐν τῇ καρδίᾳ αὐτοῦ. Ἡ τοιαύτη ἐπιθυμία τίκτει αὐτῷ τὴν κατὰ φύσιν ὀργήν, καὶ ἡ ὀργὴ ἀνθίσταται παντὶ σπειρομένῳ ὑπὸ τοῦ ἐχθροῦ. Τότε ὁ νόμος τοῦ Θεοῦ [1] εὑρίσκει νομὴν ἐν αὐτῷ καὶ διὰ τοῦ φόβου ἡ ἀγάπη φανεροῦται ἐν αὐτῷ, καὶ τότε λέγει ὁ τοιοῦτος ἄνθρωπος, ὡς ὁ ἀπόστολος, θαρρῶν, ὅτι: «Ἐγὼ ἑτοίμως ἔχω οὐ μόνον δεθῆναι, ἀλλὰ καὶ ἀποθανεῖν ὑπὲρ τοῦ ὀνόματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ» (Πράξ. κα΄. 13). Μακαρία ἐστὶν ἡ ψυχὴ ἡ φθάσασα τὴν τοιαύτην ἀγάπην, ἀπαθὴς γίνεται.

Γ΄. Ἐξήλθομεν [2] ἐκ τοῦ κόσμου, ἀδελφοί, γνῶμεν ἐν τίσιν ἐσμέν, καὶ γὰρ οἰκτίρμων ἐστὶν ὁ Κύριος Ἰησοῦς ἕκαστον ἀναπαῦσαι κατὰ τὴν πρᾶξιν αὐτοῦ, καὶ τὸν μικρὸν κατὰ τὴν μικρότητα αὐτοῦ, καθὼς ἔφη: «Πολλαὶ μοναί εἰσι παρὰ τῷ Πατρί μου» (Ἰωάν. ιδ΄. 2)· κἂν γὰρ μία βασιλεία ἐστίν, ἀλλ' ἕκαστος εὑρίσκει ἐν αὐτῇ τὸν ἴδιον τόπον καὶ τὸ ἔργον αὐτοῦ. Ἀγωνισώμεθα οὖν, ἀδελφοί, κατὰ τῆς ὀκνηρίας [3] καὶ ἀποσχίσωμεν τὸ σουδάριον τοῦ σκότους ἀφ' ἡμῶν, ὅ ἐστιν ἡ λήθη καὶ ὀψόμεθα τὸ φῶς τῆς μετανοίας. Κτησώμεθα [4] ἑαυτοῖς τὴν Μάρθαν καὶ Μαρίαν, αἵτινές εἰσιν ἡ κακοπάθεια καὶ τὸ πένθος, αἳ κλαίουσιν ἐνώπιον τοῦ Σωτῆρος, ἵνα ἐγείρῃ τὸν Λάζαρον, τουτέστι τὸν νοῦν

1) Ἐν τῷ λατιν. Dei Timor.
2) Μᾶλλον, ἐξέλθωμεν, ὡς ἐν τῷ λατιν. Exeamus.
3) Κλῖμαξ Ἰωάν. ἐν σχόλ. δ΄. τοῦ α΄. λόγ. σ. 15, ἔκδ. Ἀθηνῶν, 1883.
4) Εὐεργ. βιβλ. ϐ΄. ὑπόθ. λδ΄, σ. 99.

τὸν δεδεμένον πολλαῖς κειρίαις τῶν ἰδίων θελημάτων· ποιεῖ μὲν τὸ ἔλεος καὶ ἀνεγείρει αὐταῖς αὐτόν, λοιπὸν δὲ αὐτῶν ἐστι λῦσαι καὶ ἀπολῦσαι αὐτόν, ἐὰν δὲ ἐλευθερωθῇ ὁ Λάζαρος, τότε ἡ σπουδὴ Μαρίας καὶ Μάρθας φαίνεται. Λοιπὸν εὑρίσκεται Λάζαρος ἀμέριμνος, ἀνακείμενος μετὰ τοῦ Ἰησοῦ, Μάρθα δὲ ποιοῦσα τὴν ἰδίαν διακονίαν μετὰ σπουδῆς καὶ χαρᾶς, Μαρία δὲ εἰσφέρουσα τὸ ἀλάβαστρον τοῦ μύρου καὶ ἀλείφουσα τοὺς πόδας τοῦ Κυρίου. Ἀγωνισώμεθα οὖν, ἀδελφοί[1], κατὰ τὴν δύναμιν ἡμῶν καὶ συνεργεῖ ἡμῖν ὁ Θεός, κατὰ τὸ πλῆθος τοῦ ἐλέους αὐτοῦ· καὶ εἰ οὐκ ἐφυλάξαμεν τὴν καρδίαν ἡμῶν, ὡς οἱ πατέρες ἡμῶν, κἂν ποιήσωμεν τὴν δύναμιν ἡμῶν φυλάξαι τὰ σώματα ἡμῶν, ὡς ζητεῖ ὁ Θεὸς ἀναμάρτητα, καὶ πιστεύομεν, ὅτι κατὰ τὸν καιρὸν τοῦ λιμοῦ τὸν καταλαβόντα ἡμᾶς, ποιεῖ καὶ μεθ' ἡμῶν ἔλεος, ὡς καὶ μετὰ τῶν ἁγίων αὐτοῦ. «Εἰ γὰρ καὶ ἄλλη δόξα ἡλίου καὶ ἄλλη δόξα σελήνης, καὶ ἀστὴρ ἀστέρος διαφέρει δόξῃ» (Α'. Κορινθ. ιε'. 41), ἀλλ' ἐν ἑνὶ ἁγίῳ στερεώματί εἰσι· καὶ ἡ δόξα αὐτῶν, καὶ ἡ τιμὴ αὐτῶν Αὐτοῦ ἐστιν ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος· Ἀμήν.

---

1) Φιλοκαλ. τόμ. α'. σ. 19, κεφ. ιζ'. Νικηφόρου μονάζοντος «Περὶ νήψεως καὶ φυλακῆς καρδίας» (Φιλοκαλ. τόμ. β'. σ. 239).

# ΤΟΥ ΑΥΤΟΥ

## ΠΕΡΙ ΠΡΑΞΕΩΣ ΤΟΥ ΚΑΙΝΟΥ ΑΝΘΡΩΠΟΥ.

### *Λόγος κβ'.*

Α'. Ἀγαπητοί μοι, ἀδελφοί, γνωρίζεται ὁ Ἑβραῖος διὰ τριῶν ἔργων, διὰ τῆς περιτομῆς, καὶ τοῦ Πάσχα, καὶ τοῦ Σαββάτου· οὕτω γὰρ γέγραπται ἐν τῇ Γενέσει (ιζ'. 12-14) : «Παιδίον ἐν τῇ ὀγδόῃ ἡμέρᾳ περιτμηθήσεται ὑμῖν, ὁ οἰκογενὴς καὶ ὁ ἀργυρώνητος ὁ μὴ περιτετμημένος ἐξολοθρευθήσεται ἐκ τοῦ λαοῦ αὐτοῦ, ὅτι προσέκοψε τὴν διαθήκην μου». Πρῶτος Ἀβραὰμ περιετμήθη· τοῦτό ἐστι τὸ σημεῖον, ὅτι ἀπέθανεν αὐτοῦ ἡ ἀριστερά· τύπος ἐστὶν οὗτος δοθεὶς τοῖς ἀρχαίοις περὶ τοῦ καινοῦ ἀνθρώπου, οὗ ἐνεφάνισεν [1] ἐν τῷ ἁγίῳ αὐτοῦ σώματι ὁ Κύριος Ἰησοῦς, ἵνα τὸ παλαιόν, τὸ σκέπον τὸν ἄρρενα, περιτέμῃ καὶ χώσῃ [2], περὶ οὗ ὁ ἀπόστολος εἶπεν : «Ἐν ᾧ περιετμήθητε περιτομῇ ἀχειροποιήτῳ ἐν τῇ ἀπεκδύσει τοῦ σώματος τῆς σαρκός, ἐν τῇ περιτομῇ τοῦ Χριστοῦ, συνταφέντες αὐτῷ ἐν τῷ βαπτίσματι, ἐν ᾧ καὶ συνηγέρθητε διὰ τῆς πίστεως τῆς ἐνεργείας τοῦ Θεοῦ» (Κολασ. β'. 11-12)· καὶ πάλιν ἐπὶ τό : «Ὑμᾶς ἀποθέσθαι κατὰ τὴν προτέραν ἀναστροφὴν τὸν παλαιὸν ἄνθρωπον, τὸν φθειρόμενον κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης, ἀνανεοῦσθαι δὲ τῷ πνεύματι τοῦ νοὸς ἡμῶν καὶ ἐνδύσασθαι τὸν καινὸν ἄνθρωπον τὸν κατὰ Θεὸν κτισθέντα ἐν δικαιοσύνῃ καὶ ὁσιότητι καὶ ἀληθείᾳ» (Ἐφεσ. δ'. 22-24)· καὶ πάλιν : «Ἵνα ἀποθάνητε μὲν τῇ ἁμαρτίᾳ, ζήσητε δὲ τῇ δικαιοσύνῃ» (Α'. Πέτρ. β'. 24). Ταῦτα μὲν περὶ τῆς περιτομῆς· ὅστις

1) Μᾶλλον, ὄν, ἤτοι τὸν τύπον τοῦ καινοῦ ἀνθρώπου.
2) Ἐν τῷ λατιν. ὑπάρχουσι παραλλαγαί τινες.

δὲ μὴ ἔχει ταῦτα, οὐκ ἔστι περιτετμημένος, οὐδὲ Ἑβραῖος, ὅτι προσέκοψε τῇ διαθήκῃ, ᾗ διέθετο Κύριος Ἰησοῦς τῷ ἰδίῳ ἁγίῳ αὐτοῦ αἵματι [1].

Β'. Περὶ δὲ τοῦ ἁγίου Πάσχα μέγα ἐστὶ καὶ εἰπεῖν [2], πρῶτον ἡ περιτομή, δεύτερον τὸ Πάσχα, τρίτον τὸ Σάββατον· Λέγει γὰρ τῷ Μωϋσῇ : «Οὗτός ἐστιν ὁ νόμος τοῦ Πάσχα· πᾶς ἀλλογενὴς οὐκ ἔδεται ἀπ' αὐτοῦ· πᾶς ἀργυρώνητος μὴ ἐσθιέτω ἐξ αὐτοῦ, πάντα δὲ ἀργυρώνητον περιτέμῃς, καὶ οὗτος ἐσθιέτω ἐξ αὐτοῦ· ὅστις δὲ μὴ περιτέμῃ ἑαυτόν, μὴ ἐσθιέτω ἀπ' αὐτοῦ. Τοῦτο φάγετε ἐν μιᾷ οἰκίᾳ τῶν ὀσφύων ὑμῶν περιεζωσμένων καὶ τῶν ὑποδημάτων ὑμῶν ὄντων ἐν τοῖς ποσὶν ὑμῶν, ἔχοντες ἐν χερσὶ τὰς ῥάβδους ὑμῶν» (Ἔξοδ. ιβ'. 43-48 καὶ 11). Ἀδύνατον ἐσθίειν τὸ Πάσχα, εἰ μὴ ἐν ἀζύμοις καὶ πικρίσιν ἑψημένων ὀπτῶν πυρί (αὐτ. 9)· Οὐκ εἶπεν περιεζωσμένοι ἐπὶ τὰς ὀσφύας ὑμῶν, ἵνα μὴ εἴπῃ τις, ὅτι περὶ ζώνης λέγει, ἀλλὰ περιζωσάμενοι τὰς ὀσφύας ὑμῶν, περὶ τῆς ἁγνείας λέγει τῆς ὑγιοῦς ἀπὸ παντὸς πάθους, ὄντος ὑπὸ τὴν ἐξουσίαν τῆς συνουσίας ἐν ἀκαθαρσίᾳ. Τὰ ὑποδήματα, περὶ τῆς ἑτοιμασίας λέγει καὶ φυγῆς ἀπὸ παντὸς νύγματος, βλάπτοντος τὴν συνείδησιν καὶ κωλύοντος τὸν νοῦν ἰδεῖν τὴν ἰδίαν θεωρίαν ἐν ἁγνείᾳ. Ἡ δὲ ῥάβδος ἐλπίς ἐστιν ἀνδρείας ἐν τῷ πορεύεσθαι ἀφόβως ἐν τῇ ὁδῷ, εἰσελθεῖν εἰς τὴν γῆν τῆς ἐπαγγελίας. οὗτοι εἰσὶν οἱ σαββατίσαντες. Τὸ αἷμα σημεῖόν ἐστι τοῦ αἵματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅτε ἀνέλθῃ [3] ἐν τῇ ἰδίᾳ παρουσίᾳ καὶ ἀπενέγκῃ [4] τοὺς υἱοὺς Ἰσραὴλ εἰς τὴν κληρονομίαν αὐτοῦ. Φαίνονται [5] ἡτοιμασμένοι καὶ κεχρι-

---

1) Καὶ ἐν τούτῳ παραλείπονταί τινα ἐν τῷ λατιν. τὸ «οὐδὲ Ἑβραῖος» ἐλλείπει, ἀντ' αὐτοῦ δὲ φέρεται τὸ «nec vere Christianus».

2) Τὰ ἑπόμενα μέχρι τοῦ χωρίου τοῦ γραφικοῦ παραλείπονται ἐν τῷ λατιν.

3) Μᾶλλον, ὅτε ἦλθεν.

4) Ἵνα ἀπενέγκῃ. Ἐν τῷ λατιν. Qui factus homo venit ad nos, ut filios Israel duceret ad promissam coeli haereditatem, ὅστις γενόμενος ἄνθρωπος ἦλθε πρὸς ἡμᾶς, ἵνα τοὺς υἱοὺς Ἰσραὴλ ἀγάγῃ πρὸς τὴν ὑπεσχημένην τοῦ οὐρανοῦ κληρονομίαν.

5) Ἐν τῷ λατιν. Apparent qui instructi sunt, et signum in anima sua perspicue impressum habent.

σμένοι τὸ σημεῖον αὐτοῦ εἰς τὰς ψυχὰς αὐτῶν ἐν τῷ φανερῷ. Τὸ δὲ λαβεῖν τὴν δέσμην τοῦ ὑσσώπου, τοῦτό ἐστιν ἡ κακοπάθεια, λέγει γὰρ ἐσθίετε αὐτὸ μετὰ πικρίδων. Ἐξερεύνησον οὖν σεαυτόν, ἀδελφέ, εἰ περιτετμημένος εἶ, εἰ περιέχρισας τοὺς σταθμοὺς τοῦ οἴκου σου ἐκ τοῦ αἵματος τοῦ ἀμώμου ἀρνίου, καὶ εἰ ἀπεστέρησας σεαυτὸν παντὸς λογισμοῦ τῆς γῆς, καὶ εἰ ἡτοίμασας σεαυτὸν πορευθῆναι ἐν ἀφοβίᾳ, ἢ ἀνελθεῖν εἰς τὴν γῆν τῆς ἐπαγγελίας.

Γ΄. Καὶ περὶ τοῦ Σαββάτου μέγα ἐστὶ τὸ εἰπεῖν, καὶ ἐκείνων ἐστὶ τῶν ἀξιωθέντων τῆς ἀληθινῆς περιτομῆς, καὶ φαγόντων τὸ ἅγιον Πάσχα, καὶ ἐλευθερωθέντων ἀπὸ τῶν Αἰγυπτίων καὶ ἑωρακότων πάντας καταπεποντισμένους ἐν τῇ Ἐρυθρᾷ θαλάσσῃ καὶ σαββατισάντων ἀπὸ τῆς πικρᾶς δουλείας αὐτῶν· λέγει γὰρ τῷ Μωϋσῇ: «Ἐν ἓξ ἡμέραις ἐργάσῃ, ἡ δὲ ἑβδόμη ἡμέρα σάββατον ἀναπαύσεως Κυρίου» (Ἐξοδ. κ΄. 9, 10). «Ὅστις ἐργάσεται ἐν τῇ ἡμέρᾳ τοῦ Σαββάτου ἐξολοθρευθήσεται ἡ ψυχὴ ἐκείνη» (αὐτ. λα΄. 14). Ὁ δὲ Κύριος ἡμῶν Ἰησοῦς αὐτὸς ἐσαββάτισε τὸ σάββατον τὸ ἀληθινόν, καὶ ἐδίδαξε τοὺς ἰδίους πῶς δεῖ σαββατίζειν, ἀναβεβηκὼς [1] ἐν τῇ Παρασκευῇ, ποιήσας πᾶσαν τὴν ἑτοιμασίαν αὐτοῦ πρὸ τοῦ αὐτὸν ἀναβῆναι, ὅ ἐστι τὰς λοιδορίας, ἃς ὑπέστη ὑπὲρ ἡμῶν, καὶ ὑπέμεινεν ἐπὶ τὸ ξύλον προσηλώσας ἑαυτόν, μὴ λύσας μηδὲ χαλάσας ἑαυτόν, ἔχοντα πνοήν τινα, κράζων, «διψῶ» καὶ ἤνεγκον αὐτῷ «σπόγγον ὄξους», καὶ γευσάμενος εἶπεν: «Πάντα τετέλεσται, καὶ κλίνας τὴν κεφαλὴν παρέδωκε τὸ πνεῦμα» (Ἰωάν. ιθ΄. 28—30), καὶ κατήνεγκον αὐτὸν κάτω, μηκέτι κινούμενον, σαββατίσαντα ἐν ἀληθείᾳ· λοιπὸν ἀναπέπαυται ὁ Κύριος Ἰησοῦς ἐν τῇ ἑβδόμῃ ἡμέρᾳ, καὶ ταύτην εὐλόγησεν, ὅτι ἐν ἀληθείᾳ ἀναπέπαυται ἀπὸ πάντων τῶν ἔργων, δι᾿ ὧν κατήργησε τὰ ἀνθρώπινα πάθη, καθὼς εἶπεν ὁ ἀπόστολος ὅτι: «Εἰσελθὼν εἰς τὴν κατάπαυσιν αὐτοῦ πέπαυται ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ, ὥσπερ ἀπὸ τῶν ἰδίων ὁ Θεός» (Ἑβρ. δ΄. 10)· Τοῦτο ἐστὶ τὸ ἀληθινὸν σάββατον, λοιπὸν ὁ μὴ

1) Ἤτοι, ἐπὶ τοῦ σταυροῦ.

σαββατίζων οὐκ ἔστιν Ἰουδαῖος [1]. Κλαίων γὰρ Ἱερεμίας ἐπὶ τὸν λαόν, ἔλεγεν αὐτοῖς: «Μὴ βαστάζετε φορτία, ἐν τῇ ἡμέρᾳ τοῦ Σαββάτου, καὶ μὴ ἐξέλθητε εἰς τὰς πύλας Ἱερουσαλὴμ βαστάζοντες φορτία ἐν τῇ ἡμέρᾳ Σαββάτου» (Ἱερεμ. ιζ'. 22).

Δ'. Οὐαί μοι τῷ ταλαιπώρῳ τῷ παραβεβηκότι τὰς τοιαύτας ἁγίας ἐντολὰς καὶ βαστάζοντι τὰ βαρέα φορτία ἐν τῇ ἡμέρᾳ τοῦ Σαββάτου. Καὶ εἰ μὲν συναπέθανον αὐτῷ, καὶ συνετάφην, καὶ ἐσαββάτισα, τί ἐστι ταῦτα, ἃ βαστάζω τὰ βαρέα φορτία, ἅτινα ἐπιτελῶ [2]; Ἡ ὀργὴ φορτίον ἐστὶ βαρύ, ὁ ζῆλος, τὸ μῖσος, ἡ κενοδοξία, ἡ καταλαλιά, τὸ κεντῆσαι, τὸ παροξῦναι, τὸ ὑψηλοφρονεῖν, τὸ ἔχειν ἑαυτὸν δίκαιον, τὸ παρατάσσεσθαι, τὸ φιλονεικεῖν, τὸ ἀγαπᾶν ἑαυτόν, τὸ βασκαίνειν. Ταῦτα τῆς ψυχῆς ἐστι. Τὰ δὲ τοῦ σώματος, γαστριμαργία, τὸ φιλοσωματεῖν, τὸ σχηματίζεσθαι, ἡ ἡδονή, ἡ ἐπιθυμία, ἡ ἔκλειψις τῆς καρδίας. Ταῦτα πάντα καὶ τὰ ὅμοια τούτοις ὁ Κύριος Ἰησοῦς κατήργησε τῷ σώματι τῶν ἁγίων, καὶ ἀπέκτεινεν ἐν τῷ ἁγίῳ αὐτοῦ σώματι, κατὰ τὸν λόγον τοῦ ἀποστόλου, ὅτι: «Διὰ τοῦ σταυροῦ ἀπέκτεινε τὴν ἔχθραν ἐν αὐτῷ» (Ἐφεσ. β'. 16), τὸν νόμον τῶν ἐντολῶν ἐδογμάτισε, καταργήσας τουτέστι τὸ ἅγιον σάββατον [3]. Ὅστις οὖν βαστάζει τὰ βαρέα φορτία καὶ πράττει ἐπιτελῶν ἐν τῇ ἡμέρᾳ τοῦ σαββάτου, πῶς εἴπῃ ὅτι Ἰουδαῖος ἀληθινός εἰμι; Ὁ τοιοῦτος ἑαυτὸν ἀπατᾷ, τὸ γὰρ ὄνομα μόνον ἐπίκειται αὐτῷ, οὐδὲν οὖν λήψεται ἐκ τοῦ Κυρίου Ἰησοῦ, ἀρνεῖται γὰρ αὐτὸν ἐν τῇ ἰδίᾳ πράξει, ὅτι, ἅπερ ἀπέκτεινε, πάλιν ἀνήγειρε, καί, ἃ ἔθαψε, πάλιν ἔπραξε, φανερός ἐστιν οὗτος ὅτι οὐκ ἔστιν ἀληθινὸς Ἑβραῖος, ἀλλὰ ψεύστης, οὐδέ ἐστι περιτετμημένος, οὐδὲ ἐσαββάτισεν [4]. Ὅταν οὖν ἔλθῃ ὁ Κύριος Ἰησοῦς ἐν τῇ δόξῃ αὐτοῦ τοὺς υἱοὺς Ἰσραὴλ μόνους εἰσφέρει εἰς τὴν αἰώνιον αὐτοῦ βασιλείαν, τοὺς περιτετμημένους αὐτῷ πάντας, οὓς

---

1) Τὸ λατινικὸν φέρει : Non est Christianus.

2) Ἡ ἐρωτηματικὴ αὕτη περίοδος ἐλλείπει ἐν τῷ Λατιν.

3) Τὸν νόμον τῶν ἐντολῶν ἐδογμάτισε, καταργήσας τουτέστι τὸ ἅγιον σάββατον, δὲν ἀναγινώσκονται ἐν τῷ Λατιν.

4) Ἐκ τοῦ «φανερός ἐστιν οὗτος» κτλ. μέχρι τέλους τῆς περιόδου ἐλλείπει ἐν τῷ Λατιν.

καὶ συνήγαγεν ἐκ πάντων τῶν λαῶν, καθὼς καὶ ὁ ἀπόστολος λέγει: «Ὅτι πώρωσις γέγονεν ἀπὸ μέρους τῷ Ἰσραήλ, ἄχρις οὗ εἰσέλθῃ πάντα τὰ ἔθνη» (Ρωμ. ια'. 25)· καὶ πάλιν: «Ὅσοι τῷ κανόνι τούτῳ στοιχοῦσιν, εἰρήνη ἐπ' αὐτοὺς καὶ ἔλεος, καὶ ἐπὶ τὸν Ἰσραὴλ τοῦ Θεοῦ» (Γαλάτ. στ'. 16). Ὁρᾷς ὅτι εἰσὶν Ἰσραηλῖται τοῦ Θεοῦ, οἵτινες ἔχουσι τὴν περιτομὴν τῆς καρδίας καὶ τὸν σαββατισμὸν καὶ τὴν κατάργησιν τῆς ἁμαρτίας· πάλιν λέγει: «Οὐ γὰρ ὁ ἐν τῷ φανερῷ Ἰουδαῖος ἐν τῇ σαρκὶ οὗτός ἐστιν Ἰουδαῖος, οὐδὲ ἡ περιτομὴ ἡ φαινομένη, αὕτη ἐστὶ περιτομή, ἀλλ' ὁ ἐν τῷ κρυπτῷ Ἰουδαῖος καὶ περιτομὴ καρδίας ἐν πνεύματι, καὶ οὐκ ἐν γράμματι» (Ρωμ. β'. 28—29).

Ε'. Πρόσχωμεν οὖν ἑαυτοῖς, ἀδελφοί, ἕως πότε ποιοῦμεν τὸν κόπον καὶ ἀπόλλωμεν αὐτὸν διὰ τῆς ἀμελείας, ἀγνοοῦντες ὅτι ἐστὶν ἐν ἡμῖν ὁ ἐχθρὸς ἡμῶν, κολακεύων καὶ ἀποσπῶν ἡμᾶς ἐφ' ἑκάστης, μὴ συγχωρῶν τοῖς ὀφθαλμοῖς ἡμῶν θεωρῆσαί τι τοῦ φωτὸς τῆς Θεότητος; Ἐξερεύνησον οὖν σεαυτόν, ὦ ταλαίπωρε, ὁ εἰς Χριστὸν βαπτισθεὶς καὶ εἰς τὸν θάνατον αὐτοῦ, ποῖός ἐστιν ὁ θάνατος, ὃν ἀπέθανεν, εἰ ἐξακολουθεῖς τοῖς ἴχνεσιν αὐτοῦ (Α'. Πετρ. β'. 22), δεῖξόν μοι τὸν τρόπον, ὃν ἔχεις· Αὐτὸς ἀναμάρτητός ἐστι καὶ τόπον ἑαυτὸν δείξας σοι, ἐν πᾶσιν ἐπορεύθη. Ἐν πτωχείᾳ, σὺ δὲ οὐ βαστάζεις τὴν πτωχείαν. Αὐτὸς οὐκ ἔσχε «ποῦ τὴν κεφαλὴν κλῖναι» (Ματθ. η'. 20)· σὺ δὲ οὐ βαστάζεις τὴν ξενιτείαν μετὰ χαρᾶς. Αὐτὸς τὰς ὕβρεις ἐβάστασε, σὺ δὲ οὐδεμίαν ὕβριν βαστάζεις. Αὐτὸς οὐκ ἀνταπεδίδου [1], σὺ δὲ οὐ βαστάζεις τοῦ μὴ ἀνταποδοῦναι κακόν· Αὐτὸς οὐκ ὠργίσθη πάσχων, σὺ δὲ καὶ καταπονῶν ὀργίζῃ. Αὐτὸς ἀτάραχος διέμεινεν ὑβριζόμενος, σὺ δὲ μὴ ὑβριζόμενος ταράσσῃ. Αὐτὸς ταπεινὸς γέγονε, παρακαλῶν τοὺς ἁμαρτάνοντας εἰς αὐτόν, σὺ δὲ καὶ τοὺς ἀγαπῶντας πλήττεις διὰ λόγου. Αὐτὸς ἐβάστασε τὰ ἐπιφερόμενα αὐτῷ μετὰ χαρᾶς, σὺ δὲ ἀκούων μικρᾶς λύπης ταράσσῃ. Αὐτὸς πρᾷός ἐστι μετὰ τῶν ἐμπεσόντων ἐν ἁμαρτίαις, σὺ δὲ ὑψηλοφρονεῖς ἐπὶ τοῦ μεγαλειτέρου σου. Αὐτὸς δέδωκεν ἑαυτὸν ὑπὲρ τῶν ἁμαρτησάντων εἰς αὐτόν, ἕως λυτρώσηται αὐ-

1) Ἤτοι, κακὸν ἀντὶ κακοῦ.

τούς, σὺ οὐδὲ ὑπὲρ τῶν ἀγαπώντων σε δύνῃ δοῦναι ἑαυτόν. Ἰδοὺ τί σοι δέδωκε καὶ σὺ τί αὐτῷ ἀνταποδίδως. Γνῶθι αὐτὸν διὰ τῶν ἔργων αὐτοῦ καὶ σὺ ἑαυτὸν διὰ τῶν ἔργων σου, τίς ποιεῖ τὰ ἁμαρτήματα ταῦτα[1].

ΣΤ'. Ἀγαπητοὶ πρόσχωμεν [2] ὀρθῶς εἰς τὰς ἁγίας αὐτοῦ ἐντολὰς καὶ ἐκκόψωμεν τὸ θέλημα ἑαυτῶν, καὶ ὀψόμεθα τὸ φῶς τῶν ἐντολῶν εἰς τὸν τιμῶντα ἡμᾶς αὐτὸν ἀγαπῶμεν. Τί πλέον τοῦ ἐθνικοῦ ποιοῦμεν [3]; Ὑπὲρ τῶν εὐεργετούντων προσεύχῃ; καὶ ὁ τελώνης τὸ αὐτὸ ποιεῖ (Ματθ. ε'. 46). Εἰ μετὰ τοῦ ἐπαινοῦντός σε χαίρῃ καὶ ὁ Ἰουδαῖος τὸ αὐτὸ ποιεῖ. Τί οὖν περιττὸν σὺ ποιεῖς ὁ ἀποθανὼν ἀπὸ τῆς ἁμαρτίας καὶ ζήσας ἐν Χριστῷ Ἰησοῦ; Εἰ τὸν ὑπακούοντά σου αὐτὸν μόνον ἀγαπᾷς, τί πλέον ποιεῖς ἁμαρτωλοῦ; Ταῦτα ποιεῖ κἀκεῖνος. Εἰ τὸν καταπονοῦντά σε καὶ παρακούοντά σου καὶ ἐρίζοντα μισεῖς, ὡς ὁ ἐθνικὸς καὶ σύ· ἀλλὰ μᾶλλον χρὴ εὔχεσθαι ὑπὲρ τούτου, ἵνα συγχωρηθῇ αὐτῷ. Εἰ πρὸς τὸν λοιδοροῦντά σε λυπῇ, καὶ ὁ τελώνης τὸ αὐτὸ ποιεῖ. Ἐξερεύνησον οὖν σεαυτὸν καὶ σὺ ὁ βαπτισθεὶς εἰς τὸ ὄνομα αὐτοῦ, εἰ ταῦτά ἐστι τὰ ἔργα, ἐν οἷς ἐφάνη, ἢ πῶς ἔχεις φανῆναι ἐν τῇ ἡμέρᾳ τῆς δόξης αὐτοῦ καὶ στεφανωθῆναι, εἰ οὐκ ἔχεις στέφανον ὑπὲρ τῶν παθῶν, ὧν ἐνίκησας, ἃ καὶ ἤδη ἐνίκησεν ὁ βασιλεύς σου τύπον ἑαυτὸν δείξας σοι. Αὐτὸς γὰρ ὅταν φανῇ ἐν τῇ δόξῃ αὐτοῦ ὁ βασιλεὺς τῶν βασιλευόντων καὶ Κύριος τῶν κυριευόντων, φανερωθήσεται γὰρ ὁρώμενος ὑπὸ παντὸς γένους ἐν τῇ μεγάλῃ αὐτοῦ δόξῃ, τὰ σημεῖα ἔχων, ἅπερ πέπονθεν ὑπὲρ ἡμῶν, σὺ δὲ μέλλεις φανῆναι μὴ ἔχων τῶν παθημάτων αὐτοῦ ἐν τῷ σώματί σου, λοιπὸν ἐρεῖ σοι οὐκ οἶδά σε, καὶ μέλλεις ὁρᾶν πάντας τοὺς ἁγίους τοὺς ἀποθανόντας διὰ τὸ ὄνομα αὐτοῦ, ἔχοντας τὸ σημεῖον αὐτοῦ, καὶ αἰσχυνθήσῃ φανῆναι ἐνώπιον αὐτῶν.

---

1) Ἐν τὸ Λατιν. ἀπαντῶσι τὰ ἑξῆς: Si mortuus es cum ipso, quis facit ista opera, id est ista peccata? Εἰ ἀπέθανες μετ' αὐτοῦ, τίς πράττει τὰς πράξεις ἐκείνας, ἤτοι τὰς ἁμαρτίας ἐκείνας;

2) Εὐεργετην. βιβλ. β'. ὑπόθεσ. λζ'. σελ. 115.

3) Ἴσως διορθωτέον τὸ χωρίον οὕτω: Εἰ τὸν τιμῶντα ἡμᾶς ἀγαπῶμεν, τί πλέον τοῦ ἐθνικοῦ ποιοῦμεν; Ἐν τῷ Λατιν. Si diligimus eos qui nos colunt, quid amplius facimus quam ethnici?

Ζήτησον τὸν βίον πάντων τῶν ἁγίων, καὶ εὑρήσεις αὐτοὺς κακῶς ὑπομείναντας καὶ μὴ ἀνταποδεδοκότας. Τὸ αἷμα πάντων αὐτῶν ἀναβοᾷ: Ἐκδίκησον ἡμᾶς ἀπὸ τῶν κατοικούντων τὴν γῆν (Ἀποκάλ. στ'. 10). Ἐγὼ δὲ ὁ ἀγαπήσας πᾶσαν ἀνάπαυσιν, τί ἔχω εἰπεῖν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ὁρῶν τοὺς προφήτας ἐκεῖ καὶ ἀποστόλους, καὶ μάρτυρας καὶ λοιποὺς τῶν ἁγίων, οἵτινες καταπονηθέντες ἐμακροθύμουν, μὴ ἀνταποδιδόντες, μηδὲ ὀργιζόμενοι[1], εἰδότες ὅτι οὐκ ἔστι θέλημα τοῦ ἀνθρώπου, ἀλλ᾽ ἀδικία ἐστὶ τοῦ διαβόλου ἡ ἀναγκάζουσα αὐτοὺς ταῦτα ποιῆσαι αὐτοῖς; ἀποκτεινόμενοι ὑπ᾽ αὐτῶν οὐκ ὠργίζοντο εἰς αὐτούς, ἢ λιθαζόμενοι ἢ κατακαιόμενοι ἢ καταποντιζόμενοι, ἀλλ᾽ ηὔχοντο ὑπὲρ αὐτῶν, ἵνα συγχωρηθῇ αὐτοῖς, γινώσκοντες τίς ἐστιν ὁ ἀναγκάζων αὐτοὺς ταῦτα ποιῆσαι αὐτοῖς. Ἐξερεύνησον οὖν καὶ σὺ σεαυτόν, ἀγαπητὲ ἀδελφέ, τί καὶ σὺ ποιεῖς, κατανόησον τὸν λογισμόν σου τί ἐστιν, ὃ ἔχεις ἐνώπιον τοῦ Θεοῦ· οὐδὲν γὰρ δύνασαι κρύψαι ἐν τῇ ὥρᾳ ἐκείνῃ· οὐκ ἔστι κατὰ τὸ θέλημα τοῦ ἀνθρώπου τινὰ φθέγξασθαι· ἀλλ᾽ ὅταν γένηται ἡ ἀνάστασις, ἕκαστος ἀνίσταται ἐνδεδυμένος τὴν ἰδίαν πρᾶξιν, καθάπερ ἔνδυμα, εἴτε δικαιοσύνην, εἴτε ἀδικίαν. Αὐτά ἐστι τὰ μέλλοντα λαλῆσαι καὶ αὐτὰ ἐπίστανται ποῦ ἐστιν ὁ τόπος αὐτῶν.

Ζ'. Μακάριος ὁ ἀγωνισάμενος καὶ ἐκδυσάμενος[2] τὰ ἕλκοντα αὐτὸν εἰς τὴν γέενναν, ἐνδυσάμενος τὰ ἕλκοντα αὐτὸν εἰς τὴν βασιλείαν. Λέγει γὰρ ὁ ἀπόστολος: «Οἴδαμεν δὲ ὅτι ἐὰν ἡ ἐπίγειος ἡμῶν οἰκία τοῦ σκήνους καταλυθῇ, οἰκοδομὴν ἔχομεν ἐκ Θεοῦ, οἰκίαν ἀχειροποίητον αἰώνιον ἐν τοῖς οὐρανοῖς» (Β'. Κορινθ. ε'. 1). Οὐδὲν γάρ ἐστιν ὁ καιρὸς τῆς ζωῆς ἡμῶν καὶ ἀπατώμεθα ἐφ᾽ ἑκάστης, ἕως φθάσῃ ἡμᾶς ἡ ὥρα, καὶ λυπηθῶμεν ἐν κλαυθμῷ αἰωνίῳ. Μὴ ἀπολύσωμεν τὴν καρδίαν ἡμῶν, ἀλλὰ πᾶσαν τὴν δύναμιν ἡμῶν ποιήσωμεν φροντίζοντες, καὶ φυλάττοντες, καὶ δεόμενοι πᾶσαν ὥραν τῆς ἀγαθότητος τοῦ Θεοῦ, ἵνα βοηθήσῃ ἡμῖν. Μὴ ὀργισθῶμεν οὖν εἰς τοὺς πλησίον[3] διὰ λόγους λεγο-

---

1) Τὰ ἑπόμενα μέχρι τοῦ «οὐδὲν γὰρ δύνασαι» κτλ. ἐλλείπουσιν ἐν τῷ Λατιν.
2) Ἤτοι, καὶ ἐνδυσάμενος.
1) Εὐεργετην. βιβλ. β'. ὑποθεσ, λζ'. σελ. 115.

μένους παρ' αὐτῶν ἐν ἀφροσύνῃ, οὐκ ἐν θελήματι αὐτῶν, ἀλλ' ἀνέργαστοι ὄντες, σκεύη δὲ ὑπάρχοντες τοῦ ἐχθροῦ, ξένοι γίνονται τοῦ Θεοῦ, ἕως ἐκλυθῶσι καὶ φύγωσιν ἐκ τοῦ σταδίου. Φροντίσατε οὖν, ἀγαπητοί, ἐν ἅπασι, τῆς ταπεινοφροσύνης, καὶ βαστάσατε τὴν ὕβριν καὶ τὴν ὑπομονήν, καὶ σχολάσατε πᾶσαν ὥραν ἀπολῦσαι τὸ θέλημα[1], ὅτι τὸ κρατεῖν τὸ θέλημα ἀπόλλει πάσας τὰς ἀρετάς, ὁ δὲ ἔχων τοὺς λογισμοὺς ἐκτεταμένους ἐν εὐθύτητι ἐκκόπτει τὸ θέλημα αὐτοῦ ἐν πρᾳότητι, φοβούμενος τὴν φιλονεικίαν, ὡς δράκοντα· αὕτη γὰρ καταστρέφει πᾶσαν τὴν οἰκοδομὴν καὶ ποιεῖ τὴν ψυχὴν σκοτισθῆναι τοῦ μὴ ἰδεῖν τι τοῦ φωτὸς τῶν ἀρετῶν. Φρόντισον οὖν τοῦ πάθους τούτου τοῦ κατηραμένου, τοῦ μίσγοντος ἑαυτὸ μετὰ τῶν ἀρετῶν, ἕως οὗ ἀπολέσῃ αὐτάς. Καὶ γὰρ ὁ Κύριος ἡμῶν Ἰησοῦς οὐκ ἀνέβη εἰς τὸν σταυρόν, ἕως οὗ ἀπέρριψε τὸν Ἰούδαν ἐκ μέσου τῶν μαθητῶν. Ἐὰν γὰρ μὴ ὁ ἄνθρωπος ἐκκόψῃ τὸ ἄτιμον τοῦτο πάθος, οὐ δύναται προκόψαι κατὰ Θεόν· αὐτῷ γὰρ ἐξακολουθοῦσι πάντα τὰ κακά. Τὸ μὴ βαστάσαι αὐτοῦ, ἐστὶν ἡ κενοδοξία· αὐτοῦ ἐστι· πάντα γὰρ ὅσα μισεῖ ὁ Θεός, κατοικεῖ ἐν τῇ ψυχῇ τοῦ φιλονείκου καὶ ὑψηλοφρονοῦντος, καὶ πάντα περὶ ὧν πείθουσι τὴν καρδίαν εἶναι τοῦ Θεοῦ, ψευδῆ εἰσι κατὰ πάσας τὰς Γραφάς [3].

Η'. Τὸ κρῖναι οὖν ἑαυτὸν πρότερον, φέρει τὴν ταπεινοφροσύνην καὶ τὸ ἀπολῦσαι τὸ θέλημά σου τῷ πλησίον ἐν γνώσει, αὕτη ἐστὶν ἡ ταπείνωσις. Ἡ ἁγνεία ἐστὶ τὸ εὔχεσθαι τῷ Θεῷ, τὸ μὴ μετρεῖν ἑαυτὸν ποιεῖ σε σχολάσαι, τὸ κλαῦσαι. Τὸ μὴ κρῖναί ἐστιν ἡ ἀγάπη. Ἡ μακροθυμία ἐστὶ τὸ μὴ λογίσασθαί τι κατὰ τοῦ πλησίον. Ἡ φιλόθεος καρδία ἐστὶ τὸ μὴ ἀνταποδοῦναι. Ἡ ἡσυχία ἐστὶ τὸ μὴ πείθεσθαι τοῖς μὴ ἀνήκουσί σοι· Ἡ πτωχεία ἐστὶν ἡ ἄκακος καρδία. Τὸ κτήσασθαι τὰς ἰδίας αἰσθήσεις ἐστὶν ἡ εἰρήνη. Τὸ βαστάσαι ἐστὶν ἡ πρᾳότης [4]. Ἡ ἐλεημοσύνη ἐστὶ τὸ συγχωρῆσαι. Τὸ δὲ ταῦτα γεννῶν ἐστι τὸ κόψαι τὸ θέλημά σου, καὶ αὐτὸ εἰρηνεύει τὰς ἀρετὰς μετὰ ἀλ-

1) Εὐεργ. βιβλ. α'. ὑπόθ. νδ'. σ. 155.
2) Παραλλαγαί τινες ἐν τῷ λατιν.
3) Κλῖμαξ Ἰωάν. σχόλ. 6'. τοῦ κδ'. λόγ. Πατρολ. τόμ. 88 σ. 985.

λήλων καὶ αὐτὸ καθιστᾷ τὸ ἡγεμονικὸν ἀτάραχον. Τέλος δὲ τούτων πάντων οὐδέν τι βλέπω εἰς πάσας τὰς Γραφάς, ὃ θέλει ὁ Θεὸς παρὰ τοῦ ἀνθρώπου, εἰμὴ τὸ ταπεινῶσαι ἑαυτὸν τῷ πλησίον ἐν ἅπασι, καὶ ἐκκόψαι τὸ θέλημά σου εἰς πάντα, καὶ δέεσθαι διὰ παντὸς τὴν βοήθειαν αὐτοῦ δοῦναι χεῖρα τῷ ἀνθρώπῳ, καὶ φυλάξαι τοὺς ὀφθαλμοὺς αὐτοῦ ἀπὸ τοῦ ὕπνου τῆς λήθης, καὶ τῆς πλάνης τῆς αἰχμαλωσίας, διότι ἡ φύσις τοῦ ἀνθρώπου πονηρὰ καὶ τρεπτή ἐστιν. Αὐτοῦ ἐστι τὸ φυλάξαι, αὐτοῦ ἐστιν ἡ δύναμις τοῦ παρασχεῖν ἡμῖν τὸ φυλάξαι, αὐτοῦ ἐστιν ἡ σκέπη τηρῆσαι τὴν πτωχείαν ἡμῶν. Αὐτός ἐστιν ἡ ἐπιστροφὴ ἐπιστρέψαι ἡμᾶς πρὸς αὐτόν. Αὐτοῦ ἐστιν ἡ εὐχαριστία χαρίσασθαι ἡμῖν αὐτήν. Αὐτοῦ ἐστι δοῦναι ἡμῖν χάριν τοῦ εὐχαριστεῖν αὐτῷ. Αὐτοῦ ἐστιν ἡ σκέπη φυλάξαι ἡμᾶς ἐκ χειρὸς τῶν ἐχθρῶν ἡμῶν. Αὐτοῦ ἐστιν ἡ τιμὴ καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν. Πλὴν ταῦτά ἐστι τὰ γεννῶντα τὴν φιλονεικίαν, καὶ αὐτὰ ἀνελεημόνως καταστρέφουσι τὴν ψυχήν, ἡ πολυλογία, ἡ πλοκολογία, τὸ μεταφέρειν λόγους πρὸς τῷ ἑκάστῳ ἀρέσκον, ἡ παρρησία, ἡ διγλωσσία, τὸ στῆσαι τὸν λόγον αὐτοῦ. Τοῦ ἔχοντος ταῦτα ἡ ψυχὴ στεῖρά ἐστιν ἀπὸ τῶν ἀρετῶν· Πλὴν μετὰ ταῦτα πάντα, ἐὰν μὴ ἡ ψυχὴ τὸν ἱδρῶτα δώσῃ ἑκάστης ἀρετῆς, οὐ δύναται φθάσαι εἰς τὴν κατάπαυσιν τοῦ Υἱοῦ τοῦ Θεοῦ. Μὴ οὖν ἀμελήσητε τοῦ βίου ἑαυτῶν, ἀδελφοί, καὶ ὁ νοῦς ἡμῶν προφασίσηται ἑκάστης ἐν ἔργοις ὀκνηρίας τῆς κακίας, καὶ ἀπόσχῃ ἡμῖν ὁ καιρός, πρὶν φθάσαι εἰς τὴν κατάπαυσιν τοῦ Υἱοῦ τοῦ Θεοῦ, ὅ ἐστιν ἡ ταπείνωσις ἐν πᾶσι, καὶ ἡ κακία [1], καὶ τὸ μισῆσαί τινα ἄνθρωπον, καὶ τὸ μὴ πεισθῆναι τινι πράγματι, μὴ ὄντι τοῦ Θεοῦ, καὶ σχεῖν τὰς ἁμαρτίας σου ἐνώπιόν σου, καὶ ἀποθανεῖν ἀπὸ παντὸς πράγματος τῆς κακίας, καὶ οὐκ ἔστι ψεύστης ὁ Θεὸς συνελθεῖν τῇ ἀσθενείᾳ ἡμῶν ἐν τοῖς οἰκτιρμοῖς αὐτοῦ· Ἀμήν.

---

1) Ἐν τῷ λατιν..... Quae in eo sita est, ut omnibus in rebus humilitatem atque innocentiam complectamini, et neminem oderitis.

# ΤΟΥ ΑΥΤΟΥ

## ΠΕΡΙ ΤΕΛΕΙΟΤΗΤΟΣ.

### *Λόγος κγ΄.*

Α΄. Εἶπέ τις τῶν Πατέρων, ὅτι ἐὰν μὴ κτήσηται ἄνθρωπος τὸ εἰς Θεὸν πιστεύειν, καὶ τὸ ἐπιποθεῖν τὸν Θεὸν διὰ παντός, καὶ τὴν ἀκακίαν, καὶ τὸ μὴ ἀνταποδοῦναι κακὸν ἀντὶ κακοῦ, καὶ τὴν κακοπάθειαν, καὶ τὴν ταπείνωσιν, καὶ τὴν ἁγνείαν, καὶ τὴν φιλανθρωπίαν, καὶ τὴν ἀποταγὴν καὶ τὴν πρᾳότητα, καὶ τὴν μακροθυμίαν, καὶ τὸ συνεχῶς παρακαλεῖν μετὰ πόνου καρδίας τὸν Θεὸν καὶ ἀγάπην ἀληθινὴν πρὸς τὸ μὴ ἀτενίσαι εἰς τὰ ὀπίσω, καὶ τὸ προσέχειν εἰς τὰ ἐπερχόμενα, καὶ τὸ μὴ πεποιθέναι ἐπὶ τῇ ἀγαθοεργίᾳ σου ἢ τῇ λειτουργίᾳ, καὶ τὸ παρακαλεῖν τὴν βοήθειαν τοῦ Θεοῦ διὰ τὰ ἐπερχόμενα αὐτῷ καθ' ἑκάστην, οὐ δύναται σωθῆναι. Οἱ γὰρ ἐχθροί σου, ὦ ἄνθρωπε, οὐ σιωπῶσιν ἀπὸ σοῦ. Μὴ ἀμελῇς οὖν, μηδὲ καταφρονήσῃς τῆς σεαυτοῦ συνειδήσεως, καὶ μὴ πιστεύσῃς σεαυτῷ τὸ σύνολον, ὅτι ἔφθασας εἴς τι ἄξιον τοῦ Θεοῦ, ὁρῶν σεαυτὸν ἐν χώρᾳ τῶν ἐχθρῶν σου. Ἡ κακοπάθεια ἐν γνώσει καταλαμβάνει τὰς γενομένας πρὸ αὐτῆς ἀμελείας, καὶ τὸ πένθος τῶν αἰσθήσεων ἰᾶται τὰ πλήγματα τῶν ἔνδοθεν πολεμίων. Ἡ πρὸς τὸν Θεὸν τελεία ἀγάπη, κατὰ τὸ αὐτοῦ θέλημα, ἀνθίσταται τοῖς κρυπτοῖς πολέμοις, τοὺς γὰρ κρυπτοὺς πολέμους ἡ κρυπτὴ ἁγνεία νικῶσα ἑτοιμάζει εἰς τὴν κατάπαυσιν τοῦ Υἱοῦ τοῦ Θεοῦ, καὶ ἡ φαινομένη ἁγνεία φυλάσσει τὰς ἀρετάς. Ἐὰν ἡ γνῶσίς ἐστιν ἡ γεννῶσα, αὕτη ἐστὶ καὶ ἡ φυλάττουσα· Τὸ εὑρεῖν τὴν εὐχαριστίαν [1] ἐν καιρῷ πειρασμοῦ ἀποστρέφει εἰς τὰ ὀπίσω τοὺς ἐπερχομένους

2) Εὐεργ. βιβλ. γ΄. ὑπόθ. λδ΄. σελ. 101.

πειρασμούς, καὶ τὸ μὴ πιστεύειν ἀρέσκειν τῷ Θεῷ [1] τὸν κόπον σου, παρασκευάζει τὴν βοήθειαν τοῦ Θεοῦ φυλάττειν σε· ὁ γὰρ δοὺς τὴν καρδίαν αὐτοῦ [2] ζητεῖν τὸν Θεὸν ἐν εὐσεβείᾳ κατὰ ἀλήθειαν, οὐ δύναται ἔννοιαν ἔχειν, ὅτι ἤρεσε τῷ Θεῷ. Ὅσον γὰρ ἐλέγχει αὐτὸν ἡ συνείδησις περί τινων τῆς παραφύσεως, ξένος ἐστὶ τῆς ἐλευθερίας· ὅσον γὰρ ἔστιν ὁ ἐλέγχων, ἔστι καὶ ὁ κατηγορῶν, καὶ ἐν ὅσῳ ἐστὶ κατηγορία, οὐκ ἔστιν ἐλευθερία. Ἐὰν ἴδῃς λοιπὸν εὐχόμενος σεαυτὸν μηδὲν τὸ σύνολον τῆς κακίας κατηγοροῦν σου, ἄρα ὄντως ἐλεύθερος εἶ καὶ εἰσῆλθες εἰς τὴν ἁγίαν αὐτοῦ κατάπαυσιν κατὰ τὸ θέλημα αὐτοῦ.

Β΄. Ἐὰν ἴδῃς ὁ καλὸς καρπὸς ἐνεδυναμώθη καὶ οὐκέτι πνίγουσιν αὐτὸν τὰ ζιζάνια τοῦ ἐχθροῦ, καὶ οὐκ ἀφ' ἑαυτῶν ἀπέστησαν, πεισθέντες ἐν πανουργίᾳ οἱ πολέμιοι, ὅτι οὐκέτι πολεμεῖς μετὰ τῶν αἰσθήσεων σου, καὶ ἐὰν ἡ νεφέλη ἐπεσκίασεν ἐπὶ τὴν σκηνήν, καὶ ὁ ἥλιος οὐ συνέκαυσέ σε ἡμέρας, οὐδὲ ἡ σελήνη τὴν νύκτα, ἐὰν εὑρεθῇ ἐν σοὶ πᾶσα ἡ ἑτοιμασία τῆς σκηνῆς τοῦ στῆσαι καὶ φυλάξαι αὐτήν, κατὰ τὸ θέλημα τοῦ Θεοῦ, ἄρα ἐγένετό σοι νίκη διὰ τὸν Θεὸν καὶ τότε λοιπὸν καὶ αὐτὸς ἐπισκιάσει ἐπὶ τὴν σκηνήν, ὅτι αὐτοῦ ἐστι καὶ αὐτὸς προπορεύεται αὐτῆς καὶ προευτρεπίζει τὴν κατάπαυσιν αὐτῆς. Εἰ μὴ γὰρ αὐτὸς προσταθῇ, ἐν ᾧ ἂν βούληται τόπῳ, οὐ δύναται αὐτὴ καταπαῦσαι, καθὼς ἡ Γραφὴ λέγει. Κίνδυνος λοιπόν ἐστι μέγας, ἄχρις ἂν γνῷ ἑαυτὸν ὁ ἄνθρωπος, καὶ μάθῃ ἀκριβῶς ὅτι οὐκ ἔστιν ἐν αὐτῷ ἔτι ἀπὸ τῶν ἐκδόντων ἑαυτοὺς εἰς τὴν παρόργησιν τῆς ποιήσεως τοῦ μοναχοῦ τὴν τὰς παραφύσεις διδάσκουσαν. Χρείαν οὖν ἔχομεν τὸν φόβον τῆς ἀγαθότητος αὐτοῦ ἄρχειν ἡμῶν, καὶ μνήμην νύσσουσαν ἡμᾶς ἀδειαλείπτως, καὶ ἁγίαν ταπείνωσιν πρὸς τὸ κυριεῦσαι τὰς καρδίας ἡμῶν ἐν πάσῃ ὥρᾳ διὰ τοῦ ἐλέους τοῦ Θεοῦ, μὴ ἀμελῆσαι τῶν ταῦτα παρασκευαζόντων καὶ φυλασσόντων αὐτὰ ἐμμένειν τῷ νοΐ ἕως τέ-

1) Εὐεργετην. βιβλ. α΄. ὑπόθεσ. με΄. σελ. 168. Κλῖμαξ Ἰωάν· σχόλ. στ΄. τοῦ κγ΄. λόγ. Πατρόλογ. 88 σελ. 972.

3) Φιλοκαλία τομ. α΄. σελ. 19 κεφ. ιη΄.

λους, καὶ τὸ εἰδέναι τὰς ἁμαρτίας αὐτοῦ ἀδιαλείπτως, καὶ τοῦ μὴ πιστεύειν ἑαυτῷ, ἐν ὅσῳ ἐστὶν ἐν δουλείᾳ πονηρᾷ.

Γ'. Λοιπὸν τὸ κρῖναι τὸν πλησίον, καὶ τὸ μέμψασθαι τὸν ἀδελφόν, καὶ τὸ ἐξουδενῶσαι ἐν τῇ καρδίᾳ, καὶ τὸ ψέξαι αὐτόν, ἐὰν εὕρωμεν καιρόν, καὶ τὸ διδάξαι αὐτὸν ἐν ὀργῇ, καὶ τὸ καταλαλῆσαι αὐτοῦ ἐπί τινος, τοῦτο καθίστησιν αὐτὸν ξένον τοῦ ἐλέους, οὗ τυγχάνουσιν οἱ ἅγιοι, καὶ τῶν ἐντίμων ἀρετῶν. Τὰ γὰρ τοιαῦτα τοὺς κόπους καταλύουσιν, οὓς ποιεῖ ὁ ἄνθρωπος καὶ ἀπόλλυσι τοὺς καλοὺς καρπούς. Εἴ τις λέγει, κλαίω τὰς ἁμαρτίας μου, καὶ πράττει τι τούτων, ἄφρων ἐστίν· εἴ τις λέγει, κλαίω τὰς ἁμαρτίας μου, καὶ ἔχει τι τούτων, ἑαυτὸν ἀπατᾷ. Ὁ ζητῶν ἡσυχίαν καὶ μὴ μετὰ ταύτης φροντίζων τοῦ ἐκκόψαι τὰ πάθη, τυφλός ἐστι τῆς ἁγίας οἰκοδομῆς τῶν ἀρετῶν. Ὁ ἀφεὶς τὰς ἁμαρτίας αὐτοῦ καὶ μεριμνῶν τοῦ διορθώσασθαι ἄλλον [1], ἀργός ἐστιν ἀπὸ τῆς ἐξ ὅλης καρδίας δεήσεως, καὶ τῆς ἐν γνώσει πρὸς τὸν Θεὸν παρακλήσεως. Αὕτη ἐστὶν ἡ ἀνδρεία, τὸ ἀνταγωνίσασθαι τὸν ἄνθρωπον ταῖς προτέραις αὐτοῦ ἁμαρτίαις, ὑπὲρ ὧν καὶ παρακαλεῖ συγχωρηθῆναι αὐτῷ ἐν πᾶσι, δεηθεὶς τοῦ μὴ πάλιν πεισθῆναι αὐταῖς, εἴτε ἐν τῇ καρδίᾳ αὐτοῦ, εἴτε ἐν πράξεσιν, εἴτε ἐν αἰσθήσεσιν. Ἐάν μὴ ἡ μνήμη τῶν ἁμαρτιῶν κατακυριεύσῃ τῆς καρδίας αὐτοῦ ἀδιαλείπτως, καὶ ἀποστρέψῃ αὐτὸν ἀπὸ παντὸς τῶν ἐν τῷ κόσμῳ πρὸς τὸ μὴ καταδυναστεῦσαι αὐτοῦ, οὐ δύναται κατασχεῖν τὰς ἁμαρτίας αὐτοῦ καὶ αὐταῖς ἀρκεσθῆναι καὶ ἀποστῆναι ἀπὸ τοῦ πλάσματος τοῦ Θεοῦ τοῦ μὴ κρῖναι αὐτό. Μακάριός ἐστιν ὁ καταξιωθεὶς τούτων ἐν ἀληθείᾳ καὶ οὐκ ἐν ὑποκρίσει, καὶ πλησμονῇ κακίας. Πλὴν τοῦτό ἐστι τὸ ἔργον τῶν ἀληθῶς πενθούντων τὸν νοῦν [2], σὺν ταῖς αἰσθήσεσι, διὰ τούτων τῶν φαινομένων, τὸ μὴ κρῖναι τὸν πλησίον. Ἐὰν γὰρ μὴ ἐπαρκέσωσί σοι αἱ ἁμαρτίαι σου ξένον σε ποιοῦσιν ἀπὸ τὸν πλησίον. Καὶ τὸ ἀνταποδοῦναι πονηρόν, μακρὰν ἐστιν ἀπὸ τοῦ πένθους· τὸ τυπῶσαί τι τῶν τοῦ κόσμου διὰ κε-

1) Εὐεργετην. βιβλ. δ'. ὑπόθεσ. λγ'. σελ. 128.
2) Εὐεργετην. βιβλ. β'. ὑπόθεσ. λβ'. σελ. 99.

νοδοξίαν, μακράν ἐστιν ἀπ' αὐτοῦ ἐν τῷ νοΐ· τὸ λυπεῖσθαι, ὅτι οὐκ ἔλαβόν σου γνώμην περὶ τύπου, μακράν ἐστιν ἀπ' αὐτοῦ· τὸ ποιῆσαι τὸ θέλημά σου, μακράν ἐστι ἀπ' αὐτοῦ· τὸ εἰπεῖν περί τινος, ὅτι καλός ἐστιν ἢ κακός, αἰσχύνη αὐτῷ ἐστιν, ὅτι ἔμαθεν ὅτι αἰσχρότερος αὐτοῦ ἐστι. Τὸ θέλειν γνῶναι περὶ πράγματος, ὃ οὐκ ἦν αὐτοῦ, αἰσχύνη αὐτῷ ἐστι καὶ ἀπαιδευσία καὶ αἰχμαλωσία πονηρά, μὴ συγχωροῦσα αὐτὸν εἰδέναι τὰς ἁμαρτίας αὐτοῦ[1].

Δ'. Ἐάν τις ὀνειδίσῃ σε καὶ πονήσῃς, οὐκ ἔστι κατὰ ἀλήθειαν ἐκεῖ τὸ πένθος. Ἐὰν γένηταί σοι πρᾶγμα περὶ δοσοληψίας, καὶ ἀποστερήσωσί σε καὶ κοπιάσῃς, οὐκ ἔστιν ἐκεῖ φόβος Θεοῦ. Ἐὰν εἴπωσι κατὰ σοῦ λόγον, ὃν οὐκ οἶδας, καὶ ταραχθῇς, οὐκ ἔστιν ἐκεῖ. Ἐὰν δοξάσῃ σέ τις καὶ καταδέξῃ, οὐκ ἔστιν ἐκεῖ. Ἐὰν ὑβρίσωσί σέ τινες καὶ πονήσῃς, οὐκ ἔστιν ἐκεῖ. Ἐὰν περιδράμῃς εἰς τοὺς ἐνδόξους τοῦ κόσμου, θέλων τὴν φιλίαν αὐτῶν, οὐκ ἔστιν ἐκεῖ. Ἐὰν διαλέγωνταί τινες μετὰ σοῦ καὶ θελήσῃς στῆσαι τὸν λόγον σου, οὐκ ἔστιν ἐκεῖ. Ἐὰν ὑπερίδωσι τοὺς λόγους σου καὶ πονήσῃς, οὐκ ἔστιν ἐκεῖ. Ταῦτα γὰρ πάντα φανεροῦσι τὸν παλαιὸν ἄνθρωπον, ὅτι ζῇ καὶ κατέχει, ὅτι οὐκ εἰσιν ἐκεῖ οἱ ἀντιπολεμοῦντες αὐτῷ, οὐδὲ τὸ ἀληθινὸν πένθος τῷ ἐργαζομένῳ κατὰ Θεόν. Δεῖ ὀφθαλμοὺς γενέσθαι νοεροὺς πρὸς τὸ γνωρίσαι ἑαυτόν, ὅτι ἐχθρός ἐστι τοῦ Θεοῦ κατὰ τὸ θέλημα ἑαυτοῦ. Ἐὰν φύλαξ ᾖς ἐντολῆς Θεοῦ, καὶ ποιήσῃς τὸ ἔργον σου ἐν γνώσει διὰ τὸν Θεόν, καὶ πεισθῇς, ὡς οὐ δύνασαι ἀρέσαι τῷ Θεῷ κατὰ τὴν δόξαν αὐτοῦ, καὶ ἐὰν πρὸ ὀφθαλμῶν σου στήσῃς τὰς ἁμαρτίας σου, εὑρήσῃς αὐτὰς ἀνθισταμένας τῷ σε καθελεῖν βουλομένῳ πονηρῷ διὰ τὸ δοκεῖν σε δικαιοῦσθαι, καὶ φυλάξουσι[2] τὴν οἰκοδομήν, ἣν ᾠκοδόμησε τὸ πένθος, τότε γνώσῃ ὅτι ἔγνως σεαυτὸν καὶ ποῦ κατοικεῖς, καὶ μὴ ἐμπιστεύσῃς τὴν καρδίαν σου, ὅτι ἐγένετό σοι νεῖκος. Καὶ γάρ, ἐὰν μὴ ἀπαντήσῃ ἄνθρωπος ἐν τῷ κριτηρίῳ, καὶ ἀκούσῃ τῆς ἀποφάσεως, καὶ γνῷ ὁποῖός ἐστιν ὁ

1) Ἐν τῷ ἀριθμῷ Γ', ἀρκετὰ ἐλλείπουσιν ἐν τῷ Λατινικῷ.
2) Μᾶλλον, καὶ φυλάξῃς.

τόπος αὐτοῦ, οὐ δύναται πεισθῆναι, ὅτι ὁ φόβος ἐστὶ τὸ ἀρέσαι τῷ Θεῷ· ἡ γὰρ κατὰ Θεὸν λύπη, κατατρώγουσα τὴν καρδίαν, δύναται κτήσασθαι τὰς αἰσθήσεις, καὶ τὸ ἀντιστῆναι μετὰ νήψεως, σῶα φυλάττει τὰ αἰσθητήρια τοῦ νοός· οὐχ ἱκανὸς γὰρ ἐστιν ὁ ἄνθρωπος, οὐδὲ δεδύνηται ἑαυτὸν πιστεῦσαι, ἀκαταπαύστως γὰρ ὀφείλει ἐν κόπῳ εἶναι, ὅσον ἐστὶν ἐν τῷ σώματι. Μακάριοι, οἱ μὴ θαρρήσαντες τῷ ἔργῳ αὐτῶν, ὡς ἀρέσαντι τῷ Κυρίῳ, καὶ αἰδούμενοι ἀπαντῆσαι τῷ Θεῷ διὰ τὸ μὴ θαρρεῖν τῷ ἔργῳ αὐτῶν, καὶ οἱ κατανοήσαντες τὴν δόξαν αὐτοῦ καὶ φθάνοντες ποιῆσαι τὸ θέλημα αὐτοῦ, κατὰ τὴν βούλησιν αὐτοῦ, γνόντες τὴν ἀσθένειαν ἑαυτῶν καὶ ἀρκεσθέντες τῇ λύπῃ ἑαυτῶν, κλαῦσαι ἑαυτοὺς καὶ ἀμεριμνῆσαι περὶ τοῦ πλάσματος τοῦ Θεοῦ, ὃ μέλλει αὐτὸς κρῖναι.

Ε'. Τὸ νεῖκος γάρ ἐστι τῷ ἐργαζομένῳ, ὅταν καταρτήσῃ ἑαυτὸν ὅλον τῷ Θεῷ, καὶ ὅταν τελειωθῇ, κατὰ τὸ θέλημα αὐτοῦ, τοῦτό ἐστι τὸ γεγράφθαι αὐτὸν ἐν βίβλῳ ζώντων, ὅταν μαρτυρήσωσι περὶ αὐτοῦ οἱ ἐπουράνιοι, ὅτι παρῆλθε τοὺς τῆς ἀριστερᾶς ἄρχοντας· τότε μνημόσυνον αὐτοῦ ἔστι μετὰ τῶν ἐπουρανίων. Ἕως δὲ ἔστι πόλεμος [1], ὑπὸ φόβον ἐστὶ καὶ τρόμον ὁ ἄνθρωπος, ἢ νικῆσαι σήμερον ἢ νικηθῆναι, ἢ νικᾶσθαι αὔριον ἢ νικῆσαι, ὁ ἀγὼν γὰρ περισφίγγει τὴν καρδίαν, ἡ δὲ ἀπάθεια ἀπολέμητός ἐστιν, ἐδέξατο γὰρ τὸ βραβεῖον καὶ ἠμερίμνησε περὶ τοῦ μέρους τῶν τριῶν τῶν μεμερισμένων, ὅταν φθάσωσιν ἀλλήλοις εἰρηνεῦσαι διὰ τοῦ Θεοῦ· ἔστι δὲ τὰ τρία, ψυχή, σῶμα, πνεῦμα, κατὰ τὸν ἀπόστολον (Α'. Θεσσαλ. ε'. 23). Ἐπιστέλλων γάρ που λέγει, ὅταν οὖν τὰ τρία ἓν γένωνται, διὰ τῆς ἐνεργείας τοῦ Πνεύματος τοῦ Ἁγίου, οὐκ ἔτι δύνανται χωρισθῆναι. «Χριστὸς γὰρ ἀπέθανε καὶ ἀνέστη καὶ οὐκέτι ἀποθνήσκει, θάνατος αὐτοῦ οὐκέτι κυριεύει» (Ρωμ. στ'. 9). ὁ γὰρ θάνατος αὐτοῦ ἡμῖν ἐγένετο σωτηρία, διὰ γὰρ τοῦ θανάτου αὐτοῦ ἐφάπαξ ἐνέκρωσε τὴν ἁμαρτίαν, καὶ ἡ ἀνάστασις αὐτοῦ ζωὴ ἐγένετο πᾶσι τοῖς ἐν δυνάμει αὐτὸν πιστεύσασι, καὶ τοὺς ἰδίους αὐτοῦ ἰάσατο ἀπὸ τῶν

1) Φιλοκαλία τομ. α'. σελ. 19'. κεφ. ιη'.

παθῶν εἰς τὸ ζῆν αὐτοὺς ἐν Θεῷ καὶ δοῦναι καρπὸν δικαιοσύνης. Μὴ λογίζου σεαυτόν, ὅτι ἀπέθανες, ἐν ὅσῳ βιάζῃ ὑπὸ τῶν ἐχθρῶν σου[1], εἴτε ἐν γρηγορήσει, εἴτε ἐν ὕπνῳ· ὅσον γάρ ἐστιν ὁ ταλαίπωρος ἐν τῷ σταδίῳ, οὐκ ἔχει τὸ θάρσος καὶ ὁρῶν ἀπὸ διαστήματος οὐ καταπιστεύει ταῖς ἑαυτοῦ πράξεσιν, ὁ δὲ ἄφρων καθ' ἑκάστην πίπτων, δοκεῖ νικᾶν, μὴ ὄντος ἀγῶνος ἐν τῷ σταδίῳ· διὰ τοῦτο εἶπεν ὁ Κύριος ἡμῶν τοῖς ἑαυτοῦ μαθηταῖς, ἀποστέλλων αὐτοὺς ἐπὶ τὸ κήρυγμα: «Μὴ ἀσπάσησθέ τινα ἐν τῇ ὁδῷ· ἀσπάσασθε τοὺς ἐν οἰκίᾳ καὶ ἐὰν ᾖ ἐκεῖ υἱὸς εἰρήνης παρ' αὐτῷ μείνατε καὶ ἐκεῖ καταπαύσει ἡ εἰρήνη ἡμῶν» (Λουκ. ι'. 4—5)· Καὶ πάλιν, Ἐλισσαῖος τῷ Γιεζί, εἶπεν ἀποστέλλων αὐτόν, ὅτι: «Ἐὰν εὕρῃς ἄνθρωπον, μὴ εὐλογήσῃς αὐτόν, μηδὲ σὺ εὐλογηθῇς παρά τινος (Δ'. Βασιλ. δ'. 29). ᾔδει γὰρ ὅτι οὐκ ἐζωοποιεῖτο τὸ παιδάριον, οὐδὲ εἶχε πρᾶξιν τοῦ ἀνεγεῖραι αὐτό. Ὅτε δὲ εἰσῆλθεν ὁ ἄνθρωπος τοῦ Θεοῦ, εἶδε τὸ παιδάριον ἀνακείμενον ἐπὶ τὴν κλίνην, καὶ ἀπέκλεισε κατὰ τοῦ παιδὸς καὶ καθ' ἑαυτοῦ τὴν θύραν, καὶ ἐποίησε τὸν ἀγῶνα μιᾶς ἑκάστης αἰσθήσεως καὶ τὰς πράξεις, ἐμβαίνων εἰς τὴν κλίνην πρὸς τὸν παῖδα καὶ κατερχόμενος καὶ περιπατῶν ἕως ἑπτάκις· καὶ ὅτε ἐθερμάνθη τὰ αἰσθητήρια, κατὰ τὴν βουλὴν τοῦ Πνεύματος τοῦ Θεοῦ, ἀνεῴχθησαν οἱ ὀφθαλμοὶ τοῦ παιδίου.

ΣΤ'. Τί οὖν ἔχομεν εἰπεῖν ἡμεῖς οἱ ταλαίπωροι, οἱ ἀγαπῶντες τὴν δόξαν τοῦ κόσμου τούτου, ὑπὲρ τὴν ἀγάπην τοῦ Θεοῦ, οἱ μὴ γινώσκοντες τὸ πῶς πολεμῆσαι, οἱ σπουδάζοντες ἐλθεῖν εἰς τὴν ἀνάπαυσιν, μὴ εἰδότες τὴν μακροθυμίαν τοῦ Θεοῦ, ὅτι ἀφίησι τὰ ζιζάνια σὺν τῷ καλῷ καρπῷ, καὶ ἐὰν μὴ φθάσῃ ὁ καλὸς καρπὸς καὶ τελειωθῇ, οὐκ ἀποστέλλει συνάξαι τὰ ζιζάνια, ἐπεὶ καὶ Γιεζὶ ἐποίησε τῆς πορείας τὸν δρόμον, ἀλλ' οὐκ ἔφθασεν ἐξεγεῖραι τὸ παιδίον, ὅτι ἠγάπησε τὴν δόξαν τῶν ἀνθρώπων ὑπὲρ τὴν δόξαν τοῦ Θεοῦ; Μακάριοι οἱ ὀφθαλμοί, οἱ ἐν γνώσει αἰσχυνόμενοι[2] ἀτενίσαι πρὸς τὸν Θεόν, καὶ οἱ ἐπιμελούμενοι τοὺς

---

1) Τὸ Λατιν. κείμενον φέρει τὸ ἑξῆς Γραφικὸν χωρίον τοῦ Ἰώβ (ζ'. ι): «Πότερον, οὐχὶ πειρατήριόν ἐστιν ὁ βίος ἀνθρώπου ἐπὶ τῆς γῆς»;

2) Εὐεργ. βιβλ:. γ', ὑπόθ. ή, σ. 25.

μώλωπας αὐτῶν ἰατρεῦσαι ἐν γνώσει, καὶ γινώσκοντες τὰς ἁμαρτίας αὐτῶν καὶ δεόμενοι ὑπὲρ τῆς ἀφέσεως αὐτῶν. Οὐαὶ δὲ τοῖς ἀναλώσασι τὸν καιρὸν αὐτῶν, νομίσαντες ἀναμάρτητοι εἶναι, καὶ καταπατοῦντες τὴν ἰδίαν συνείδησιν, μὴ βουλόμενοι παρ' αὐτῆς κατανύσσεσθαι, μηδὲ ἐπιγινώσκειν, ὅτι οὐκ ἔστι μικρὸν τὸ παρὰ μικρὸν εἶναι· καθάπερ ὁ γεωργὸς πᾶν σπέρμα σπείρων, ἐὰν μὴ τελεσφορηθῇ, μάταιον αὐτὸ ἔχει καὶ ἄρχεται [1] ἐπὶ τὸν κόπον αὐτοῦ διὰ τὸ μὴ τελεσφορηθῆναι, οὕτως ὁ ἄνθρωπος, ἐὰν ἴδῃ τὰ μυστήρια πάντα καὶ πᾶσαν τὴν γνῶσιν (Α'. Κορινθ. ιγ'. 2) καὶ ποιήσῃ δυνάμεις πολλὰς καὶ ἰάματα, καὶ ἔσται ἐν κακοπαθείαις ποικίλαις, καὶ γυμνὸς ἕως αὐτοῦ τοῦ ἐνδύματος αὐτοῦ, ἀκμὴν ὑπὸ φόβον ἐστί, μὴ θαρρῶν τῇ ἑαυτοῦ συνειδήσει· ἔτι γὰρ ἔχει ἐχθρούς, καὶ θηρευτάς, καὶ ἐπιβούλους, ἕως ἀκούσῃ τὸν λόγον τοῦτον ὅτι «ἡ ἀγάπη οὐδέποτε ἐκπίπτει ἀλλὰ πάντα πιστεύει, καὶ ἐλπίζει, καὶ ὑπομένει ἐν πᾶσιν» (αὐτοθ 8, 7).

Ζ'. Ὢ πόσος κόπος ἐστὶν ἡ ὁδὸς τοῦ Θεοῦ, καθάπερ εἶπεν, ὅτι: «Στενὴ ἐστιν ἡ πύλη καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωήν, καὶ ὀλίγοι εἰσὶν οἱ εὑρίσκοντες αὐτὴν» (Ματθ. ζ'. 14). Καὶ ἡμεῖς οἱ ἀργοὶ καὶ φιλοπαθεῖς ἀνάπαυσιν αὐτὴν ἔχομεν, ὅτι οὐ δυνάμεθα βαστάσαι τὸν ζυγόν, ὃν εἶπεν, ὅτι : «Ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς καὶ μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾷός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ἡμῶν· ὁ γὰρ ζυγός μου χρηστὸς καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστι» (Ματθ. ια'. 29—30). Καὶ τὶς σοφός, κατὰ Θεόν, ὃς οὐκ ἀγωνίζεται ἐν πάσῃ αὐτοῦ δυνάμει ποιῆσαι τὴν κακοπάθειαν, ἐν παντὶ κόπῳ καὶ φυγῇ, ἐν ἡσυχίᾳ καὶ φυλακῇ καὶ μερίμνῃ, καὶ εὑρήσει ἑαυτὸν πάλιν ἀνάξιον ὄντα εἰπεῖν ἐκ τοῦ στόματος αὐτοῦ τὸ ὄνομα τοῦ Θεοῦ; Διὰ γὰρ τὰ πάθη τὰ ἐν ἡμῖν ἐνεργοῦντα ὁ Δεσπότης Κύριος Ἰησοῦς ἐπεδήμησεν, ἵνα ἐν ἡμῖν τοῖς μὴ κατὰ σάρκα περιπατοῦσιν, ἀλλὰ κατὰ πνεῦμα, αὐτὰ θανατώσῃ δείξας ἡμῖν πᾶσαν τὴν βουλὴν τοῦ Πατρός. Διδάσκων γὰρ ἔλεγε τοῖς ἑαυτοῦ μαθη-

1) Μᾶλλον, ἄχθεται, ὡς ἐν τῷ λατιν. queritur, ὀδύρεται.

ταῖς: «Ὅταν τὰ προστεταγμένα πάντα ποιήσητε, λέγετε ὅτι δοῦλοι ἀχρεῖοί ἐσμεν· ἃ γὰρ ὠφείλομεν ποιῆσαι πεποιήκαμεν (Λουκ. ιζ'. 10)· ταῦτα ἔλεγε[1] τοῖς ποιήσασι τὸν κόπον καὶ φυλάξασιν αὐτόν, ὅτι ἔγνωσαν τοὺς συλοῦντας καὶ κλέπτοντας τὸν κόπον αὐτῶν. Πᾶν ἰοβόλον ἐὰν ἴδῃ τις, φεύγει μετὰ φόβου, εἴτε ὄφιν, εἴτε ἔχιδναν, εἴτε σκορπίον, εἴτε πᾶν ὑπεξούσιον ἰοῦ θανάτου, καὶ ἡ ἀναιδὴς καὶ ταλαίπωρος ψυχὴ ἀνέχεται πάντων τῶν θανατούντων αὐτήν, καὶ οὐ φεύγει ἀπ' αὐτῶν οὐδὲ ἀφίσταται, ἀλλὰ ἡδύνεται ἐν αὐτοῖς καὶ πείθεται τῇ καρδίᾳ μετ' αὐτῶν· διὰ τοῦτο ἀναλίσκει τὸν καιρὸν αὐτῆς, στεῖρα οὖσα.

---

1) «Ταῦτα ἔλεγε» κ τ λ. μέχρι τέλους τῆς περιόδου ἐλλείπει ἐν τῷ Λατιν.

# ΤΟΥ ΑΥΤΟΥ

## ΠΕΡΙ ΑΠΑΘΕΙΑΣ.

### *Λόγος κδ'.*

Ἐν τῇ ὁδῷ τῶν ἀρετῶν [1] ἔστι πτώματα, ἔστι καὶ ἔχθρα, ἔστι καὶ μεταβολή, ἔστιν ἀλλαγή, ἔστι μέτρα, ἔστιν ἐλάττωσις, ἔστιν ἀθυμία, ἔστι χαρά, ἔστι πόνος καρδίας, ἔστι στυγνότης, ἔστιν ἀνάπαυσις καρδίας, ἔστι προκοπή, ἔστι βία. Ὁδοιπορία γάρ ἐστιν, ἕως οὗ φθάσῃ εἰς τὴν κατάπαυσιν. Ἡ δὲ ἀπάθεια μακράν ἐστιν ἀπὸ πάντων τούτων, καὶ οὐ χρείαν ἔχει τινός· ἔστι γὰρ ἐν τῷ Θεῷ, καὶ ὁ Θεὸς ἐν αὐτῇ· Ἔχθραν οὐκ ἔχει, πτῶμα οὐκ ἔχει ἔτι, οὐκ ἀπιστίαν, οὐ κόπον φυλακῆς, οὐ φόβον πάθους, οὐκ ἐπιθυμίαν ἐν οὐδενὶ περί τινος πράγματος, οὐ πόνον περί τινος ἔχθρας. Μεγάλαι εἰσὶν αἱ δόξαι αὐτῆς [2] καὶ ἀναρίθμητοι. Ἐν ὅσῳ δὲ ἔστι φόβος περί τινος πάθους, μακράν ἐστιν ἀπ' αὐτῆς, καὶ ἐν ὅσῳ κατηγορία ἀνέρχεται ἀπὸ τῆς καρδίας, ξένος αὐτῆς ἐστι. Τοῦτό ἐστι τὸ σῶμα, ὅπερ ἀνέλαβεν ὁ Κύριος Ἰησοῦς [3], καὶ αὕτη ἐστὶν ἡ ἀγάπη, ἣν ἐδίδαξε τοῖς ἑαυτοῦ ποιῆσαι ἐν χαρᾷ. Διὰ τοῦτο πολλοὶ ἰδιῶται [4] ἐνόμισαν αὐτῆς [5] φθάσαι, ἔτι τῶν παθῶν ζώντων ἐν τῇ ψυχῇ, καὶ τοῦ σώματος μὴ παντελῶς καθαρεύοντος καὶ ἐξέκλιναν ἐκ τοῦ ὀφειλομένου· συγχωρήσατέ μοι διὰ τὸν Θεόν [6].

---

1) Εὐεργετηνν. βιβλ. δ'. ὑπόθεσ. κβ'. σελ. 82.
2) Ἐν τῷ Λατιν. Dotes.
3) «Τοῦτό ἐστι τὸ σῶμα, ὅπερ ἀνέλαβεν ὁ Κύριος Ἰησοῦς» δὲν ἀναγινώσκεται ἐν τῷ Λατιν.
4) Ἤτοι, ἄπειροι, ὡς τὸ Λατιν. Imperitus.
5) Μᾶλλον, αὐτήν.
6) Ἐν τῷ Λατιν. Cui gloria in saecula saeculorum. Amen.

# ΤΟΥ ΑΥΤΟΥ

## ΠΡΟΣ ΤΟΝ ΑΒΒΑΝ ΠΕΤΡΟΝ, ΤΟΝ ΑΥΤΟΥ ΜΑΘΗΤΗΝ.

### *Λόγος κε΄.*

Α΄. Καθὼς γεγράφηκάς μοι, ὅτι μετάνοιαν θέλω δοῦναι τῷ Θεῷ περὶ τῶν ἁμαρτιῶν μου, ἐὰν ὁ Κύριος ἀπαλλάξῃ με ἐκ τῆς πικρᾶς φροντίδος τοῦ κόσμου, ἧς ἔχω, καλῶς εἶπας, ἐὰν ἀπαλλαγῶ ἀπὸ τοῦ ἔργου τοῦ αἰῶνος τούτου. Ἐπειδὴ ἀδύνατον νοῦν φροντίσαι συναμφότερα, καθὼς καὶ ὁ Κύριος εἶπεν, ὅτι: «Οὐ δύνασθε Θεῷ δουλεύειν καὶ μαμωνᾷ» (Ματθ. στ΄. 25)· Ὁ γὰρ μαμωνᾶς σημεῖόν ἐστι πάσης τῆς ἐργασίας τοῦ κόσμου τούτου. Ἐὰν μὴ καταλείψῃ αὐτὴν ὁ ἄνθρωπος [1], οὐ δύναται λατρεῦσαι τῷ Θεῷ. Ἡ λατρεία οὖν τοῦ Θεοῦ ποία ἐστίν, εἰ μὴ τὸ μὴ ἔχειν ἡμᾶς ἀλλότριόν τι ἐν τῷ νοΐ ἐν τῷ εὐλογεῖν αὐτόν, μηδὲ ἡδονὴν ἐν τῷ εὔχεσθαι αὐτῷ, μηδὲ κακίαν ἐν τῷ ᾄδειν αὐτῷ, μηδὲ μῖσος ἐν τῷ προσκυνεῖν αὐτῷ, μηδὲ ζῆλον πονηρὸν κωλύοντα ἡμᾶς ἐν τῷ ἀδολεσχεῖν αὐτῷ, μηδὲ ἡδονὴν αἰσχρὰν ἐν τοῖς μέλεσιν ἡμῶν ἐν τῷ μνημονεύειν ἡμᾶς αὐτοῦ; Πάντα γὰρ ταῦτα σκοτεινὰ τείχη εἰσί, περιέχοντα τὴν ταλαίπωρον ψυχήν· καὶ οὐ δύναται ἁγνῶς λατρεῦσαι τῷ Θεῷ, ἔχουσα ἐν αὐτῇ ταῦτα, κωλύουσι γὰρ αὐτὴν ἐν τῷ ἀέρι καὶ οὐκ ἐῶσιν αὐτὴν ἀπαντῆσαι τῷ Θεῷ καὶ ἐν τῷ κρυπτῷ εὐλογῆσαι αὐτόν, καὶ προσεύξασθαι αὐτῷ ἐν γλυκύτητι ἀγάπης, καί ἐν ἡδύτητι καρδίας, καὶ ἐν θελήματι ἁγίῳ, ὅπως φωτισθῇ ἐξ αὐτοῦ· διὰ τοῦτο ὁ νοῦς σκοτίζεται πάντοτε καὶ οὐ δύναται προκόψαι [2] κατὰ Θεόν, ὅτι οὐ φροντίζει ταῦτα ἐν γνώσει

---

1) Εὐεργετην. βιβλ. δ΄. ὑπόθεσ. η΄. σελ. 48. Φιλοκαλία τομ. α΄. σελ. 18, κεφ. ιγ΄.
2) Εὐεργετην. βιβλ. α΄. ὑπόθεσ. κδ΄. σελ. 79.

κόψαι, ἀδύνατον δὲ φροντίσαι τοῦ κόψαι αὐτά, εἰ μὴ ἀμέριμνος εὑρεθῇ ἀπὸ τῶν τοῦ αἰῶνος τούτου. Δύο γὰρ ὗλαί εἰσι, συνέχουσαι τὴν ψυχήν, μία μὲν ἔξωθεν, ἡ φροντίζουσα τοῦ αἰῶνος τούτου δι' ἀνάπαυσιν τοῦ σώματος, ἑτέρα δὲ ἔνδοθεν ἡ τῶν παθῶν, κωλύουσα τὰς ἀρετάς· Ἀλλ' οὐ βλέπει ἡ ψυχὴ τὴν ἔνδοθεν τὴν τῶν παθῶν, ἐὰν μὴ ἐλευθερωθῇ τῆς ἔξωθεν. Διὰ τοῦτο εἶπεν ὁ Κύριος ὅτι, πᾶς ὁ μὴ ἀποτασσόμενος παντὶ θελήματι αὐτοῦ, οὐ δύναταί μου μαθητὴς γενέσθαι (Λουκ. ιδ΄. 26)· ἡ μὲν ἔξωθεν ὕλη ἐκ τοῦ θελήματος, ἡ δὲ ἔνδοθεν ἐκ τῆς ἔξωθεν πράξεως. Εἰδὼς οὖν ὁ Δεσπότης ἡμῶν Ἰησοῦς, ὅτι τὸ θέλημά ἐστι τὸ κατακυριεῦον τῶν ἀμφοτέρων, προσέταξε κόψαι αὐτό, ἐπειδὴ νεκροῦται ὁ νοῦς, ὅσον ἡ ψυχὴ μεριμνᾷ τὰ ἔξωθεν, καὶ λοιπὸν τὰ ἔνδοθεν πάθη πράττει τὰς ἐνεργείας αὐτῶν ἀδιαφόρως. Ἐὰν οὖν ἡ ψυχὴ ἀκούσῃ τοῦ λόγου τοῦ Ἰησοῦ, ἐκκόπτει πάντα τά θελήματα αὐτῆς, μισεῖ πᾶσαν ἐργασίαν τοῦ κόσμου τούτου, καὶ τότε ἐγείρεται ὁ νοῦς καὶ ἵσταται, ἕως οὗ ἀπορρίψῃ αὐτὰ ἐκ τοῦ οἴκου αὐτοῦ, προσέχων τῇ ψυχῇ ἀδιαλείπτως καὶ φυλάττων αὐτῇ μὴ ὑποστρέψαι εἰς τὰ ὀπίσω ἐπὶ τοὺς ἀδικήσαντας αὐτήν.

Β΄. Ἡ ψυχὴ γάρ ἐστιν ὁμοία γυναικὶ νεάνιδι, οὔσῃ μετὰ ἀνδρός, ἥτις, ὅταν ἀπέλθῃ ἐπὶ ξένης ὁ ἀνὴρ αὐτῆς, ἄφοβος καὶ ἀναίσχυντος γίνεται, μὴ φροντίζουσα τῶν ἐν τῷ οἴκῳ αὐτῆς ἐν σπουδῇ. Ἐπὰν δὲ ἔλθῃ ὁ ἀνὴρ αὐτῆς εἰς τὸν οἶκον αὐτοῦ, παραχρῆμα φοβουμένη ἀφίσταται ἀπὸ τῶν πραττομένων ὑπ' αὐτῆς, καὶ φροντίζει κατὰ τὸ θέλημα τοῦ ἀνδρός, καὶ αὐτὸς φροντίζει ἐλθὼν τῶν ἐν τῷ οἴκῳ αὐτοῦ ἐν πᾶσιν οἷς χρείαν ἔχει. Τοιοῦτός ἐστιν ὁ νοῦς, ἐὰν ἐγερθῇ, φροντίζει τῆς ψυχῆς καὶ φυλάττει αὐτὴν ἀδιαλείπτως, ἕως γεννήσῃ μετ' αὐτοῦ καὶ ἐκθρέψῃ τὰ τέκνα αὐτῆς καὶ λοιπὸν οἱ ἀμφότεροι μία καρδία γίνονται, καὶ ὑποτάσσεται ἡ ψυχὴ τῷ νοΐ, καὶ ὑποτάσσεται αὐτῷ, καθὼς γέγραπται ἐν τῷ ἀποστόλῳ, ὅτι: «Ὁ ἀνὴρ κεφαλὴ τῆς γυναικός ἐστι» (Α΄. Κορινθ. ια΄. 3)· πάλιν : «Ὁ ἀνὴρ μὲν γὰρ οὐκ ὀφείλει κατακαλύπτεσθαι τὴν κεφαλήν, εἰκὼν καὶ δόξα Θεοῦ ὑπάρχων· γυνὴ δὲ δόξα ἀνδρός ἐστι. Οὐ γάρ ἐστιν ἀνὴρ ἐκ γυναικός, ἀλλὰ γυνὴ ἐξ ἀνδρός· καὶ γὰρ οὐκ ἐκτίσθη ἀνὴρ

διὰ τὴν γυναῖκα, ἀλλὰ γυνὴ διὰ τὸν ἄνδρα. Διὰ τοῦτο ὀφείλει ἡ γυνὴ ἐξουσίαν ἔχειν ἐπὶ τῆς κεφαλῆς διὰ τοὺς ἀγγέλους· πλὴν οὔτε γυνὴ χωρὶς ἀνδρός, οὔτε ἀνὴρ χωρὶς γυναικὸς ἐν Κυρίῳ· ὥσπερ γὰρ ἡ γυνὴ ἐξ ἀνδρός, οὕτω καὶ ὁ ἀνὴρ διὰ τῆς γυναικός, τὰ δὲ πάντα ἐκ τοῦ Θεοῦ» (αὐτοθ. 7—12). Ὁ λόγος οὗτος τοῖς ἀξιωθεῖσίν ἐστι καὶ ἐγγενομένοις τῷ Κυρίῳ σχῆμα μηκέτι ἔχοντας [1]. Οὗτοί εἰσιν οἱ εὐχόμενοι τῷ Θεῷ ἐν ἁγνείᾳ, οὗτοί εἰσιν οἱ εὐλογοῦντες τὸν Θεὸν ἐν καρδίᾳ ἁγίᾳ, οὗτοί εἰσιν οἱ φωτισθέντες ἐκ Θεοῦ, οὗτοί εἰσιν οἱ ἀληθῶς προσκυνηταί, οὓς ὁ Θεὸς ζητεῖ, οὗτοί εἰσι περὶ ὧν εἶπεν, ὅτι : «Ἐνοικήσω ἐν αὐτοῖς καὶ ἐμπεριπατήσω» (Β'. Κορινθ. στ'. 16). Τοῦτό ἐστιν, ὃ εἶπεν, ὅτι : «Ἐὰν συμφωνήσωσι δύο περὶ πάντων, ὧν ἐὰν αἰτήσωνται ἐπὶ τῷ ὀνόματί μου γενήσεται αὐτοῖς» (Ματθ. ιη'. 19). Θέλει οὖν τοὺς ἑαυτοῦ ὑγιεῖς εἶναι ἀπὸ τῆς φαινομένης ὕλης καὶ τῆς κεκρυμμένης ἐν τῇ ψυχῇ καὶ ἀπὸ πάντων, ὧν κατήργησεν ἐν τῷ σώματι αὐτοῦ διὰ τῆς ἐνανθρωπήσεως αὐτοῦ, καθὼς εἶπε : «Μείνατε ἐν ἐμοί, κἀγὼ ἐν ὑμῖν» (Ἰωάν. ιε'. 4). Εἶδες, ἀδελφέ, ὅτι πρῶτον θέλει ἡμᾶς μεῖναι ἐν αὐτῷ διὰ τῆς πράξεως, καὶ αὐτὸς ἐν ἡμῖν μένει διὰ τῆς ἁγνείας κατὰ τὴν ἡμῶν δύναμιν;

Γ'. Ἀλλ' ἐρεῖ τις, ὅτι ἔμεινα ἐν αὐτῷ διὰ τοῦ βαπτίσματος, τὴν δὲ πολιτείαν οὐ δύναμαι ποιῆσαι. Ἄκουε, ἀγαπητέ. Πάντως ὁ δεχόμενος τὸ βάπτισμα, δέχεται εἰς κατάργησιν ἁμαρτίας, καθὼς εἶπεν ὁ Ἀπόστολος, ὅτι : «Συνετάφημεν αὐτῷ διὰ τοῦ βαπτίσματος εἰς τὸν θάνατον, ἵνα καταργηθῇ τὸ σῶμα τῆς ἁμαρτίας, τοῦ μηκέτι δουλεύειν ἡμᾶς τῇ ἁμαρτίᾳ» (Ρωμ. στ'. 4—6), ἀδύνατον γὰρ μεῖναι τὸν Χριστὸν σὺν τῇ ἁμαρτίᾳ ἐπὶ τὸ αὐτό. «Εἰ οὖν ἐνῴκησεν ἐν σοὶ ὁ Χριστός, ἀπέθανεν ἡ ἁμαρτία, τὸ δὲ πνεῦμα ζῇ διὰ δικαιοσύνην, καθὼς εἶπεν ὁ ἀπόστολος· ἡ γὰρ ὕπανδρος γυνὴ τῷ ζῶντι ἀνδρὶ δέδεται νόμῳ»· Ἐὰν δὲ ἀποθάνῃ ὁ ἀνήρ, κατήργηται ἀπὸ τοῦ νόμου τοῦ ἀνδρός. Ἄρα οὖν, ζῶντος τοῦ ἀνδρός, μοιχαλὶς χρηματίζει, ἐὰν γένηται ἀνδρὶ ἑτέρῳ·

---

1) Ἡ μετοχὴ ἔχοντας, μένει ἀνανταπόδοτος.

Ἐὰν δὲ ἀποθάνῃ ὁ ἀνήρ, ἐλευθέρα ἐστὶν ἀπὸ τοῦ νόμου, τοῦ μὴ εἶναι αὐτὴν μοιχαλίδα γενομένην ἀνδρὶ ἑτέρῳ» (Ρωμ. η΄. 10 καὶ ζ΄. 2). Ὁ οὖν θέλων γνῶναι, εἰ ἐνῴκησεν ἐν αὐτῷ ὁ Χριστός, κατανοήσει ἐκ τῶν ἰδίων λογισμῶν· ὅσῳ γὰρ πείθει τὴν καρδίαν αὐτοῦ ἡ ἁμαρτία, οὔπω ὁ Θεὸς ἐνῴκησεν ἐν αὐτῷ, οὐδὲ τὸ πνεῦμα αὐτοῦ εὗρεν ἀνάπαυσιν ἐν αὐτῷ. Δεῖ γὰρ τὸν Θεὸν ἐνοικῆσαι ἐν τῷ ἀνθρώπῳ, ἐὰν τὴν πρᾶξιν ποιήσῃ καὶ τὸν ἄνθρωπον ἐν τῷ Θεῷ, ἐὰν ἐλευθερωθῇ ἡ ψυχή[1], καθὼς εἶπεν ὁ ἀπόστολος, ὅτι: «Ὁ κολλώμενος τῇ πόρνῃ ἓν σῶμά ἐστιν, ὁ δὲ κολλώμενος τῷ Κυρίῳ ἓν πνεῦμά ἐστι» (Α΄. Κόρινθ. στ΄. 16, 17) Πᾶσα γὰρ παράφυσις πόρνη ὀνομάζεται. Ἐὰν οὖν ἐλευθερωθῇ ἡ ψυχή, καὶ παρέλθῃ τὰ κωλύοντα αὐτὴν ἐν τῷ ἀέρι, τότε μένει ἐν τῷ Θεῷ καὶ δέχεται ἐκ τοῦ πνεύματος αὐτοῦ, κατὰ τὸ εἰρημένον, ὅτι: «Ὁ κολλώμενος τῷ Κυρίῳ ἓν πνεῦμά ἐστιν», καὶ διδάσκει αὐτὴν τὸ πῶς εὔχεσθαι, προσκυνοῦσαν αὐτῷ ἀδιαλείπτως καὶ κολλωμένην αὐτῷ, καὶ αὐτὸς δὲ μένει ἐν αὐτῇ, χορηγῶν αὐτῇ καὶ ἀναπαύων ἀδιαλείπτως, ἀποκαλύπτων αὐτῷ τὰς τιμὰς καὶ τὰ χαρίσματα αὐτοῦ τὰ ἀνεκλάλητα· ἀναγεννᾶται γὰρ παρ' αὐτοῦ διὰ τοῦ βαπτίσματος καὶ τῆς ἐμφυσήσεως τοῦ πνεύματος αὐτοῦ, καθὼς γέγραπται, ὅτι: «Ὁ γεγεννημένος ἐκ τοῦ Θεοῦ οὐχ ἁμαρτάνει, οὐδὲ ἅπτεται αὐτοῦ ὁ πονηρὸς» (Α΄. Ἰωάν. ε΄. 18), ὅτι ἐκ τοῦ Θεοῦ γεγέννηται, καθὼς εἶπεν ἐν τῷ Εὐαγγελίῳ, ὅτι «Ἐὰν μὴ στραφῆτε καὶ γένησθε ὡς τὰ παιδία, οὐ δύνασθε εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν» (Ματθ. ιη΄. 3)· καὶ πάλιν «Γίνεσθε ὡς ἀρτιγέννητα βρέφη τὸ λογικὸν ἄδολον γάλα ἐπιποθοῦντες, ἵνα ἐν αὐτῷ αὐξηθῆτε» (Α΄. Πέτρ. β΄. 2).

Δ΄. Ποῖον οὖν ἐστι τὸ ἔργον τοῦ παιδίου; Τὸ παιδίον, ἐὰν δαρῇ, κλαίει, καί, μετὰ τῶν χαιρόντων μετ' αὐτοῦ, χαίρει. Ἐὰν ὑβρισθῇ, οὐκ ὀργίζεται καὶ δοξαζόμενον οὐκ ἐπαίρεται. Ἐὰν τιμήσωσι τὸν ἕτερον αὐτοῦ ὑπὲρ αὐτὸν οὐ ζηλοῖ. Ἐὰν λάβωσι τὰ αὐτοῦ οὐ ταράσσεται. Ἐὰν καταλείψωσιν αὐτὸν ὀλίγον εἰς κληρονομίαν, οὐκ ἐπίσταται. Οὐκ εἰσέρχεται εἰς κρίσιν μετά τι-

1) Ἤτοι, ἀπὸ τῆς ἁμαρτίας.

νος. Οὐ φιλονεικεῖ διὰ τὰ αὐτοῦ. Οὐ μισεῖ τινα ἄνθρωπον. Ἐὰν πτωχὸς ᾖ, οὐ λυπεῖται. Ἐὰν πλούσιος ᾖ, οὐχ ὑψηλοφρονεῖ. Ἐὰν ἴδῃ γυναῖκα, οὐκ ἐπιθυμεῖ αὐτῆς. Ἡδονὴ ἢ φροντὶς οὐ κατακυριεύει αὐτοῦ. Οὐδένα κρίνει, οὐδένα κυριεύει, οὐδενὶ βασκαίνει, οὐ περπερεύεται εἰς ὃ οὐκ οἶδεν, οὐ χλευάζει διὰ τὸ σχῆμα τὸν πλησίον, ἔχθραν οὐκ ἔχει μετά τινος, οὐχ ὑποκρίνεται, οὐ ζητεῖ τιμὴν τοῦ κόσμου τούτου, οὐ ζητεῖ συνάξαι πλοῦτον, οὐκ ἀγαπᾷ φιλαργυρίαν, οὐ γίνεται αὐθάδης, οὐ φιλονεικεῖ, οὐ διδάσκει ἐμπαθῶς, οὐ μεριμνᾷ περί τινος. Ἐὰν ἐκδύσωσιν αὐτόν, οὐ λυπεῖται, οὐ κρατεῖ τὸ ἴδιον θέλημα, οὐ φοβεῖται λοιμόν [1], οὐδὲ κακούργους, οὐ φοβεῖται θηρίον, οὐδὲ πόλεμον. Ἐὰν γένηται διωγμός, οὐ ταράσσεται. Τοιοῦτός ἐστι περὶ οὗ εἶπεν ὁ Δεσπότης ἡμῶν Ἰησοῦς: «Ἐὰν μὴ στραφῆτε καὶ γένησθε ὡς τὰ παιδία ταῦτα οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τοῦ Θεοῦ».

Ε΄. Ἐπὰν δὲ μικρὸν αὐξήσῃ τὸ παιδίον καὶ ἄρξηται ἡ κακία οἰκεῖν ἐν αὐτῷ, ὀνειδίζει αὐτὸν ὁ ἀπόστολος, λέγων: «Ἵνα μηκέτι ὦμεν νήπιοι, κλυδωνιζόμενοι καὶ περιφερόμενοι παντὶ ἀνέμῳ τῆς διδασκαλίας, ἐν τῇ κυβείᾳ τῶν ἀνθρώπων, ἐν πανουργίᾳ πρὸς τὴν μεθοδείαν τῆς πλάνης· ἀληθεύοντες δὲ ἐν ἀγάπῃ αὐξήσωμεν εἰς αὐτὸν τὰ πάντα» (Ἐφεσ. δ΄. 14—15)· καὶ πάλιν λέγει: «Ὡς νηπίους ὑμᾶς γάλα ἐπότισα καὶ οὐ βρῶμα, οὔτε [2] γὰρ ἠδύνασθε» (Α΄. Κορινθ. γ΄. 2)· καὶ πάλιν λέγει: «Ἐφ᾽ ὅσον χρόνον ὁ κληρονόμος νήπιός ἐστιν, οὐδὲν διαφέρει δούλου, κύριος πάντων ὤν, ἀλλ᾽ ὑπὸ ἐπιτρόπους ἐστὶ καὶ οἰκονόμους ἄχρι τῆς προθεσμίας τοῦ πατρός· οὕτω καὶ ἡμεῖς, ὅτε ἦμεν νήπιοι, ὑπὸ τὰ στοιχεῖα τοῦ κόσμου ἦμεν δεδουλωμένοι» (Γαλάτ. δ΄. 1—3)· καὶ πάλιν: «Τὰς δὲ νεωτερικὰς ἐπιθυμίας φεῦγε» (Β΄. Τιμόθ. β΄. 22). Διδάσκων οὖν ἡμᾶς ἀφορίσαι τὴν νηπιότητα, εἶπεν: «Ἀδελφοί, μὴ παιδία γίνεσθε ταῖς φρεσίν, ἀλλὰ τῇ κακίᾳ νηπιάζετε, ταῖς δὲ φρεσὶ τέλειοι γίνεσθε» (Α΄. Κορινθ. ιδ΄. 20). Τὸ ἔργον οὖν τούτων τῶν νηπίων τί ἐστιν ἢ τοῦτο, κατὰ τὸν λόγον Πέτρου

---

1) Μᾶλλον, λιμόν, ὡς ἐν τῷ Λατιν. Famem.
2) Ἐν τῷ Εὐαγγελίῳ, οὔπω.

τοῦ ἀποστόλου : «Ἀποθέμενοι οὖν πᾶσαν κακίαν καὶ πάντα δόλον καὶ ὑποκρίσεις καὶ φθόνους καὶ πάσας καταλαλιάς, ὡς ἀρτιγέννητα βρέφη» (Α'. Πετρ. β'. 1—2). Οἶδας, ἀδελφέ, τί ἐστιν ὁ λόγος, ὃν εἶπεν ὁ Δεσπότης ἡμῶν Ἰησοῦς: «Ἀμήν, ἀμὴν λέγω ὑμῖν· ἐὰν μὴ στραφῆτε καὶ γένησθε ὡς τὰ παιδία, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν». Πλήρης φόβου ἐστὶν ὁ λόγος, ὅτι Δεσπότης ἡμῶν εἶπεν ἐν ὅρκῳ: «Ἀμήν, ἀμὴν λέγω ὑμῖν», αὐτὸς γάρ ἐστι τὸ ἀμήν· διὰ τοῦτο εἶπεν ὁ ἀπόστολος: «Ἐπειδὴ οὐκ ἔστιν ἕτερος μείζων αὐτοῦ ὤμοσε καθ' ἑαυτοῦ, ἦ μὴν εὐλογῶν εὐλογήσω σε» (Ἑβρ. στ'. 13—14).

ΣΤ'. Κατανοήσωμεν οὖν τὸν λόγον μετὰ ἀκριβείας, φροντίζοντες πᾶσαν ὥραν ἐν φόβῳ καὶ ἐν τρόμῳ εἰς τοῦτον τὸν λόγον καθάπαξ, ὅταν τρώσῃ ἡμᾶς διὰ βέλους ὁ ἐχθρὸς εἰς τὸν πλησίον, ἢ ὅταν πλήξῃ ἡμᾶς τις, ἢ ὀνειδίσῃ, ἢ καταλαλήσῃ, ἢ φιλονεικήσῃ ὁ πλησίον μεθ' ἡμῶν ὑπακοὴν ποιῆσαι, ἢ καὶ παροξυσμὸς ἡμᾶς ἀκάθαρτος θλίψῃ, θέλων κινῆσαι μνήμην πονηράν, ὧν ἐποίησεν ἡμῖν ὁ πλησίον, θέλοντες σκοτῶσαι τὴν ψυχὴν διὰ τῆς ὀργῆς καὶ τοῦ μίσους. Ἐὰν οὖν τι τούτων ἐγγίσῃ τῇ ψυχῇ ἡμῶν, σπουδάσωμεν μνημονεῦσαι τοῦ λόγου τοῦ Δεσπότου ἡμῶν, ὃν μεμαρτύρηκεν ἡμῖν ἐν ὅρκῳ, λέγων: «Ἀμήν, ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ στραφῆτε καὶ γένησθε ὡς τὰ παιδία, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν». Τὶς οὖν μὴ φοβηθῇ, ἀκούων τοῦτον τὸν λόγον, ἢ τίς σοφός, θέλων σῶσαι τὴν ψυχὴν αὐτοῦ, οὐκ ἀπορρίπτει ἀπὸ τῆς καρδίας αὐτοῦ πᾶσαν μέμψιν, ἣν ἔχει πρὸς τὸν πλησίον, ἢ τίς, φοβούμενος ἀπελθεῖν εἰς τὴν γέενναν, οὐκ ἀπορρίπτει ἀπὸ τῆς καρδίας αὐτοῦ πᾶν μῖσος, ἵνα μὴ ἀπορριφῇ ἔξω τῆς βασιλείας; Λόγον γὰρ ἀπότομον εἶπεν ὁ Δεσπότης ἡμῶν Ἰησοῦς, ὅτι: «Ἐὰν μὴ στραφῆτε καὶ γένησθε ὡς τὰ παιδία, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν». Βαρὺς ὁ λόγος τοῖς κατέχουσι τὸ θέλημα αὐτῶν, καὶ τοῖς ἀγαπῶσι τὸν κόσμον, καὶ τοῖς μὴ γνωρίσασι τὴν δωρεὰν τοῦ Ἁγίου Πνεύματος, ὅτι, ἐὰν ἔλθῃ ἐπ' αὐτούς, λήθην παρέχει αὐτοῖς πάσης πονηρίας, καὶ διδάσκει αὐτοὺς τὰ παρ' ἑαυτοῦ, ἀντὶ ὀργῆς πρᾳότητα, ἀντὶ ἔχθρας εἰρήνην, ἀντὶ φιλονεικίας ταπεινοφρο-

σύνην, ἀντὶ μίσους ἀγάπην, ἀντὶ ὀλιγωρίας μακροθυμίαν. Οὗτοι γάρ εἰσιν οἱ καταξιωθέντες τῆς ἀναγεννήσεως.

Ζ'. Σπουδάσωμεν οὖν ἐκκόψαι ἐκ τῆς καρδίας ἡμῶν, ἃ εἶπεν ἡμῖν ὁ μέγας ἀπόστολος καὶ καταλεῖψαι αὐτά, ἵνα ἔλθωμεν εἰς τὰ μέτρα τοῦ παιδίου. Οἱ γὰρ φροντίσαντες καὶ κόψαντες αὐτὰ ἀπὸ τῶν ψυχῶν αὐτῶν, αὐτὸν πάλιν ἔφθασαν εἰς τὴν ἁγίαν καὶ μεγάλην ἡλικίαν καὶ τελειότητα. Μέγα γὰρ τὸ ἐμφυσῆσαι εἰς τὸ πρόσωπον αὐτῶν, λέγων : «Λάβετε Πνεῦμα Ἅγιον» (Ἰωάν. κ'. 22)· ἐφάνη αὐτοῖς παρὰ τὴν θάλασσαν τῆς Γαλιλαίας, λέγων : «Ἔχετέ τι βρώσιμον»; (Λουκ. κδ'. 41), ἀναμιμνήσκων αὐτοὺς διὰ τὴν ἐμφύσησιν τοῦ Πνεύματος, ὅτι ἐποίησεν αὐτοὺς παιδία, καίτοι οὐκ ἦσαν παιδία τῇ σαρκί. Πάλιν γέγραπται: «Ἰδοὺ ἐγὼ καὶ τὰ παιδία, ἅ μοι ἔδωκεν ὁ Θεός· ἐπεὶ οὖν τὰ παιδία κεκοινώνηκεν αἵματος καὶ σαρκός, καὶ αὐτὸς παραπλησίως μετέσχε τῶν αὐτῶν, ἵνα διὰ τοῦ θανάτου καταργήσῃ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, τοῦτ' ἔστι τὸν διάβολον, καὶ ἀπαλλάξῃ τούτους» (Ἡσ. η'. 18. Ἑβρ. β'. 14—15). Τίνος οὖν «παραπλησίως γέγονεν αἵματος καὶ σαρκός,» εἰ μὴ τῶν καταλειψάντων πᾶσαν πονηρίαν, καὶ φθασάντων εἰς τὰ μέτρα τῆς ἁγίας νηπιότητος; Καὶ αὐτοὶ πάλιν γεγόνασι τέλειοι, κατὰ τὸν λόγον τοῦ ἀποστόλου: «Μέχρις ἂν καταντήσωμεν πάντες εἰς τὴν ἑνότητα τῆς πίστεως τοῦ υἱοῦ τοῦ Θεοῦ, εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ» (Ἐφεσ. δ'. 13). καὶ πάλιν : «Αὔξησιν τοῦ σώματος ποιεῖτε εἰς οἰκοδομὴν ἑαυτοῦ ἐν ἀγάπῃ» (αὐτόθ. 16). Τοῖς τοιούτοις γράφει ὁ ἀπόστολος Ἰωάννης, λέγων: «Γράφω ὑμῖν τεκνία, ὅτι ἐγνώκατε τὸν ἀπ' ἀρχῆς, ἔγραψα ὑμῖν νεανίσκοι, ὅτι νενικήκατε τὸν πονηρὸν» (Α'. Ἰωάν. β'. 12—13). Ἔγνως, ὅτι οἱ γενόμενοι παιδία ἐν τῇ κακίᾳ, αὐτοὶ γεγόνασι πολεμισταὶ πρὸς τὸν ἐχθρόν; ὅτι γεγυμνωμένοι εἰσὶ τῆς αὐτοῦ πανοπλίας, ἥτις ἐστὶν ἡ κακία, καὶ αὐτοὶ πάλιν γεγόνασι πατέρες, καὶ ἔφθασαν εἰς τὰ μέτρα τῆς τελειότητος πρὸς τὸ πιστευθῆναι αὐτοῖς τὰς ἀποκαλύψεις καὶ τὰ μυστήρια, ἕως φθάσωσιν εἰς τὴν σοφίαν, καὶ εἰς τὴν ἑνότητα, καὶ εἰς τὴν ἀγαθότητα, καὶ πρᾳότητα, καὶ ἁγνείαν; Ταῦτα γὰρ τῆς πρᾳότητός εἰσι,

καὶ οὗτοί εἰσιν οἱ τὸν Χριστὸν δοξάσαντες ἐν τῷ σώματι αὐτῶν.

Η'. Ἀγωνισώμεθα οὖν, ἀγαπητὲ ἀδελφέ, κατὰ τὸν γενόμενον μέγαν λιμὸν ἐπὶ τῆς γῆς, μὴ ἐκκακοῦντες ἔν τινι, ἀλλ' αἰτοῦντες τὴν ἀγαθότητα αὐτοῦ ἀδιαλείπτως, μὴ ἐᾶσαι πλανηθῆναι ἐν τῇ πλάνῃ τοῦ ἐχθροῦ καὶ φθονεροῦ, τοῦ ποιοῦντος τὰ πονηρὰ ἀνελεημόνως, καὶ ἀναισχύντως ἐπιμένοντος καὶ λέγοντος, ὅτι, εἰ μὴ σήμερον, ἀλλ' αὔριον, πλὴν οὐκ ἐνδίδωμι, ἕως οὗ δυνηθῶ πρὸς αὐτόν[1]· καὶ ἡμεῖς οὖν εὐξώμεθα ἐπιμόνως, ὡς ὁ ἅγιος Δαβίδ, λέγοντες: «Ἐπίβλεψον, εἰσάκουσόν μου Κύριε ὁ Θεός μου, φώτισον τοὺς ὀφθαλμούς μου μήποτε ὑπνώσω εἰς θάνατον, μήποτε εἴπῃ ὁ ἐχθρός μου ἴσχυσα πρὸς αὐτόν· ὅτι οἱ θλίβοντές με ἀγαλλιάσονται, ἐὰν σαλευθῶ» (Ψαλμ. ιβ'. 4—5). Εὰν οὖν καταδυναστεύσωσιν ἡμῶν, κράξωμεν, λέγοντες: «Ὁ Θεὸς τίς ὁμοιωθήσεταί σοι; μὴ σιγήσῃς μηδὲ καταπραΰνῃς ὁ Θεός. Ὅτι ἰδοὺ οἱ ἐχθροί σου ἤχησαν, καὶ οἱ μισοῦντές σε ἦραν κεφαλήν. Ἐπὶ τὸν λαόν σου κατεπανουργεύσαντο γνώμην, λέγοντες, μὴ ἐάσωμεν μνήμην τοῦ Ἰσραὴλ (Ψαλμ. πβ'. 2—4). Προκόψας δὲ τῷ Ἁγίῳ Πνεύματι, ἔλεγεν: «Ὁ Θεός μου, θοῦ αὐτοὺς ὡς τροχόν, καλάμην, κατὰ πρόσωπον ἀνέμου. Πλήρωσον τὰ πρόσωπα αὐτῶν ἀτιμίας καὶ γνώσονται ὅτι σὺ Κύριος μόνος». (Αὐτόθ. 14, 17). Ἰδοὺ οἱ ἀγωνιζόμενοι διὰ τῆς ἑαυτῶν πίστεως καταισχύνουσιν ἐπὶ τοὺς ἐχθροὺς τὴν ἑαυτῶν καρδίαν, καὶ πρὶν αὐτοὺς πολεμῆσαι μετ' αὐτῶν ἑδραίωσαν ἑαυτοὺς ἐπὶ τὴν ἁγίαν πέτραν, ἥτις ἐστὶν ὁ Χριστὸς (Α'. Κορινθ. ι'. 4), λέγοντες ἐν ἰσχύϊ καρδίας: «Ἐκύκλωσάν με, ὡσεὶ μέλισσαι κηρίον, καὶ ἐξεκαύθησαν ὡς πῦρ ἐν ἀκάνθαις, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς» (Ψαλμ. ριζ'. 12).

Θ'. Ἐὰν δὲ ἴδωμεν τοὺς κυκλώσαντας ἡμᾶς τῇ αὐτῶν πανουργίᾳ, ὅ ἐστιν ἀκηδία, ἢ ἐν ἡδονῇ ἐκλύοντας τὴν ψυχήν, ἢ διὰ τοῦ μὴ φέρειν τὴν ὀργὴν κατὰ τοῦ πλησίον, ἐάν τι παρὰ τὸ δέον ποιήσῃ, ἢ βαρύσωσι τοὺς ὀφθαλμοὺς ἡμῶν πρὸς τὸ ἐπιθυμῆσαι

1) Ἐν τῷ Λατιν. παραλλαγαί τινες.

σωμάτων, ἢ θελήσωσι καταγαγεῖν ἡμᾶς εἰς γεῦσιν ἡδονῆς σωμάτων, ἢ τὸν λόγον τοῦ πλησίον ποιήσωσιν ἡμῖν ὡς ἰόν, ἢ πτερνίσαι τὸν λόγον τοῦ ἑτέρου, ἢ ποιήσωσιν ἡμᾶς διαφορὰν ἔχειν εἰς τοὺς ἀδελφούς, λέγοντες, οὗτος καλὸς καὶ οὗτος κακός ἐστιν. Ἐὰν οὖν κυκλώσωσιν ἡμᾶς ταῦτα, μὴ ἐκκακήσωμεν, ἀλλὰ μᾶλλον κράξωμεν ἐν ἰσχύϊ καρδίας, ὡς ὁ Δαβίδ, λέγοντες: «Κύριος ὑπερασπιστὴς τῆς ζωῆς μου, ἐὰν παρατάξηται ἐπ' ἐμὲ παρεμβολή, οὐ φοβηθήσεται ἡ καρδία μου· ἐὰν ἐπαναστῇ ἐπ' ἐμὲ πόλεμος, ἐν ταύτῃ ἐγὼ ἐλπίζω. Μίαν ᾐτησάμην παρὰ Κυρίου, ταύτην ζητήσω, τοῦ κατοικεῖν με ἐν οἴκῳ Κυρίου πάσας τὰς ἡμέρας τῆς ζωῆς μου, τοῦ θεωρεῖν με τὴν τερπνότητα Κυρίου καὶ ἐπισκέπτεσθαι τὸν ναὸν τὸν ἅγιον αὐτοῦ. Ὅτι ἐσκέπασέ με· καὶ νῦν ἰδοὺ ὕψωσε κεφαλήν μου ἐπ' ἐχθροὺς μου» (Ψαλ. κστ'. 1—6). Ταῦτα μέν ἐστι τῶν ἐγειράντων τὸν νοῦν ἀπὸ τῶν νεκρῶν, οὓς ὀνομάζει ὁ ἀπόστολος νύκτα, λέγων: «Οὐκ ἐσμὲν νυκτὸς οὐδὲ σκότους» (Α'. Θεσσαλ. ε'. 6). Ἐλέγχων δὲ τοὺς ἀμελοῦντας ἑαυτῶν, ἔλεγεν: «Οἱ καθεύδοντες νυκτὸς καθεύδουσι, καὶ οἱ μεθυσκόμενοι νυκτὸς μεθύουσιν» (αὐτ. 7)· καὶ πάλιν: «Ἡμέρα Κυρίου ὡς κλέπτης ἔρχεται, καὶ οὐ μὴ ἐκφύγωσιν» (αὐτ. 2—3), ὅτι εἰσὶν ἐν νυκτί. Ἔλεγε δὲ τοῖς τὸν νοῦν ἐγείρασιν ἀπὸ τῶν παθῶν, ἅ ἐστι νύξ: «Ἐνδυσάμενοι θώρακα πίστεως καὶ ἀγάπης καὶ περικεφαλαίαν ἐλπίδα σωτηρίας» (αὐτόθ. 8).

Γ'. Πάντα οὖν ποιήσωμεν, νήφοντες τῷ νοῒ ἀπὸ τῶν ἔργων τῶν νεκρῶν, προσέχοντες τῇ ψυχῇ πᾶσαν ὥραν μηδὲν ἐκτὸς τῶν κατὰ φύσιν πρᾶξαι [1], ἐπειδὴ τρεπτή ἐστι κατὰ φύσιν [2], κατὰ τὸν λόγον Ἡσαΐου τοῦ προφήτου, ὃν εἶπε: «Κύριος ἵλεώς σοι. Ταπεινὴ καὶ ἀκατάστατος, ὅτι οὐ παρεκλήθης» (Ἡσ. νδ'. 10-11). Ἔοικε γὰρ ἡ ψυχὴ σιδήρῳ, ὅτι, ἐὰν ἀμεληθῇ ἰοῦται, ἐπειδὰν πυρωθῇ, τὸ πῦρ καθαρίζει αὐτό, καί, ὅσον ἐστὶν εἰς τὸ πῦρ, ὅμοιον τοῦ πυρός ἐστι καὶ οὐδεὶς δύναται αὐτὸ κατέχειν, ὅτι πῦρ

1) Εὐεργ. βιβλ. δ'. ὑπόθ. ζ'. σ. 43.
2) Ἐλλείπει τὸ Γραφικὸν χωρίον ἐν τῷ λατιν.

ἐστι. Τοιαύτη ἐστὶν ἡ ψυχή, ὅσον μένῃ μετὰ τοῦ Θεοῦ καὶ ἀδολεσχῇ αὐτῷ, πῦρ γίνεται καὶ κατακαίει πάντας τοὺς ἐχθροὺς αὐτῆς, τοὺς ποιήσαντας αὐτὴν ἰῶσαι ἐν τῷ καιρῷ τῆς ἀμελείας αὐτῆς, καὶ ἀγνίζει αὐτὴν ἐν καινότητι, ὡς τὸν σίδηρον, καὶ οὐκέτι ἡδύνεται ἔν τινι τῶν τοῦ κόσμου, ἀλλὰ ἀναπαύεται ἐν τῇ αὐτῆς φύσει, ἧς ἠξιώθη, ὅτι αὐτῆς ἦν τὸ πρότερον· ἐὰν δὲ καταλείψῃ τὴν αὐτῆς φύσιν, ἀποθνήσκει. Ὥσπερ γὰρ τὰ ζῷα, ἐὰν βυθισθῇ εἰς τὸ ὕδωρ, ἀποθνήσκει, ἐπειδὴ ἐκ τῆς οὐσίας τῆς γῆς ἐστι. Πάλιν δὲ καὶ οἱ ἰχθύες, ἐὰν ἔλθωσιν εἰς τὴν γῆν, ἀποθνήσκουσιν, ὅτι ἐκ τῆς οὐσίας τοῦ ὕδατός εἰσιν· ὁμοίως καὶ τὰ πετεινά, ἐν τῷ ἀέρι ὄντα, ἀναπαύεται, ἐπὰν δὲ θελήσωσιν εἰς τὴν γῆν ἀπελθεῖν [1], φοβοῦνται μήποτε θηρευθῶσι. Τοιαύτη ἐστὶν ἡ τελεία ψυχή, ἡ μένουσα ἐν τῇ φύσει αὐτῆς, ἐὰν καταλείψῃ τὴν φύσιν αὐτῆς, ἀποθνήσκει εὐθύς. Οἱ οὖν ἄξιοι γενόμενοι, καὶ ἐπιτυχόντες τῶν χαρισμάτων ἐκείνων, βλέπουσι τὸν κόσμον, ὡς φυλακὴν παρ' αὐτοῖς, καὶ οὐ θέλουσιν ἀναμιγῆναι μετ' αὐτοῦ, ἵνα μὴ ἀποθάνωσιν.

ΙΑ'. Οὐδὲ δύναται ἡ ψυχὴ ἐκείνη τὸν κόσμον ἀγαπῆσαι, ἐὰν καὶ θελήσῃ, μνημονεύει γὰρ τῆς ἀρχῆς αὐτῆς, ἧς εἶχε πρὶν αὐτὴν μεῖναι ἐν τῷ Θεῷ, τὸ τί ἐποίησεν αὐτὴν ὁ κόσμος καὶ πῶς αὐτὴν ἔρημον κατέστησεν. Ὥσπερ γὰρ ἐν πόλει, εἰσελθόντος ἐχθροῦ βασιλέως, φοβηθέντες οἱ ἄνδρες τὰς χεῖρας αὐτῷ ἐκδώσουσι, καὶ εὐθέως σπουδάζει, κατὰ τὴν αὐτοῦ κακίαν τὰς εἰκόνας τοῦ βασιλέως καταγαγεῖν, καὶ τοὺς νόμους αὐτοῦ καταλῦσαι, καὶ ἑτέρους νόμους βαρεῖς νομοθετήσῃ καὶ τὴν ἰδίαν εἰκόνα στήσῃ ἐκεῖ, καὶ λοιπὸν ἅπαν δὲ πλῆθος δουλεῦσαι αὐτῷ ποιήσῃ [2]. Ἐὰν δὲ οἱ ἀπὸ τῆς πόλεως λάθρα δηλώσωσι τῷ βασιλεῖ τῷ ἀληθινῷ, λέγοντες, ἐλθὲ βοήθησον ἡμῖν καὶ ὀργισθεὶς κατὰ τοῦ ἐχθροῦ ἔρχεται μετὰ τοῦ ἰδίου στρατεύματος, καὶ ἀκούσαντες οἱ τῆς πόλεως μετὰ χαρᾶς ἀνοίγουσιν αὐτῷ καὶ εἰσέρχεται καὶ ἀπόλλει τὸν ἐχθρὸν αὐτοῦ, καὶ τὴν εἰκόνα, ἣν ἔστησε καταδυ-

1) Ὀρθότερον, κατελθεῖν.
2) Ὀρθότερον κατὰ ἀπαρέμφατον, νομοθετεῖν, —στῆσαι, —ποιῆσαι.

ναστείᾳ καθαιρεῖ, καὶ τοὺς νόμους αὐτοῦ ἐξαλείφει καὶ ἡ πόλις χαίρει, καὶ ὁ ἀληθινὸς βασιλεὺς ἵστησι τὴν ἰδίαν εἰκόνα καὶ τοὺς νόμους καὶ ἐνοικεῖ ἐν αὐτῇ καὶ ἐνισχύει αὐτήν, ὥστε μηδένα ἔτι κατακυριεῦσαι αὐτῆς, καὶ τοὺς κατοικοῦντας ἐν αὐτῇ διδάσκει πολεμεῖν, ἵνα ἄφοβοι ἔσωνται πρὸς πάντα ἐχθρὸν αὐτοῦ. Τοιαύτη ἐστὶν ἡ ψυχή· μετὰ γὰρ τὸ ἅγιον βάπτισμα κατεδυναστεύθη πάλιν ὑπὸ τοῦ ἐχθροῦ, καὶ ἐταπείνωσεν αὐτὴν ἐν πάσαις ταῖς αἰσχραῖς αὐτοῦ μεθοδείαις, καὶ τὴν εἰκόνα τοῦ βασιλέως κατήνεγκε καὶ ἔστησε τὴν ἰδίαν καὶ τοὺς νόμους, καὶ ἐποίησεν αὐτὴν φροντίσαι τοῦ αἰῶνος τούτου, καὶ ἀδιαφόρως καὶ βεβήλως ἔπεισεν αὐτὴν κατεργάσασθαι, καὶ ἐποίησεν αὐτὴν ὡς ἠθέλησε. Καὶ λοιπὸν ἡ ἀγαθότης τοῦ ἁγίου καὶ μεγάλου βασιλέως Ἰησοῦ ἀπέστειλε τὴν μετάνοιαν καὶ ἐχάρη ἡ ψυχή, καὶ ἡ μετάνοια ἤνοιξεν αὐτῷ καὶ εἰσελθὼν ὁ μέγας βασιλεὺς Χριστὸς ἀπώλεσε τὸν ἐχθρὸν αὐτῆς, καὶ τὴν εἰκόνα αὐτοῦ ἐξήλειψε καὶ τοὺς βεβήλους αὐτοῦ νόμους, καὶ ποιήσας τὴν ἐλευθερίαν αὐτῆς, ἔστησεν ἐν αὐτῇ τὴν ἁγίαν αὐτοῦ εἰκόνα, καὶ νόμους ἁγνοὺς παρέδωκεν αὐτῇ, καὶ πάσας τὰς αἰσθήσεις αὐτῆς ἐδίδαξε πολεμεῖν, καὶ λοιπὸν ἀναπαύεται ἐν τῇ ψυχῇ ἐκείνῃ, ὅτι αὐτοῦ ἐγένετο· τοῦτό ἐστι τὸ γεγεννημένον ἐκ τοῦ Θεοῦ. Ἀδύνατον [1] οὖν ἐστι ψυχὴν εἰσελθεῖν εἰς τὴν κατάπαυσιν τοῦ υἱοῦ τοῦ Θεοῦ, μὴ ἔχουσαν τὴν εἰκόνα τοῦ βασιλέως. Ὥσπερ γὰρ νόμισμα οὐδεὶς τῶν πραγματευτῶν δέχεται ἢ παρέχει, μὴ ἔχον τὴν εἰκόνα τοῦ βασιλέως, οὔτε ζυγοστάτης γὰρ σταθμίζει, οὔτε βασιλεὺς εἰσφέρει εἰς τὸν θησαυρὸν αὐτοῦ, οὕτω καὶ ἡ ψυχή, ἐὰν μὴ ἔχῃ τὴν εἰκόνα τοῦ μεγάλου βασιλέως Ἰησοῦ, οὐ μὴ συγχαρῶσιν αὐτὴν οἱ ἄγγελοι, ἀλλ' ἀπορρίπτει αὐτὴν λέγων, πῶς εἰσῆλθες ὧδε μὴ ἔχουσα τὴν εἰκόνα μου;

ΙΒ'. Τὸ δὲ σημεῖον τῆς εἰκόνος αὐτοῦ, ἐστὶν ἡ ἀγάπη, αὐτὸς γὰρ εἶπεν, ὅτι : «Ἐν τούτῳ γνώσονται ὑμᾶς, ὅτι μαθηταί μου ἐστέ, ἐὰν ἀγάπην ἔχητε ἐν ἀλλήλοις» (Ἰωάν. ιγ'. 35). Ἀδύνατον οὖν τὴν ἀγάπην αὐτοῦ εἶναι μεθ' ἡμῶν, τῆς ψυχῆς με-

1) Εὐεργ. βιβλ. α'. ὑπόθ. με'. σ. 80.

ριζομένης καὶ ζητούσης τὸν Θεὸν καὶ ἀγαπώσης τὰ τοῦ κόσμου. Καὶ ὥσπερ πετεινὸν οὐ δύναται πετασθῆναι ἑνὶ πτερῷ, οὐδὲ ἔχον τίποτε κρεμάμενον, οὕτω καὶ ἡ ψυχὴ οὐ δύναται προκόψαι κατὰ Θεὸν δεδεμένη ἔν τινι τῶν τοῦ κόσμου· καὶ ὥσπερ πλοῖον [1] παρά τι ὂν τῆς χρείας αὐτοῦ [2] οὐ δύναται πλεῦσαι, οὕτως ἀδύνατον ψυχὴν περᾶσαι τὰ κύματα τῶν παθῶν, ἔχουσαν παρά τι τῶν ἀρετῶν. Καὶ ὥσπερ οἱ ναῦται τῆς θαλάσσης οὐ φοροῦσι χιτῶνας καλούς, ἢ χειρίδας, ἢ σανδάλια [3], εἰ μὴ γὰρ ὦσι γυμνοί, οὐ δύνανται πλεῦσαι, οὕτως ἀδύνατον ψυχὴν περᾶσαι τὰ κύματα τῶν ἀντικειμένων πνευμάτων τῆς πονηρίας, εἰ μὴ γυμνὴ εὑρεθῇ ἀπὸ τῶν τοῦ κόσμου. Καὶ ὥσπερ στρατιώτης ἐξερχόμενος πολεμῆσαι τοὺς ἐχθροὺς τοῦ βασιλέως, οὐ δύναται ἀντιστῆναι αὐτοῖς, ἔχων παρά τι τῆς πανοπλίας, οὕτως ἀδύνατον μοναχὸν [4] ἀντιστῆναι τοῖς πάθεσιν ἔχοντα παρά τι τῶν ἀρετῶν. Καὶ ὥσπερ πόλις τετειχισμένη [5], ἔχουσα μικρὸν τοῦ τείχους κατεστραμμένον, ἐὰν θέλωσιν οἱ ἐχθροὶ εἰσελθεῖν προσέχουσι τῷ κατεστραμμένῳ, ἵνα δι' αὐτοῦ εἰσέλθωσι, κἂν γὰρ οἱ φύλακες παρὰ τὰς πύλας εἰσίν [6], οὐ δύνανται ἀντιστῆναι τοῖς ἐχθροῖς, ἐὰν μὴ οἰκοδομηθῇ τὸ κατεστραμμένον, οὕτως ἀδύνατον τῷ ἀσκητῇ μοναχῷ ἀντιστῆναι τοῖς ἐχθροῖς, κατακυριευομένῳ ὑπὸ πάθους, οὐ δύναται [7] φθάσαι εἰς μέτρα τελειότητος.

ΙΓ΄. Οὐκ ἐγὼ ταῦτα λέγω, ἀλλὰ καὶ ἡ θεία Γραφὴ λέγει· γέγραπται γὰρ ἐν τῇ Γενέσει: «Καὶ εἶπεν ὁ Θεὸς τῷ Νῶε, σὲ μόνον εἶδον δίκαιον ἐν τῇ γενεᾷ ταύτῃ καὶ τέλειον» (Γενέσ. ζ΄. 1). Καὶ πάλιν εἶπε τῷ Ἀβραάμ: «Γενοῦ ἄμεμπτος ἐνώπιόν μου, καὶ διαθήσομαι διαθήκην αἰώνιον» (αὐτ. ιζ΄. 1-2). Εὐλογῶν δὲ ὁ

---

1) Εὐεργ. βιβλ. γ΄. ὑπόθ. ια΄. σ. 30.
2) Ἤτοι, στερούμενον τῶν χρειωδῶν.
3) Ἐν τῷ λατιν. Muliebria, γυναικεῖα.
4) Ἐν τῷ λατ. Homo.
5) Ὀνομαστικὴ μετὰ τῆς μετοχῆς κεῖται ἀπολύτως. Συμπληρωτέον οὕτω: «Καὶ ὥσπερ πόλις τετειχισμένη, ἔχουσα μικρὸν τοῦ τείχους κατεστραμμένον, εὐάλωτος τυγχάνει τοῖς ἐχθροῖς» κλ.
6) Μᾶλλον, ὦσιν.
7) Μᾶλλον, οὐδὲ δύναται.

Ἰσαὰκ Ἰακὼβ τὸν υἱὸν αὐτοῦ, εἶπεν αὐτῷ: «Ὁ Θεός μου ἐνισχύσαι σε, ἕως οὗ δυνηθῇς ἅπαν τὸ θέλημα αὐτοῦ ποιῆσαι» (αὐτόθ. κη'. 3). Πάλιν γέγραπται ἐν τοῖς Ἀριθμοῖς: «Πᾶς ὅστις ἔχει εὐχὴν ἐφ' ἑαυτόν, φυλάξει ἑαυτόν, μὴ πιεῖν οἶνον, μήτε ὄξος ἐξ οἴνου, μήτε σίκερα, μήτε πᾶν ἐξερχόμενον, ἕως γιγάρτου» (Ἀριθ. στ'. 2-4). Καὶ πάλιν ἐν τῷ Δευτερονομίῳ: «Ἐὰν ἐξέλθῃς ἐπὶ τοὺς ἐχθρούς σου πολεμῆσαι, φύλαξον σεαυτὸν ἀπὸ παντὸς λόγου πονηροῦ, ἕως οὗ παραδοθῇ ὁ ἐχθρός σου εἰς τὰς χεῖράς σου (Δευτερ. κγ'. 9). Ἐκ τῶν ἑπτὰ ἐθνῶν τούτων οὐ καταλείψεις τινὰ ἐξ αὐτῶν ἔχοντα πνοήν, μήπως διδάξωσί σε ἁμαρτῆσαι εἰς ἐμὲ (αὐτ. κ'. 16-18). Διδάσκων ἡμᾶς μὴ ὀλιγωρεῖν, λέγοντας πότε ἐξολοθρεύσωμεν αὐτά, τοσαῦτα ὄντα, εἶπεν: «Οὐ δυνήσῃ ἐξολοθρεῦσαι αὐτὰ ἐν ἑνὶ αὐτῷ [1] ἑνί, μήποτε ἔρημος γένηται ἡ γῆ, καὶ πληθυνθῇ ἐπὶ σὲ τὰ θηρία τὰ ἄγρια» (αὐτ. ζ'. 22), ἀλλὰ κατὰ μικρὸν μικρόν, ἕως οὗ πληθυνθήσῃ καὶ αὐξηθήσῃ, καὶ πληθυνεῖ ὁ Θεὸς τὰ ὅριά σου. Ἐνετείλατο δὲ αὐτοῖς πολλάκις, λέγων: «Πρόσχες μήποτε διαθήσῃ διαθήκην μετὰ τῶν Χαναναίων, οὓς μέλλω ἐξολοθρεῦσαι ἀπὸ τοῦ προσώπου σου» (αὐτ. ζ'. 2)· Ἀπελθὼν δὲ Ἰησοῦς τοῦ Ναυῆ, καὶ κυκλώσαντες τὴν Ἱεριχὼ καὶ ἀφανίσαντες [2] αὐτήν, εἶπεν ὁ Θεός: «Ἀναθεματίσεις αὐτὴν καὶ πάντα τὰ αὐτῆς» (Ἰησ. Ναυῆ στ'. 17). Καί, θελήσας πολεμῆσαι μετὰ Γαί, ἔφυγεν ἀπὸ προσώπου αὐτῶν [3], μὴ δυνάμενος Ἰσραὴλ ἀντιπολεμῆσαι τοῖς ἐχθροῖς, διὰ τὸ μικρὸν ἀνάθεμα, ὃ ἔκλεψεν Ἄχαρ· καὶ πεσὼν Ἰησοῦς ἐπὶ πρόσωπον ἔκλαυσεν ἐνώπιον τοῦ Θεοῦ, λέγων: «Ἔστρεψεν Ἰσραὴλ τὸν τράχηλον αὐτοῦ τοῖς ἐχθροῖς, κἀγὼ τί ποιήσω»; (αὐτ. ζ'. 8). Καὶ εἶπεν αὐτῷ ὁ ἀρχιστράτηγος τῆς δυνάμεως Κυρίου: «Ἐπειδὴ ἐν σοὶ ἀνάθεμα, Ἰσραὴλ οὐ δυνήσῃ ἀντιστῆναι τοῖς ἐχθροῖς σου

1) Γέγραπται λελανθασμένως ἐν ἑνὶ αὐτῷ, ἀντὶ ἐνιαυτῷ, ὡς ἐν τῷ λατιν. In anno uno.

2) Ἀπελθών, —κυκλώσαντες,— ἀφανίσαντες, μετοχαὶ ἀπόλυτοι. Ἀπελθόντος δὲ Ἰησοῦ τοῦ Ναυῆ καὶ κυκλωσάντων τῶν Ἑβραίων τὴν Ἱεριχὼ καὶ ἀφανισάντων....

3) «Καὶ θελήσας πολεμῆσαι μετὰ Γαὶ ἔφυγεν ἀπὸ προσώπου αὐτῶν», δὲν ἀναγιγνώσκονται ἐν τῷ λατιν.

(αὐτ. 13), καὶ οὐκέτι ἐξῆλθεν εἰς παράταξιν, ἕως οὗ περιάρῃ [1] τὸν Ἄχαρ. Καὶ βλέπομεν τὸν Σαούλ, ὅτι ὁ Θεὸς ἀφεῖλεν αὐτοῦ τὴν βασιλείαν διὰ τὸ ἀνάθεμα, ὃ ἔλαβεν ἐκ τοῦ Ἀμαλὴκ (Α΄. Βασιλ. ιε΄. 15).

ΙΔ΄. Πάλιν Ἰωνάθαν διὰ τὸ βάψαι αὐτοῦ τὸ δόρυ καὶ ἐπιστρέψαι εἰς τὸ στόμα αὐτοῦ, οὐκ εἰσήκουσεν ὁ Θεὸς τοῦ Ἰσραὴλ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ (αὐτ. ιδ΄. 27). Πάλιν ὁ Ἐκκλησιαστής, διδάσκων ἡμᾶς, ὅτι ἐλάχιστον πάθος ἀφανίζει τὴν δύναμιν τῶν ἀρετῶν, ἔλεγε: «Μυῖαι θανοῦσαι, σαπριοῦσι σκευασίαν ἐλαίου» (Ἐκκλ. ι΄. 1). Πάλιν Ἰεζεκιὴλ λέγει: «Ἐν ᾗ ἂν ἡμέρᾳ πλανηθῇ ὁ δίκαιος ἀπὸ τῆς ὁδοῦ τῆς δικαιοσύνης αὐτοῦ, καὶ ποιήσῃ παράπτωμα, δώσω πόνον κατὰ πρόσωπον αὐτοῦ, καὶ τῆς δικαιοσύνης αὐτοῦ οὐ μὴ μνησθῶ (Ἰεζ. ιη΄. 24). Πάλιν ὁ ἀπόστολος λέγει: «Μικρὰ ζύμη ὅλον τὸ φύραμα ζυμοῖ» (Γαλάτ. ε΄. 9). Ἀνανίας δὲ καὶ Σάπφειρα, ἡ γυνὴ αὐτοῦ, λαβόντες ἐκ τῆς τιμῆς τοῦ χωρίου καὶ ψευσάμενοι, ἔπεσαν παραχρῆμα παρὰ τοὺς πόδας τῶν ἀποστόλων καὶ ἐξέψυξαν διὰ τὸ μιαρὸν πρᾶγμα τοῦτο (Πράξ. ε΄. 1—10). Πάλιν ὁ Ἰάκωβος λέγει: «Ὅστις φυλάξῃ ὅλον τὸν νόμον, πταίσῃ δὲ ἐν ἑνί, γέγονε πάντων ἔνοχος» (Ἰάκ. β΄. 10). Ἐνδυναμῶν δὲ ἡμᾶς ἐπιστρέψαι πρὸς αὐτὸν ὁ Θεὸς λέγει ἐν τῷ Ἰεζεκιήλ: «Ἧ δ᾽ ἂν ἡμέρᾳ ἐπιστρέψῃ ὁ ἄνομος ἀπὸ τῆς ὁδοῦ αὐτοῦ τῆς ἀνομίας, καὶ ποιήσῃ κρῖμα καὶ δικαιοσύνην, τῶν ἀνομιῶν αὐτοῦ οὐ μὴ μνησθῶ, ἀλλὰ ζωῇ ζήσεται· ὅτι οὐ θέλω τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν, λέγει Κύριος» (Ἰεζ. ιη΄. 21—23)· ἐπιστρέφοντες ἐπιστρέψατε, καὶ «διὰ τί ἀποθνήσκετε οἶκος Ἰσραήλ»; (αὐτόθ. 31). Καὶ πάλιν Ἱερεμίας λέγει: «Ἐπιστρέψατε πρός με, οἶκος Ἰσραήλ, καὶ ἵλεως ἔσομαι ὑμῖν, λέγει Κύριος Παντοκράτωρ» (Ἱερεμ. γ΄. 21—22). Καὶ πάλιν: «Μὴ ὁ πίπτων οὐκ ἀνίσταται; ἢ ὁ ἀποστρέφων οὐκ ἀποστρέψει; διατί ἀπέστρεψεν ὁ λαὸς οὗτος ἀποστροφὴν ἀναιδῆ καὶ ἐκραταιώθησαν ἐν τῇ

---

1) Ἴσως, περιῆρε.

προαιρέσει αὐτῶν, καὶ οὐκ ἠβουλήθησαν ἐπιστρέψαι πρός με λέγει Κύριος; ἐπιστρέψατε πρὸς με καὶ ἐπιστραφήσομαι πρὸς ὑμᾶς» (αὐτ. η'. 4—5). Καὶ πάλιν ὁ Κύριος Ἰησοῦς εἶπεν: «Ἐὰν ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, ἀφήσει καὶ ὑμῖν ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος· ἐὰν δὲ μὴ ἀφῆτε, οὐδὲ ὁ πατὴρ ὑμῶν ἀφήσει ὑμῖν» (Ματθ. στ'. 14, 15). Πάλιν ὁ ἀπόστολος λέγει: «Ἐάν τις ἐν ὑμῖν προληφθῇ ἔν τινι παραπτώματι, ὑμεῖς οἱ πνευματικοὶ καταρτίζετε τὸν τοιοῦτον ἐν πνεύματί πρᾳότητος» (Γαλ. στ'. 1). Πάλιν Ἰάκωβος λέγει: «Ἀδελφοί, ἐάν τις πλανηθῇ ἀπὸ τῆς ὁδοῦ τῆς ἀληθείας, καὶ ἐπιστρέψῃ τις αὐτόν, γινωσκέτω ὅτι ὁ ἐπιστρέψας ἁμαρτωλὸν ἐκ πλάνης ὁδοῦ αὐτοῦ σώσει ψυχὴν ἐκ θανάτου καὶ καλύψει πλῆθος ἁμαρτιῶν» (Ἰάκ. ε'. 19—20). Ἰδοὺ πᾶσαι αἱ μαρτυρίαι αὗται τῶν Γραφῶν ἐνδυναμοῦσιν ἡμᾶς, ἵνα ἐξερευνήσωμεν ἑαυτούς, μήπως ποιοῦντες τὸν κόπον, ἔχομεν κακίαν πρὸς τὸν πλησίον, ἢ κατέχομεν ὀργὴν εἰς αὐτόν, μὴ συγχωροῦντες, καὶ ἀπολέσει ἡμῶν τοὺς καμάτους, καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς οὐ βοηθεῖ ἡμῖν ἐν τῇ ὥρᾳ, ὅταν θλίβωσιν ἡμᾶς οἱ ἐχθροὶ ἡμῶν. Αὐτὸς γὰρ ἐμέμψατό τινας τοιούτους, λέγων: «Δοῦλε πονηρέ, πᾶσαν τὴν ὀφειλὴν ἐκείνην ἀφῆκά σοι, ἐπεὶ παρεκάλεσάς με· οὐκ ἔδει καὶ σὲ ἐλεῆσαι τὸν σύνδουλόν σου; καὶ ὀργισθεὶς παρέδωκεν αὐτὸν τοῖς βασανισταῖς, ἕως οὗ ἀποδῷ πᾶσαν τὴν ὀφειλήν. Οὕτω, φησί, ποιήσει ὁ πατὴρ ἡμῶν ὁ οὐράνιος, ἐὰν μὴ ἀφῇ ἕκαστος τῷ ἀδελφῷ αὐτοῦ ἐξ ὅλης καρδίας ὑμῶν» (Ματθ. ιη'. 32—35). Ἐξερεύνησον οὖν σεαυτόν [1], ἀδελφέ, καθ' ἡμέραν κατανοῶν τὴν καρδίαν σου, τί ἐστιν ἐν αὐτῇ ἐνώπιον τοῦ Θεοῦ, ἢ μέμψις ἀδελφοῦ, ἢ μῖσος, ἢ ὀνειδισμός, ἢ φθόνος, ἢ ὑπεροψία, λέγων, ὅτι οὐ δύνασαι τούτῳ προσέχειν, παροξυντικὸς γάρ ἐστιν· ἐὰν σπαρῇ ἰὸς τοιοῦτος ἐν τῇ καρδίᾳ σου, μνημόνευε τοῦ λόγου τοῦ Κυρίου Ἰησοῦ, εἰπόντος, ὅτι: «Οὕτω ποιήσει ὑμῖν ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος, ἐὰν μὴ ἀφῇ ἕκαστος τῷ ἀδελφῷ αὐτοῦ ἐξ ὅλης καρδίας» (ἔνθ' ἀνωτ.).

1) Φιλοκαλία τομ. α'. σελ. 20, κεφ. κ'.

ΙΕ'. Ὅστις οὖν φοβεῖται ἀπελθεῖν εἰς τὴν γέενναν, πᾶσαν πονηρίαν ἀπορρίψει ἀπὸ τῆς καρδίας αὐτοῦ, ἵνα μὴ ἡ ἀπόφασις αὕτη ἡ πονηρὰ ἔλθῃ ἐπ' αὐτόν [1]. Πρόσχες οὖν τῇ καρδίᾳ σου, ἀδελφέ, καὶ γρηγόρει αὐτοῖς [2], πανοῦργοί εἰσιν ἐν τῇ κακίᾳ αὐτῶν καὶ πείσθητι ἐν τῇ καρδίᾳ σου ἐπὶ τῷ λόγῳ τούτῳ, ὅτι ἀδύνατον ἀνθρώπῳ ποιῆσαι καλά, ποιοῦντι κακά. Δυνατὸν δὲ τῷ ἀνθρώπῳ πονηρὰ ἐξ ἀφορμῆς [3] τοῦ ἀγαθοῦ ποιῆσαι. Διὰ τοῦτο ἐδίδαξεν ἡμᾶς ὁ Σωτὴρ ἡμῶν γρηγορεῖν ἐπ' αὐτούς, λέγων, ὅτι: «Στενή ἐστιν ἡ πύλη καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωὴν καὶ ὀλίγοι εἰσὶν οἱ εὑρίσκοντές αὐτήν, πλατεῖα δὲ καὶ εὐρύχωρος ἡ ἀπάγουσα εἰς τὴν ἀπώλειαν, καὶ πολλοί εἰσιν οἱ πορευόμενοι δι' αὐτῆς· φυλάξατε γὰρ ἑαυτούς, φησίν, ἀπὸ τῶν ψευδοπροφητῶν, οἵτινες ἔρχονται πρὸς ὑμᾶς ἐν ἐνδύμασι προβάτων, ἔσωθεν δέ εἰσι λύκοι ἅρπαγες· ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς» (Ματθ. ζ'. 13—16). Ποῖοί εἰσιν οἱ καρποὶ αὐτῶν, εἰ μὴ πᾶσα ἡ παράφυσις, ἐν ᾗ ἐπίκεινται ἡμῖν, θέλοντες τὴν καρδίαν ἡμῶν πεῖσαι ἐν αὐτῇ; Ἀλλὰ τοὺς ἀγαπῶντας τὸν Θεὸν [4] ἐξ ὅλης καρδίας, οἱ ψευδοπροφῆται πεῖσαι οὐ δύνανται ἔν τινι τῶν ἑαυτῶν, κατὰ τὸν λόγον τοῦ ἀποστόλου: «Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; Θλῖψις ἢ στενοχωρία ἢ διωγμὸς ἢ λιμὸς ἢ γυμνότης ἢ κίνδυνος ἢ μάχαιρα; πέπεισμαι γάρ, ὅτι οὔτε θάνατος οὔτε ζωὴ οὔτε ἄγγελοι οὔτε ἀρχαὶ οὔτε ἐνεστῶτα οὔτε μέλλοντα οὔτε κτίσις ἑτέρα δυνήσεται ἡμᾶς χωρίσαι ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ» (Ρωμ. η'. 35, 39). Εἶδες, ἀδελφέ μου, τοὺς ἀγαπήσαντας τὸν Θεὸν ἐξ ὅλης καρδίας, ὅτι οὐδὲν τοῦ κόσμου δύναται χωρίσαι αὐτοὺς ἀπὸ τῆς ἀγάπης αὐτοῦ; Πρόσχες οὖν σεαυτῷ, μήπως τι τῆς ἀπωλείας ἀποστήσει σε τῆς ἀγάπης τοῦ Θεοῦ, ἢ χρυσός, ἢ ἄργυρος, ἢ οἰκήματα ἢ ἡδονή, ἢ μῖσος ἢ ὀνειδισμός, ἢ πλήξει σέ τις ἐν λόγῳ, ἢ πᾶς ἰὸς τοῦ δράκοντος

1) «Ἵνα μὴ ἡ ἀπόφασις αὕτη ἡ πονηρὰ ἔλθῃ ἐπ' αὐτὸν» ἐλλείπει ἐν τῷ λατιν.
2) Τοῖς ἐχθροῖς.
3) Χείρ. Ἐξαμορφῆς.
4) Εὐεργετην. βιβλ. α'. ὑπόθεσ. κδ'. σελ. 80.

τοῦ ἐμφυσῶντος ἐν τῇ καρδίᾳ ἡμῶν. Μὴ ταραχθῇς οὖν· ἀλλὰ μᾶλλον σπουδάσωμεν ἀτενίσαι εἰς τὸν χαλκοῦν ὄφιν, ὃν ἐποίησε Μωϋσῆς, κατὰ τὸν λόγον τοῦ Κυρίου· ἔθηκε γὰρ αὐτὸν ἐπὶ τοῦ ξύλου ἐπὶ κορυφὴν τοῦ ὄρους, ἵνα, πᾶς ὁ δακνόμενος ὑπὸ τοῦ ὄφεως, πάραυτα ἀτενίζῃ εἰς αὐτὸν καὶ ἰᾶται (Ἀριθ. κα'. 8—9). Ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ὡμοιώθη τῷ ὄφει τῷ χαλκῷ· ἐπειδὴ ἐχθρός ἐστιν, ἀκούσας Ἀδὰμ ἐχθρὸς γέγονε τοῦ Θεοῦ· ὁ δὲ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἄνθρωπος τέλειος γέγονε κατὰ πάντα χωρὶς ἁμαρτίας (Ἑβρ. δ'. 15), καθ' ὁμοιότητα τοῦ Ἀδὰμ δι' ἡμᾶς· ὄφις δὲ χαλκοῦς, ὅτι ὅμοιός ἐστιν τοῦ γενομένου ἐχθροῦ τοῦ Θεοῦ· λογισμὸν δὲ πονηρὸν οὐκ ἔχει, οὐδὲ ἰόν, οὔτε κακίαν, οὔτε κάμπτεται, οὔτε φυσᾷ, οὔτε πνοὴν ἐχθροῦ ἔχει. Τὸν τύπον τοῦτον ἐποίησεν ὁ Κύριος ἡμῶν Ἰησοῦς, ἕως οὗ σβέσῃ τὸν ἰόν, ὃν ἔφαγεν ὁ Ἀδὰμ ἐκ τοῦ στόματος τοῦ δράκοντος καὶ ἐπιστραφῇ ἡ φύσις, ἡ γενομένη παράφυσις εἰς τὴν κατὰ φύσιν· λέγει γὰρ τῷ Μωϋσεῖ: «Τί ἐστι τὸ ἐν τῇ χειρί σου; καὶ εἶπε, ῥάβδος· καὶ εἶπεν αὐτῷ· ῥῖψον αὐτὴν εἰς τὴν γῆν, καὶ ἔρριψε καὶ γέγονεν ὄφις· καὶ ἔφυγε Μωϋσῆς ἀπὸ προσώπου αὐτοῦ. Καὶ λέγει αὐτῷ ὁ Θεός, ἔκτεινον τὴν χεῖρά σου καὶ ἅψαι τῆς κέρκου αὐτοῦ. Καὶ ἥψατο καὶ γέγονε ῥάβδος ἐν τῇ χειρὶ αὐτοῦ» (Ἔξοδ. δ'. 2—4). Καὶ λέγει αὐτῷ ὁ Θεός: «Λάβε τὴν ῥάβδον τὴν στραφεῖσαν εἰς ὄφιν, καὶ πατάξεις τὸν ποταμὸν Αἰγύπτου, ἐνώπιον Φαραώ, καὶ μεταστραφήσεται εἰς αἷμα τὸ ὕδωρ αὐτοῦ» (αὐτόθ. ζ'. 19)· καὶ πάλιν: «Λάβε τὴν ῥάβδον, τὴν μεταστραφεῖσαν εἰς ὄφιν, καὶ πατάξεις τὴν Ἐρυθρὰν θάλασσαν ἐν αὐτῇ καὶ ξηρανθήσεται»· καὶ πάλιν: «Λάβε τὴν ῥάβδον σου, ἣν ἔχεις ἐν τῇ χειρί σου, ἐν ᾗ ἐπάταξας τὴν θάλασσαν, καὶ ἐρεῖς πρὸς τὴν πέτραν καὶ δώσει τὸ ὕδωρ αὐτῆς» (Ἀριθ. κ'. 8).

ΙΣΤ'. Βλέπεις, ὅτι ὁ κατ' ἴχνος βαίνων τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ τὸ γενέσθαι αὐτὸν ἐχθρὸν καὶ ὄφιν, μεταστραφήσεται εἰς ῥάβδον καὶ οὐδεὶς τῶν ἐχθρῶν ἀνθίσταται αὐτῷ; Τὸ μυστήριον τοῦτο μέγα ἐστίν, ὅτι ἐὰν ὁ δράκων σπείρῃ τὸν ἰὸν αὐτοῦ εἰς ἡμᾶς, σπουδάσωμεν ἀτενίσαι εἰς τὸν ἀνελθόν-

τα εἰς τὸν σταυρόν, ὅτι ταῦτα πάντα ἐποίησαν αὐτῷ δι' ἡμᾶς καὶ ὑπέμεινεν ἀλλοιωθείς, μηδὲ λυπηθεὶς ἐπὶ τοὺς κακώσαντας αὐτόν, μηδὲ ἀποκριθεὶς λόγον σκληρόν, ἀλλὰ ἀκίνητος διέμεινεν, ὡς ὁ χαλκοῦς ὄφις. Ἐὰν οὖν πρόσχωμεν αὐτῷ καὶ κατιχνεύσωμεν αὐτῷ, ὑγιεῖς γινόμεθα ἐκ τῶν δηγμάτων τῶν κρυπτῶν ὄφεων. Ἡ δύναμις αὐτοῦ ἐστι καὶ ἡ βοήθεια τοῦ εἰπόντος, ὅτι: «Καθάπερ Μωϋσῆς ὕψωσε τὸν ὄφιν ἐν τῇ ἐρήμῳ, οὕτως ὑψωθῆναι δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλὰ δέξηται ζωὴν αἰώνιον» (Ἰωάν γ'. 14). Τοῦτό ἐστι τὸ ἰχνεύειν αὐτόν, ἵνα ὑγιεῖς αὐτῷ γινώμεθα· πῶς οὖν ὑγιεῖς γινόμεθα; Ἐὰν πιστεύσωμεν, ὅτι δυνατός ἐστι. Πρὸς γὰρ τοὺς δηχθέντας ἐν τῇ ἐρήμῳ, οὐκ αὐτὸς ὁ χαλκοῦς ὄφις ἤρχετο θεραπεύων αὐτούς, ἀλλ' ὁ δηχθεὶς ὑπὸ τοῦ ὄφεως διὰ πίστεως ἠτένιζεν εἰς αὐτὸν καὶ ὑγιὴς ἐγίνετο· ἐπεὶ πολλοὶ ἦσαν οἱ ἀποθανόντες ὑπὸ τῶν ὄφεων, οἱ μὴ πιστεύσαντες εἰς τὸν λόγον τοῦ Θεοῦ, καθὼς εἶπεν ὁ ἀπόστολος: «Καὶ μὴ ἐκπειράσωμεν, καθὼς ἐκεῖνοι ἐπείρασαν καὶ ἀπώλοντο ὑπὸ τῶν ὄφεων» (Α'. Κορινθ. ι'. 9). Οἶδας, ἀδελφέ, ἕως σήμερόν [1] εἰσιν οἱ ὄφεις ἐν τῇ ψυχῇ τῇ θελούσῃ πειρᾶσαι τὸν Ἰησοῦν, εἰ μὴ τὸ ἐρωτᾷν ἡμᾶς τὰς ἐντολὰς αὐτοῦ καὶ μὴ ἐργάζεσθαι αὐτὰς καθὼς γέγραπται· «λέγει αὐτῷ εἷς ἐκ τῶν νομικῶν, πειράζων αὐτὸν καὶ λέγων· διδάσκαλε, ποία ἐντολὴ μεγάλη καὶ πρώτη ἐστὶν ἐν τῷ νόμῳ; ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ· ἀγαπήσεις Κύριον τὸν Θεόν σου ἐν ὅλῃ καρδίᾳ σου καὶ ἐν ὅλῃ τῇ ψυχῇ σου, καὶ τὸν πλησίον σου ὡς σεαυτόν. Ἐν ταύταις ταῖς δυσὶν ἐντολαῖς ὅλος ὁ νόμος καὶ οἱ προφῆται κρέμανται» (Ματθ. κβ'. 36—40). Βλέπεις, ὅτι οἱ ἐρωτῶντες καὶ μὴ ποιοῦντες, πειρασταὶ καλοῦνται, ὅτι οὐ θέλουσι πιστεῦσαι τῷ ὄφει τῷ χαλκῷ, τῷ δυναμένῳ σῶσαι αὐτοὺς ἐκ τοῦ ἰοῦ τοῦ κρυπτοῦ ὄφεως;

ΙΖ'. Κάτεχε[2] οὖν τὴν καρδίαν σου καὶ μὴ ἀκηδιάσῃς λέγων,

---

1) Ἀνώμαλος ἡ φράσις. Ἴσως γραπτέον: Τίνες ἕως σήμερον κλ. ἐν τῷ λατιν. Cernis, frater, hoc item tempore serpentes in eorum cordibus inesse, qui tentare volunt Dominum Jesum? quinam sunt isti? Illi nimirum qui mandata ejus requirunt, cum ea nolint observare.

2) Εὐεργετην. βιβλ. α. ὑπόθεσ. α', σελ. 8

ὅτι πῶς δύναμαι αὐτοῦ φυλάξαι τὰς ἀρετάς, ἁμαρτωλὸς ἄνθρωπος ὤν; Ὅταν γὰρ καταλείψῃ ἄνθρωπος τὰς ἁμαρτίας αὐτοῦ, καὶ ἐπιστρέψῃ ἐπὶ τὸν Θεόν, ἡ μετάνοια αὐτοῦ ἀναγεννᾷ αὐτόν [1], καθὼς λέγει ὁ ἀπόστολος, ὅτι: «Καθὼς ἐφορέσαμεν τὴν εἰκόνα τοῦ χοϊκοῦ, φορέσομεν καὶ τὴν εἰκόνα τοῦ ἐπουρανίου (Α'. Κορινθ. ιε'. 49). Βλέπεις ὅτι ἔδωκε τῷ ἀνθρώπῳ [2] ἀλλαγῆναι ἀπὸ [3] τῆς μετανοίας καὶ ὅλον καινὸν γενέσθαι δι᾽ αὐτῆς; ἀλλ᾽ ὅσον τὸ βρέφος εἰς τοὺς κόλπους τῆς μητρὸς αὐτοῦ ἐστι, πᾶσαν ὥραν φυλάττει αὐτὸ ἀπὸ παντὸς πονηροῦ. Ὅταν δὲ κλαύσῃ, παρέχει αὐτῷ τὸν μασθὸν αὐτῆς. Μικρὸν μικρὸν κολαφίζει αὐτό, κατὰ τὴν δύναμιν αὐτοῦ, ἐκφοβοῦσα αὐτὸ δέξασθαι τὸ γάλα αὐτῆς μετὰ φόβου, καὶ μὴ ἔχειν τὴν καρδίαν αὐθάδη. Καὶ ἐὰν κλαύσῃ, σπλαγχνίζεται εἰς αὐτὸ ὅτι ἐκ τὰ ἔντερα αὐτῆς ἐστιν [4], παρακαλεῖ αὐτό [5], θάλπει αὐτό, ἕως οὗ δέξηται τὸν μασθὸν αὐτῆς. Ἐὰν ἐπιδειχθῇ τῷ βρέφει χρυσός, ἢ ἄργυρος, ἢ μαργαρῖται, ἢ πᾶν σκεῦος τοῦ κόσμου, προσέχει μὲν αὐτοῖς, ἀλλ', εἰς τοὺς κόλπους τῆς μητρὸς ὑπάρχον, πάντα παραβλέπει, ἵνα μεταλάβῃ τοῦ μασθοῦ αὐτῆς. Οὐ μάχεται αὐτῷ ὁ πατήρ, διατὶ οὐκ ἐργάζεται, ἢ διὰ τί οὐκ ἀπέρχεται εἰς τὸν πόλεμον πρὸς τοὺς ἐχθροὺς αὐτοῦ, ἐπειδὴ μικρός ἐστι καὶ οὐ δύναται, τοὺς πόδας μὲν ἔχει, ἀλλ᾽ οὐ δύναται στῆναι εἰς αὐτούς, χεῖρας ἔχει, ἀλλ᾽ οὐ δύναται κατασχεῖν πανοπλίαν. Ἀλλὰ μικρὸν μικρὸν μακροθυμεῖ ἡ μήτηρ αὐτοῦ ἐπ᾽ αὐτῷ, ἕως οὗ αὐξήσῃ. Ἐπειδὰν δὲ αὐξήσῃ μικρόν, καὶ θελήσῃ παλαῖσαι μετὰ ἄλλου, κἀκεῖνος ρίψῃ αὐτὸ χαμαί, οὐκ ὀργίζεται αὐτῷ ὁ πατὴρ αὐτοῦ, γινώσκων, ὅτι παιδίον ἐστίν. Ἐπὰν δὲ γένηται ἀνήρ, ἐκφαίνεται αὐτῷ ἡ σπουδή, εἰ ἐχθρεύει τοῖς ἐχθροῖς τοῦ πατρὸς αὐτοῦ, καὶ τότε πιστεύει αὐτῷ τὰ ἐ-

---

1) Ἕπονται τὰ ἑξῆς ἐν τῷ Εὐεργετηνῷ: «Καὶ ὡς νήπιον, γάλα παρέχει αὐτῷ ἐκ τῶν ἁγίων αὐτῆς μασθῶν, καὶ ἀνατρέφει αὐτὸν οἷα μήτηρ φιλόστοργος. ἐφ᾽ ὅσον τὸ βρέφος» κ. τ. λ.

2) Ἤτοι ἐξουσίαν.

3) Ἀπό=ἐκ, διά.

4) Σημείωσον τὴν αἰτιατικὴν μετὰ τῆς ἐκ, κατὰ τὸν ἐσχάτως παρεφθαρμένον ἑλληνικὸν λόγον.

5) Φιλεῖ αὐτό. ἐν τῷ Εὐεργετηνῷ, ἐνθ᾽ ἀν.

αυτοῦ, ὅτι υἱὸς αὐτοῦ ἐστιν. Εἰ δὲ μετὰ πάντας τοὺς κόπους, οὓς οἱ γονεῖς ἐκοπίασαν μετ' αὐτοῦ, προκόψας, γένηται λοιμός [1], καὶ μισήσῃ τοὺς γονεῖς καὶ μὴ ὑπακούσῃ τῇ εὐγενείᾳ αὐτῶν, καὶ φιλιάσῃ μετὰ τῶν ἐχθρῶν αὐτοῦ, ἀφαιροῦσι τὴν εὐσπλαγχνίαν αὐτῶν ἀπ' αὐτοῦ καὶ ἐκβάλλουσιν αὐτὸν ἐκ τοῦ οἴκου αὐτῶν μὴ δοῦναι αὐτῷ κληρονομίαν.

ΙΗ'. Καὶ ἡμεῖς οὖν, ἀδελφοί, φροντίσωμεν ἑαυτῶν μεῖναι ἐν τῇ σκέπῃ τῆς μετανοίας, καὶ γάλα δεξώμεθα ἐκ τῶν ἁγίων αὐτῆς μασθῶν, ἵνα αὐτὴ ἡμᾶς θρέψῃ. Πάντα οὖν παρίδωμεν τὰ βλεπόμενα, ἕως γλυκανθῇ ἐν τῷ στόματι ἡμῶν τὸ γάλα αὐτῆς. Βαστάξωμεν τὸν ζυγὸν αὐτῆς παιδευούσης, ἵνα φροντίσῃ ἡμῶν, καὶ ἐὰν πολεμῶμεν μετὰ τῶν ἐχθρῶν ἡμῶν καὶ κατενέγκωσιν ἡμᾶς ὡς μικρούς, κλαύσωμεν ἐνώπιον αὐτῆς, ἵνα παρακαλέσῃ τὸν πατέρα ἡμῶν ἐκδικῆσαι ἡμᾶς ἀπὸ τῶν ἀδικησάντων ἡμᾶς. Ἐκκόψωμεν πᾶν θέλημα τῆς καρδίας ἡμῶν, καὶ ἀγαπήσωμεν τὸ ξενιτεύειν, ἵνα σώσῃ ἡμᾶς, ὡς τὸν Ἀβραάμ. Ὑποταγῶμεν ὑπὸ τὰς χεῖρας αὐτῆς, ὡς ὁ Ἰακώβ, ἵνα δεξώμεθα τὴν εὐλογίαν παρὰ τοῦ πατρὸς ἡμῶν, ὡς ὁ Μωϋσῆς ἐμίσησε καὶ ἐφυλάχθη ὑπὸ τὴν σκέπην αὐτῆς, καὶ ἀνέστη πρὸς τοὺς θέλοντας αὐτὴν ἀποκτεῖναι, ὡς ἐλευθέρους πάσης ἡδονῆς. Μὴ καταφρονήσωμεν αὐτῆς, ἵνα μὴ μισήσῃ ἡμᾶς, ὡς τὸν Ἡσαῦ. Φυλάξωμεν τὴν ἁγνείαν αὐτῆς, ἵνα ὑψώσῃ ἡμᾶς ἐν τῇ γῇ τῶν ἐχθρῶν ἡμῶν. Σχῶμεν αὐτὴν σκέπην καλήν, ὡς ὁ Ἰησοῦς, υἱὸς Ναυῆ· παιδίον ἦν, φησί, μὴ ἐξερχόμενον ἐκ τῆς σκηνῆς. Μὴ ἐάσωμεν τόπον τῇ ἀκηδίᾳ ἐν τῇ καρδίᾳ ἡμῶν, ἵνα μὴ ἀποκληρονόμους ἡμᾶς ποιήσῃ τῆς γῆς τῆς ἐπαγγελίας. Ἀγαπήσωμεν τὸ ἐν πᾶσι ταπεινὸν καὶ σπουδάσωμεν, ἵνα εἰσέλθωμεν εἰς τὴν γῆν, τὴν ῥέουσαν μέλι καὶ γάλα, ὡς ὁ Βαλέκ. Μηδὲν τῆς ἀπωλείας ἐπιθυμήσωμεν, ἵνα μὴ ἐξολοθρευθῶμεν, ὡς ὁ Ἄχαρ. Ἀγαπήσωμεν τὴν συνείδησιν αὐτῆς, τὴν κατανύγουσαν ἡμᾶς πᾶσαν ὥραν, ἵνα σώσῃ ἡμᾶς ἐν τῇ ὥρᾳ τοῦ πειρασμοῦ, ὡς τὴν Ραάβ. Μὴ ἀγαπήσωμεν τὴν γαστριμαργίαν, ἵνα μὴ ἐξολοθρεύσῃ ἡμᾶς, ὡς τοὺς

1) Ἐν τῷ Λατιν. Fames aut pestis aut bellum.

υἱοὺς Ἠλεί. Τηρήσωμεν ἑαυτοὺς ἀπὸ πάσης ἀδικίας, ὡς Σαμουήλ. Μὴ καταγνωσθῇς ὑπὸ τῆς συνειδήσεως, ποιήσας τὸ πονηρὸν τῷ πλησίον [1]. Μὴ ἀγαπήσωμεν τὸ ζῆλος. τὸ πονηρὸν εἰς τοὺς ἑτέρους, ἵνα μὴ ἀπορρίψῃ ἡμᾶς, ὡς τὸν Σαούλ [2]. Ἀγαπήσωμεν τὸ μὴ ἀνταποδοῦναι πονηρὸν τῷ πλησίον, ἵνα φυλάξῃ ἡμᾶς ἀπὸ τοῦ πονηροῦ, ὡς τὸν Δαβίδ. Μὴ ἀγαπήσωμεν τὸ μεγαλαυχεῖν καὶ τὴν κενοδοξίαν, ἵνα μὴ ἀπορρίψῃ ἡμᾶς ἀπὸ προσώπου τοῦ πατρὸς ἡμῶν, ὡς τὸν Ἀβεσαλώμ. Ἀγαπήσωμεν τὴν ταπεινοφροσύνην καὶ τὴν σεμνότητα, ἵνα σχῇ ἡμᾶς ἐκδίκους κατὰ τῶν ἐχθρῶν τοῦ πατρὸς ἡμῶν, ὡς τὸν Σολομῶντα. Ἀγαπήσωμεν τὴν ὑποταγὴν ἐν ἅπασιν, ὑπωπιάζοντες τὰ μέλη ἡμῶν ἀπὸ παντὸς πράγματος νεκροῦ, ἵνα λάβωμεν καρδίαν ἀνδρείαν ἐπὶ τοὺς ἐχθροὺς ἡμῶν, ὡς ὁ Ἠλίας ὁ Θεσβίτης. Μὴ γινώμεθα φιλήδονοι καὶ ἐπιθυμηταί, ἵνα μὴ ἐξολοθρεύσῃ ἡμᾶς, ὡς τὸν Ἀχαάβ. Ἀγωνισώμεθα, ἕως θανάτου, πρὸς τὸ μὴ ἀπολέσαι ἡμᾶς, τὴν ἁγίαν αὐτῆς κληρονομίαν, ὡς Ναβουθαὶ ὁ Ἰσραηλίτης. Ὑπήκοοι γενώμεθα τῶν κατὰ Θεὸν πατέρων ἡμῶν ἐν πᾶσιν, ἐκκόπτοντες πᾶν θέλημα ἡμῶν, ἕως οὗ ὑποταγῶμεν αὐτῆς [3], ἵνα μείνῃ ἡ εὐλογία αὐτῶν μεθ' ἡμῶν, ὡς εἰς τὸν Ἐλισσαῖον. Μὴ γενώμεθα φιλάργυροι, καὶ ψευδεῖς ἀνθρωπάρεσκοι, ἵνα μὴ καταράσηται ἡμᾶς, ὡς τὸν Γιεζί. Ἀγαπήσωμεν τοὺς πιστοὺς ἐν ἅπασιν ὑπὲρ ἑαυτούς, ἵνα εὐλογήσῃ ἡμᾶς, ὡς τὴν Σουμανῖτιν. Μὴ γενώμεθα φιλοπαθεῖς [4] αἰσχρῶν, ἵνα μὴ ἐξολοθρεύσῃ ἡμᾶς ἀπὸ προσώπου αὐτῆς, ὡς τὸν Ἀχιὰ καὶ Σεδεκίαν, τοὺς τηγανισθέντας ὑπὸ τοῦ βασιλέως Βαβυλῶνος. Μισήσωμεν τὴν ἁμαρτίαν διὰ τὴν ψυχὴν ἡμῶν, ἕως θανάτου, ἵνα βοηθήσῃ ἡμῖν ἐν τῇ ἡμέρᾳ τῆς ἀνάγκης, ὡς τῇ Σωσάννῃ. Μὴ ἐπιθυμήσωμεν διάφορα ἐδέσματα,

1) Ἴσως διορθωτέον τὸ χωρίον οὕτω: «Τηρήσωμεν ἑαυτοὺς ἀπὸ πάσης ἀδικίας, ὡς Σαμουήλ, μὴ καταγνωσθεὶς ὑπὸ τῆς συνειδήσεως, ὡς ποιήσας τὸ πονηρὸν τῷ πλησίον», ὡς καὶ ἐν τῷ Λατιν. Servemus nos integros ab omni iniquitate, sicuti Samuel, qui nullo conscientiae stimulo pungebatur, quod mali quidpiam fecisset proximo suo.

2) Ἡ τελευταία περίοδος ἐλλείπει ἐν τῷ Λατιν.

3) Αὐτοῖς.

4) «Μὴ γενώμεθα» κλ. μέχρι τέλους τῆς περιόδου ἐλλείπει ἐν τῷ λατιν.

ἵνα μὴ καταλείψῃ ἡμᾶς, ὡς τοὺς μεταλαβόντας ἐκ τῆς τραπέζης τοῦ Ναβουχοδονόσορος. Ἀγαπήσωμεν τὴν κακοπάθειαν ἐν πᾶσιν, ἵνα χαρῇ ἐν ἡμῖν, ὡς ἐν τοῖς περὶ τὸν Ἀζαρίαν. Μὴ γενώμεθα πανοῦργοι, ὡς οἱ Βαβυλώνιοι, γογγύζοντες κατὰ τῶν πιστῶν. Ἀποπληρώσωμεν τὰς διακονίας ἡμῶν, ὡς ὁ Δανιὴλ μὴ ὑπακούοντες τῇ ὀκνηρίᾳ τοῦ σώματος, ὅτι ἠβουλήθη ἀποθανεῖν, ἢ ἀφελεῖν τὰς λειτουργίας, ἃς ἐπετέλει καθ᾽ ἑκάστην ἡμέραν. Ὁ γὰρ Θεὸς ἰσχυρός ἐστιν, ὁ σώζων τοὺς ἀγαπῶντας αὐτὸν ἀπὸ τῶν πειρασμῶν, τοὺς δὲ πονηροὺς ἐξολοθρεύων, τοῦ γὰρ δικαίου ἡ πίστις ἡ πρὸς τὸν Θεὸν ἐποίησε τὰ θηρία, ὡς ἀρνία προβάτων. Εὐλογητὸς ὁ Θεὸς τῆς μετανοίας, καὶ εὐλογημένος παρ᾽ αὐτῷ ὁ ἀγαπήσας αὐτὴν καὶ ὑποθεὶς τὸν αὐχένα ὑπὸ τὸν ζυγὸν τοῦ θελήματος αὐτῆς, ἕως ἀναγεννηθῇ ἄνωθεν ἐν τῷ θελήματι τοῦ Θεοῦ.

ΙΘ΄. Χρῄζει οὖν, ἀδελφέ μου, ὁ ἄνθρωπος μεγάλην διάκρισιν, καὶ ἐκκοπὴν παντὸς θελήματος σαρκικοῦ, καὶ νήφειν ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ μετὰ προσοχῆς, πρὸς τὸ μὴ πλανηθῆναι καὶ ἐμπεσεῖν εἰς τὰς χεῖρας τῶν ἐχθρῶν αὐτῆς[1]· ἡ γὰρ ἀφορμὴ τοῦ δικαιώματος σφάζει αὐτήν· τὸ κρῖναι τοὺς ἁμαρτωλοὺς διώκει αὐτήν· τὸ ἐξουδενῶσαι τοὺς ἀμελεῖς, κωλύει αὐτήν. Γέγραπται ἐν ταῖς Παροιμίαις περὶ αὐτῆς, ὅτι: «Πᾶσαι αἱ τρίβοι αὐτῆς εὐθεῖαι, σῖτα δὲ ὀκνηρὰ οὐκ ἔφαγεν, δισσὰς στολὰς καὶ χλαῖνας ἐποίησε τῷ ἀνδρὶ αὐτῆς, ἐγένετο ὡς ναῦς ἐμπορευομένη μακρόθεν, αὕτη συνάγει τὸν πλοῦτον» (λα΄. 27, 22, 14). Κατανοήσωμεν αὐτὴν ἐκ τοῦ λόγου τούτου, ὅτι αὐτὸς ὁ ἔμπορος, ὁ ἐμβαλλόμενος εἰς τὸ πλοῖον ἐκεῖνο, οὐχὶ μόνον ἓν εἶδος ἐμβάλλεται, ἀλλὰ πάντα, δι᾽ ὧν οἶδε κερδαίνειν ἐξ αὐτῶν. Καὶ ἐὰν ἴδῃ τινὰ ζημιούμενον, οὐ ζηλοῖ αὐτόν, ἀλλὰ ζηλοῖ τοὺς πλουτήσαντας καὶ μείναντας ἐν τῷ οἴκῳ αὐτῶν. Πᾶν πρᾶγμα ἐπιζήμιον μισεῖ, πᾶν δὲ ἐπικερδὲς δανείζεται, ἕως ἀγοράσῃ ἴδιον. Ἡ αἰχμαλωσία αὐτοῦ αὕτη ἐστίν, ἐν οἵῳ πράγματι ἐκέρδανεν, ἵνα πάλιν φροντίσῃ ἀγοράσαι ἐξ αὐτοῦ, καὶ ἐρωτᾷ τοὺς

1) Ἤτοι, τῆς μετανοίας.

μὴ φθονοῦντας αὐτῷ καὶ πλουτήσαντας ἐν τῷ οἴκῳ αὐτῶν, πῶς τοῦτο πωλήσω, πόσον αὐτὸ ἀγοράσω[1]. Τοιαύτη ἐστὶν ἡ ψυχὴ ἡ θέλουσα ἀπαντῆσαι τῷ Θεῷ ἀπροσκόπτως. Οὐκ ἀρκεῖ αὐτῇ ἓν πρᾶγμα, ἀλλὰ πᾶν πρᾶγμα ἐπικερδὲς φροντίζει· ἐὰν δὲ μάθῃ ἓν πρᾶγμα ἐπιζήμιον, φεύγει ἀπ' αὐτοῦ, ἵνα μὴ ζημιωθῇ. Νῦν οὖν, ἀδελφέ μου, ὠνόμασας ἑαυτὸν πραγματευτὴν τοῦ Ἰησοῦ γενέσθαι· φρόντισον· ἡ γὰρ πραγματεία τοῦ βασιλέως ἐκείνου μακράν ἐστιν ἀπὸ παντὸς πράγματος ἐπιζημίου· καὶ ταῦτά ἐστι τὰ ἐπιζήμια αὐτοῦ, ἡ δόξα τῶν ἀνθρώπων, ἡ ὑπερηφανία, τὸ δικαιῶσαι ἑαυτόν, ἡ ὑπεροψία, τὸ λαλῆσαι εἰς τὸ παροξῦναι, τὸ ἀγαπῆσαι τὸν πλεονασμόν, τὸ καυχᾶσθαι, τὸ ἀγαπᾶν τὸν περισπασμόν· ταῦτα πάντα ἐπιζήμιά ἐστι τῶν πραγματευτῶν τοῦ Ἰησοῦ, καὶ ἀδύνατον αὐτοὺς εὐχαριστῆσαι αὐτῷ, ταῦτα ἔχοντας ἐν τῇ θήκῃ αὐτῶν. Ἐξερεύνησον οὖν ἑαυτόν, ἀδελφέ, τί σοι ὑπάρχει. κατανοήσει ὁ νοῦς σου ποία αὐτῶν καρποφορεῖ τῷ Θεῷ, ἢ ποία αὐτῶν πείθεται τῇ ἁμαρτίᾳ, εἰ οἱ ὀφθαλμοί σου συναρπάζονται ἐν ἡδονῇ, ἢ ἡ γλῶσσά ἐστιν ἡττωμένη ἐν προπετείᾳ, εἰ ὁρᾷς τὴν καρδίαν σου γλυκαινομένην μετὰ τῆς ἀνθρωπίνης τιμῆς, εἰ χαίρει τὰ ὦτά σου μετὰ καταλαλιᾶς. Ταῦτα γὰρ πάντα ἐπιζήμιά ἐστι τοῦ νοός· γέγραπται γὰρ ἐν τῷ Λευϊτικῷ: «Οὕτως εἰπὲ τῷ Ἀαρών, μὴ ἀνενέγκῃς ἐπὶ τὸ θυσιαστήριόν μου ἐκ τῶν ἀκαθάρτων κτηνῶν ἔχον μῶμον, ἵνα μὴ ἀποθάνῃς» (Λευϊτ. κβ'. 18, 20). Ὁ οὖν Ἀαρὼν ὑπόδειγμά ἐστι τοῦ νοός. Ἐπειδὴ δὲ ἡ ἔχθρα τὴν κακίαν αὐτῆς μίσγει μετὰ ἀφορμῆς δικαιώματος, διὰ τοῦτο παρήγγειλε πρότερον ἐξερευνῆσαι πρὸ τοῦ ἀνενεγκεῖν, ἵνα μὴ ἀποθάνῃ. Τὸ δὲ ἀποθανεῖν τὸ συγκατελθεῖν ἐστιν ἐκ τῆς θεωρίας καὶ πεισθῆναι μετὰ τῶν θελόντων μιᾶναι τὰς αἰσθήσεις αὐτοῦ.

Κ'. Οὗτοί εἰσιν οἱ λόγοι[2] τῶν ἀγαπησάντων τὸν Ἰησοῦν καὶ ἠλπικότων ἐπ' αὐτὸν καὶ γέγονεν αὐτῶν ἡ ψυχὴ νύμφη κεκοσμημένη ἐν πάσῃ ἀρετῇ, ἔχουσα τὸ ἅγιον αὐτῆς ἔσοπτρον, κατὰ

1) Τὰ ἀνωτέρω ἐκτίθενται λεπτομερέστερον ἢ ἐν τῷ Ἑλληνικῷ.
2) Εὐεργετην. βιβλ. δ'. ὑπόθεσ. κδ'. σελ. 97.

τὸν λόγον τοῦ ἀποστόλου, ὅτι : «Ἡμεῖς δὲ πάντες ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν τοῦ Θεοῦ, κατοπτριζόμενοι τὴν αὐτὴν εἰκόνα μεταμορφούμεθα ἀπὸ δόξης εἰς δόξαν, καθάπερ ἀπὸ Κυρίου Πνεύματος» (Β'. Κορινθ. γ'. 18), «νῦν γὰρ ὁρῶμεν δι' ἐσόπτρου καὶ αἰνίγματος, τότε δὲ ὀψόμεθα αὐτὸν πρόσωπον πρὸς πρόσωπον» (Α'. Κορινθ. ιγ'. 12). Οἱ οὖν γενόμενοι αὐτῷ νύμφαι ἐν ἁγνείᾳ κατανοοῦσιν εἰς ἑαυτούς, ὡς ἐν ἐσόπτρῳ, μήποτε ἔχωσι μῶμόν τινα ἐν εἰκόνι καὶ οὐκ ἀρέσει τῷ νυμφίῳ αὐτῶν· ζητεῖ γὰρ παρθένους ψυχὰς ἁγνάς, μὴ ἐχούσας μῶμον, καθὼς γέγραπται περὶ Ρεβέκκας, ὅτι: «Παρθένος ἦν καλὴ σφόδρα» (Γεν. κδ'. 16), μὴ γνοῦσα ἄνδρα. Καὶ ὁ προφήτης λέγει : «Ἀπενεχθήσονται τῷ βασιλεῖ παρθένοι ὀπίσω αὐτῆς, αἱ πλησίον αὐτῆς ἀπενεχθήσονταί σοι» (ψαλμ. μδ'. 15). Τὸ «ἀπενεχθήσονται» τὴν ἁγίαν αὐτῆς ἐνανθρώπησιν δηλοῖ, τὸ δὲ «πλησίον αὐτῆς», τὸ κολληθῆναι αὐτῷ, ἐπειδὴ ἡ ἀναγέννησις τοῦ ἁγίου βαπτίσματος ἀνεκαίνισεν αὐτὰς ἀπὸ πάσης παλαιότητος, καὶ ἁγνίζει αὐτὰς ἡ μετάνοια, καὶ ποιεῖ αὐτὰς παρθένους ἁγίας, ἐπιλαθομένας πάσης παλαιότητος καὶ μηκέτι αὐτὰς μνημονευούσας καθάπερ εἶπεν αὐταῖς : «Ἄκουσον, θύγατερ, καὶ ἴδε καὶ κλῖνον τὸ οὖς σου, καὶ ἐπιλάθου τοῦ λαοῦ σου καὶ τοῦ οἴκου τοῦ πατρός σου, καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου» (αὐτόθ. 11—12). Καὶ θαυμάζουσιν αὐτὴν πᾶσαι αἱ δυνάμεις τῶν οὐρανῶν διὰ τὴν ἁγνείαν, ἣν ἥγνισεν αὐτὴν ἡ μετάνοια καὶ ἓν σῶμα ἐποίησεν αὐτὴν μετ' αὐτοῦ, καὶ ἐροῦσι: «Τίς αὕτη ἡ ἀναβαίνουσα, λευκανθισμένη ἐπὶ τὸν ἀδελφιδοῦν αὐτῆς»; (Ἆσμα γ'. 6).

ΚΑ'. Πᾶσαν οὖν τὴν δύναμιν ἡμῶν ποιήσωμεν ἐν δάκρυσιν ἀγωνιζόμενοι κατὰ μικρὸν μικρόν, ἕως οὗ ἐκδυθῶμεν τὴν πρᾶξιν τοῦ παλαιοῦ ἀνθρώπου [1], φυλάττοντες ἑαυτοὺς ἀπὸ παντὸς πράγματος τῆς ἀπωλείας, ἕως οὗ ἡ ἀγάπη αὐτοῦ ἔλθῃ μεθ' ἡμῶν καὶ ἀφέληται ἀφ' ἡμῶν τὴν εἰκόνα τοῦ χοϊκοῦ, καὶ στήσῃ τὴν ἁγίαν αὐτοῦ εἰκόνα ἐν τῇ καρδίᾳ ἡμῶν, ἵνα ἄξιοι γενώμεθα αὐτῷ, καθαροὶ ἀπὸ παντὸς μώμου, καθὼς εἶπεν ὁ ἀπόστολος, ὅτι:

---

1) Εὐεργ. βιβλ. δ'. ὑπόθ. κδ'. σελ. 96.

«Καθὼς ἐφορέσαμεν τὴν εἰκόνα τοῦ χοϊκοῦ, φορέσομεν καὶ τὴν εἰκόνα τοῦ ἐπουρανίου» (Α΄. Κορινθ. ιε΄. 49). ἐπειδὴ εἶδεν ὁ ἀπόστολος, ὅτι οὐκ ἔστιν ἄνθρωπος χωρὶς ἁμαρτίας, ἀφ' οὗ γέγονεν ἡ παράβασις, καὶ ὅτι πάλιν δύναται ἡ μετάνοια ἐπιστρέψαι τὸν ἄνθρωπον εἰς τὴν ἀναμάρτητον καινότητα, διὰ τοῦτο εἶπε καταλεῖψαι ἡμᾶς τὴν πρᾶξιν τοῦ παρακούσαντος τῆς ἐντολῆς, καὶ ἐργάζεσθαι τὴν πρᾶξιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἥτις ἐστὶν αἱ ἅγιαι αὐτοῦ ἐντολαί, τοῦ ποιήσαντος ἔλεος καὶ βαστάσαντος τὴν δουλείαν τοῦ ἀνθρώπου, ἕως οὗ εἰσενέγκῃ εἰς τὸν κρυπτὸν παράδεισον καὶ ἐπιχορηγήσῃ αὐτῷ πάσας τὰς ἁγίας Γραφὰς καὶ ἀρετάς, δοὺς αὐτῷ φαγεῖν ἐκ τοῦ ξύλου τῆς ζωῆς, ὅ ἐστιν ἡ ἁγνεία, ἣν ἐνεφάνισεν ἐν ἑαυτῷ, εἰρηνεύσας τὰ Χερουβὶμ καὶ τὴν φλογίνην ρομφαίαν, τὴν στρεφομένην φυλάσσειν τὴν ὁδὸν τοῦ ξύλου τῆς ζωῆς, ἥτις ἐστὶν ἡ γνῶσις τῶν ἁγίων αὐτοῦ λόγων, εἰρηνεύσας ἐν τῷ νοῒ τῶν πιστῶν, φυλάττουσα αὐτοὺς ἀδιαλείπτως καὶ ἀποκλείουσα τὰ ὦτα αὐτῶν ἀπὸ παντὸς λόγου πονηροῦ τοῦ δράκοντος, ὑπομιμνήσκουσα τὴν πικρὰν δουλείαν, εἰς ἣν περιέπεσε πρότερον, πρὸς τὸ μὴ ὑποστρέψαι εἰς αὐτήν, ποιοῦσα αὐτοὺς εὐχαριστεῖν συνεχῶς τῷ ἐξαγοράσαντι αὐτοὺς διὰ τοῦ τιμίου αἵματος αὐτοῦ, ἀπαλείψας τὸ χειρόγραφον τῆς δουλείας αὐτῶν ἐν τῷ σταυρῷ (Κολασ. β΄. 14) καὶ ποιήσας αὐτοὺς ἀδελφοὺς καὶ φίλους (Ἰωάν. ιε΄. 14), ἐκχέας τὸ πνεῦμα αὐτοῦ ἐπ' αὐτούς, ἐν χάριτι ἀναπαύσασθαι τὴν καρδίαν αὐτῶν, ἔλεγεν: «Ἀναβαίνω πρὸς τὸν Πατέρα μου καὶ Πατέρα ὑμῶν, καὶ Θεόν μου καὶ Θεὸν ὑμῶν» (Ἰωάν. κ΄. 17). Πάλιν: «Θέλω, πάτερ, ἵνα ὅπου εἰμὶ ἐγὼ καὶ αὐτοὶ ἐκεῖ ὦσι μετ' ἐμοῦ, ὅτι ἠγάπησα αὐτούς, καθὼς ἠγάπησάς με» (Ἰωάν. ιζ΄. 24).

ΚΒ΄. Ἔδειξεν ἡμῖν πάλιν, ὅτι οὐ περὶ πάντων εἶπεν, ἀλλὰ περὶ τῶν καταλειψάντων τὰ θελήματα αὐτῶν καὶ ἀκολουθησάντων τῶν ἁγίων αὐτοῦ θελημάτων καὶ ἐκκοψάντων ἀφ' ἑαυτῶν πᾶσαν ἀφορμὴν τοῦ κόσμου τούτου· ἔλεγε γάρ, ὅτι ἔλαβον αὐτοὺς ἐκ τοῦ κόσμου, διὰ τοῦτο ὁ κόσμος μισεῖ αὐτούς, ὅτι οὐκ εἰσὶν ἐξ αὐτοῦ ἔτι» (Ἰωάν. ιε΄. 19). Ὁρᾷς ὅτι, οἱ καταλείψαντες τὰ τοῦ κόσμου, αὐτοὶ ἠξιώθησαν νύμφαι αὐτοῦ γενέ-

σθαι καὶ ἔμειναν ἐν τῇ ἑνώσει αὐτοῦ, ὡς εἶπεν ὁ ἀπόστολος: «Διὰ τοῦτο καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα καὶ προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν· τὸ μυστήριον τοῦτο μέγα ἐστίν, ἐγὼ δὲ λέγω εἰς Χριστὸν καὶ εἰς τὴν Ἐκκλησίαν» (Ἐφεσ. ε'. 31—32). Πάλιν εἶπεν: «Εἶναι τὰ ἔθνη συγκληρονόμα καὶ σύσσωμα καὶ συμμέτοχα τῆς ἐπαγγελίας ἐν Χριστῷ Ἰησοῦ διὰ τοῦ Εὐαγγελίου» (αὐτ. γ'. 6). Βλέπεις, ὅτι οἱ ἀξιωθέντες γενέσθαι ἓν σῶμα μετ' αὐτοῦ καὶ τὸ Πνεῦμα αὐτοῦ τὸ Ἅγιον οἰκεῖ ἐν αὐτοῖς καὶ αὐτὸ ὑπουργεῖ αὐτοῖς [1] καὶ αὐτὸ μεριμνᾷ περὶ αὐτῶν, καθὼς εἶπεν: «Οὐ γὰρ ὑμεῖς ἐστε οἱ λαλοῦντες, ἀλλὰ τὸ Πνεῦμα τοῦ Πατρὸς ὑμῶν τὸ λαλοῦν ἐν ὑμῖν» (Ματθ. ι'. 20)· Πάλιν ὁ ἀπόστολος, ὅτι: «Ἡμῖν ἀπεκάλυψεν ὁ Θεὸς διὰ τοῦ Πνεύματος αὐτοῦ· τὸ γὰρ Πνεῦμα πάντα ἐρευνᾷ καὶ τὰ βάθη τοῦ Θεοῦ, ἡμεῖς γάρ φησι νοῦν Χριστοῦ ἔχομεν» (Α'. Κορινθ. β'. 10, 16). Πῶς οὖν δυνατὸν νοῦν Χριστοῦ λογίσασθαί τινα ἁμαρτίαν; Κατανόησον οὖν, ἀδελφέ, τῇ καρδίᾳ σου τὸ μυστήριον τοῦτο, ὅτι πᾶν γένος ἐπὶ τῆς γῆς μετὰ τοῦ ὁμογενοῦς αὐτοῦ γεννᾷ καὶ οὐχὶ μετὰ ἀλλογενοῦς, κἄν τε κτῆνος, κἂν θηρίον, κἂν ἑρπετόν, κἂν πετεινόν. Διὰ τοῦτο ἤγαγεν ὁ Θεὸς [2] πάντα πρὸς τὸν Ἀδὰμ ἰδεῖν, εἰ εὑρίσκεταί ὅμοιον αὐτοῦ· καὶ οὐχ εὑρέθη ὑπὸ πάντων, ὅτι οὐκ ἦσαν τῆς φύσεως αὐτοῦ· Τότε λαβὼν ὁ Θεὸς μίαν τῶν πλευρῶν αὐτοῦ, ἐποίησεν αὐτὴν γυναῖκα, ὅτι ἔλαβεν αὐτὴν ἐκ τοῦ ἀνδρὸς αὐτῆς (Γενέσ. β'. 19—21).

ΚΓ'. Τοῦτο τὸ μυστήριον μέγα ἐστὶ τῶν γενομένων νυμφῶν αὐτοῦ, ὅτι ἐκ τῆς οὐσίας αὐτοῦ εἰσι διὰ τῆς ἀναγεννήσεως, καὶ ἐκ τοῦ ἁγίου αὐτοῦ σώματος εἰσί, καθὼς λέγει ὁ ἀπόστολος, ὅτι: «Ἓν σῶμά ἐσμεν καὶ πάντες ἐν Χριστῷ, ὁ δὲ καθ' εἷς ἀλλήλων μέλη» (Ρωμ. ιβ'. 5). Καὶ πάλιν: «Ὅτι μέλη ἐσμὲν τοῦ σώματος αὐτοῦ, ἐκ τῆς σαρκὸς αὐτοῦ καὶ ἐκ τῶν ὀστέων αὐτοῦ»

---

1) Εὐεργ. βιβλ. δ'. ὑπόθ. κδ' σ. 96.
2) Αὐτόθι.
3) Αὐτόθι.

(Ἐφεσ. ε'. 30). Ὁρᾷς ὅτι θέλει τὸν ἄνθρωπον κατ' αὐτὸν εἶναι ἐν πᾶσιν [1], ὥσπερ ἡ Εὔα ἐκ τοῦ Ἀδάμ ἐστι καὶ κατ' αὐτόν ἐστιν ἐν πᾶσιν; ἐπεί, ἐὰν ἔχωμεν ἐκ τῆς ἀλογίας τῶν κτηνῶν, ἢ τὴν πλεονεξίαν τῶν θηρίων ἁρπάζοντες ἀλλήλους, ἢ καὶ τὸ ἄστατον τῶν πετεινῶν, ἢ τῶν ἑρπετῶν τὸν ἰόν, αἱ τοιαῦται ψυχαὶ οὐ δύνανται αὐτῷ παρθένοι [2] γενέσθαι, ὅτι οὐκ εἰσι κατὰ τὴν πρᾶξιν αὐτοῦ. Ὁρᾷς, ἀδελφέ, πῶς θέλει τὸν ἄνθρωπον κατ' αὐτὸν εἶναι ὑγιῆ ἀπὸ πάσης τῆς παραφύσεως, ἵνα ἀξιωθῇ νύμφη αὐτῷ γενέσθαι; Ἡ ψυχὴ οὖν γινώσκει τοὺς λογισμοὺς αὐτῆς ἐκ τῆς ἰδίας πράξεως· ἐὰν γὰρ ποιήσῃ τὴν πρᾶξιν, τὸ Πνεῦμα τὸ Ἅγιον κατοικεῖ ἐν αὐτῇ, ἐπειδὴ ἡ πρᾶξις [3] ἀναγεννᾷ τὴν ψυχὴν ἀπαθῆ, καὶ ἀδύνατον τὸ Πνεῦμα τοῦ Θεοῦ μὴ κατοικῆσαι ἐν τῇ ψυχῇ ἐκείνῃ, καθὼς εἶπεν ὁ Κύριος: «Ἐὰν ἀγαπᾶτέ με, τὰς ἐντολάς μου φυλάξατε, κἀγὼ αἰτήσω τὸν Πατέρα μου, καὶ ἀποστελεῖ ὑμῖν τὸν παράκλητον, τὸ Πνεῦμα τῆς ἀληθείας» (Ἰωάν. ιδ'. 15—17)· πάλιν ὁ ἀπόστολος λέγει: «Ἢ οὐκ ἐπιγινώσκετε, ὅτι Χριστὸς Ἰησοῦς οἰκεῖ ἐν ὑμῖν, εἰ μή τι ἄρα ἀδόκιμοί ἐστε»; (Β'. Κορινθ. ιγ'. 5). Ὁρᾷς ὅτι, ἐὰν μὴ κτήσηται ὁ ἄνθρωπος τὴν πρᾶξιν τοῦ Ἰησοῦ, ἀδόκιμός ἐστι καὶ οὐκ ἔστι παρθένος παρ' αὐτῷ; Πᾶσαι αἱ παρθένοι ἡτοίμασαν τὰς λαμπάδας αὐτῶν, ἀλλὰ μὴ ἔχουσαι πρᾶξιν [4] ἐρρίφησαν ἔξω τῆς θύρας (Ματθ. κε'. 1-12). Ἡ σαγήνη, ἡ βληθεῖσα εἰς τὴν θάλασσαν, συνῆξε καὶ εἰσήγαγεν εἰς τὴν βασιλείαν (Ματθ. ιγ'. 47-48). Τὰ ζιζάνια σὺν τῷ σίτῳ ηὐξήθησαν, ἀλλά, τοῦ θερισμοῦ γενομένου, ἐδέθησαν καὶ ἐρρίφησαν εἰς τὸ πῦρ (αὐτ. 25-30)). Τὰ κλήματα ἔμειναν ἐν τῇ ἀμπέλῳ, ἀλλά, μὴ καρποφορήσαντα, ἐβλήθησαν εἰς τὸ πῦρ (Ἰωάν. ιε'. 6). Τὰ πρόβατα σὺν τοῖς ἐρίφοις ἐβόσκοντο, ἀλλὰ τὰ πρόβατα μόνα εἰσήγαγε μετ' αὐτοῦ, τὰ δὲ ἐρίφια ἐρρίφησαν ἔξω (Ματθ. κε'. 32—33). Ὁ σπείρων ἔσπειρε τοῦ αὐτοῦ σπέρμα-

1) Αὐτόθι.
2) Ἐν τῷ λατιν. Sponsæ.
3) Πρόκειται περὶ ἀγαθῆς πράξεως.
4) Ἀγαθήν.

τος, ἀλλὰ μόνον μετὰ τῶν φυέντων ἐν τῇ καλῇ γῇ ἐχάρη (Ματθ. ιγ'. 3—9). Ἔδωκε μὲν τὸ ἀργύριον αὐτοῦ ἀνυποκρίτως, ἀλλὰ τῷ δεδωκότι αὐτῷ τὸ διπλοῦν συνεχάρη (Ματθ. κε'. 14—23). Ἐκλήθησαν μὲν πάντες εἰς τὸν γάμον, ἀλλὰ τὸν μὴ ἔχοντα ἔνδυμα γάμου ἐποίησε ριφῆναι εἰς τὸ σκότος τὸ αἰώνιον (Ματθ. κϐ'. 11—13). Οὗτοι οἱ λόγοι ἡμῶν εἰσιν, ὅτι πάντες λέγομεν ὅτι πιστεύομεν, ἀλλὰ τοὺς μὴ ἔχοντας πρᾶξιν τῆς θεότητος αὐτοῦ ρίπτει ἔξω, καθὼς εἶπεν, ὅτι: «Πολλοὶ μὲν κλητοί, ὀλίγοι δὲ ἐκλεκτοὶ» (αὐτ. 14).

ΚΔ'. Ἐξερευνήσωμεν ἑαυτούς, ἀδελφοί, καὶ ἴδωμεν τὴν ἑαυτῶν πρᾶξιν, πρὸ τοῦ ἡμᾶς ἀπαντῆσαι αὐτῷ, μὴ πρόσχωμεν τοῖς ποιοῦσι τὰ θελήματα τῆς καρδίας αὐτῶν τὰ σαρκικά, καὶ ἀπολέσωμεν τὸν τηλικοῦτον πλοῦτον, ὃν μέλλομεν εὑρίσκειν ἐν τῇ ὥρᾳ τῆς ἀνάγκης. Ἀγωνισώμεθα κτήσασθαι αὐτὸν καί, ἃ καταλιμπάνειν μέλλομεν, ὡς ἐχθροὺς παρίδωμεν. Κατανοήσωμεν τοὺς ποιήσαντας ὅλον τὸν κόπον αὐτῶν, φροντίζοντες τῶν ἀπολλυμένων, ὅτι κατέλιπον αὐτὰ καὶ ἀπῆλθον, καὶ δι' αὐτῶν ἐκληρονόμησαν τὴν γέενναν, ὅτι οὐκ ἠβουλήθησαν ἐξακολουθῆσαι τοῖς ἴχνεσι τοῦ Κυρίου, ἵνα ἀξιωθῶσι γενέσθαι αὐτῷ νύμφαι. Ἀγωνισώμεθα οὖν ἐν δάκρυσιν, ἐνώπιον τοῦ Θεοῦ, ἐν πόνῳ καρδίας καὶ στεναγμῷ πικρῷ, μὴ ἐμπεσεῖν εἰς τὴν αἰσχύνην αὐτῶν. Καὶ γὰρ ἐὰν γένηται γνόφος ἐν τῇ θαλάσσῃ καὶ ἀπόλλωνται πλοῖα πολλὰ καὶ σωθῶσιν ἄλλοι, οὐ λέγουσιν ὅτι καταποντισθῶμεν καὶ ἡμεῖς, ὡς ἐκεῖνοι, ἀλλ' ἐνδυναμοῦσιν ἀλλήλους μὴ ἀκηδιᾶν, καὶ παρακαλοῦσι τὸν Θεόν, ἵνα βοηθήσῃ αὐτοῖς. Ἀληθῶς μέγας ἐστὶν ὁ γνόφος ἐπὶ τῆς γῆς· ἐκδυσωπῶμεν οὖν ἑαυτοὺς καὶ κράξωμεν, ἵνα μὴ ἀπολλώμεθα. Καὶ γὰρ ἐὰν γένηται ζάλη ἐν τῇ θαλάσσῃ, εὑρίσκει τοὺς ναύτας καὶ τοὺς ἐν τῷ πλοίῳ ἐνδυναμοῦντας τὸν κυβερνήτην. Εἰ μὴ γὰρ γυμνὸς εὑρεθῇ ὁ ἄνθρωπος ἀπὸ παντὸς πράγματος τῆς ἀπωλείας, οὐ δύναται σωθῆναι ἐκ ταύτης τῆς θαλάσσης τῆς πολυκύμου· Καὶ γὰρ Μωϋσῆς οὐκ ἠδυνήθη ᾆσαι τῷ Κυρίῳ, εἰ μὴ ὅτε ἐπέρασε τὴν θάλασσαν καὶ εἶδε τὸν θάνατον τῶν βουληθέντων κατασχεῖν τὸ γένος αὐτοῦ ἐν τῇ Αἰγύπτῳ, τοῦ εἶναι

αὐτούς δούλους, καί, διαπεράσας αὐτούς, ἐπειδὴ ἐγένοντο ἐλεύθεροι, τότε εἶπεν: «Ἄσωμεν τῷ Κυρίῳ· ἐνδόξως γὰρ δεδόξασται· ἵππον καὶ ἀναβάτην ἔρριψεν εἰς θάλασσαν» (Ἔξοδ. ιε΄. 1).

ΚΕ΄. Ἐὰν οὖν ὁ νοῦς[1] σώσῃ τὰς αἰσθήσεις τῆς ψυχῆς ἐκ τῶν θελημάτων τῆς σαρκός, καὶ διαπεράσῃ αὐτὰς ὁ στῦλος τῆς θέας αὐτοῦ, ἀπομερίσῃ ἐκ τῶν θελημάτων τῆς σαρκὸς τὴν ψυχήν, τότε ἐὰν ἴδῃ ὁ Θεὸς τὸ ἀναίσχυντον τῶν παθῶν, ὅτι ὁρμᾷ ἐπὶ τὴν ψυχὴν θέλον κατασχεῖν τὰς αἰσθήσεις ἐν τῇ ἁμαρτίᾳ, καὶ ἀδολεσχήσῃ ὁ νοῦς ἐν τῷ κρυπτῷ τῷ Θεῷ ἀδιαλείπτως, ἀποστέλλει τὴν βοήθειαν αὐτοῦ καὶ πάντας ὑφ᾽ ἓν ἀπολέσει, καθὼς γέγραπται, ὅτι εἶπεν ὁ Θεὸς τῷ Μωϋσῇ: «Τί βοᾷς πρός με; ἔντειλε τοῖς υἱοῖς Ἰσραήλ, καὶ ἑτοιμασάτωσαν ἑαυτούς, καὶ σὺ βάσταξον τὴν ῥάβδον σου τὴν ἐν τῇ χειρί σου, καί κατάγαγε αὐτὴν ἐπὶ τὸ ὕδωρ τῆς θαλάσσης καὶ ξηρανθήσεται» (Ἔξοδ. ιδ΄. 15—16). Πιστὸς ὁ Θεὸς δοῦναι χεῖρα σήμερον τῷ Μωϋσῇ, ἕως οὗ σώσῃ τὸν Ἰσραὴλ ἐκ χειρὸς τῶν Αἰγυπτίων, οἵτινές εἰσι τὰ θελήματα τοῦ νοός, ἃ ἐπληρώσαμεν, ὅπως καὶ ἡμεῖς ἀξιωθῶμεν ᾆσαι αὐτὸν ἐν καινῇ ᾠδῇ λέγοντες: «Ἄσωμεν τῷ Κυρίῳ ἐνδόξως γὰρ δεδόξασται». Πῶς οὖν δυνάμεθα εἰπεῖν «ἐνδόξως γὰρ δεδόξασται», πειθόμενοι τοῖς ἐχθροῖς ἡμῶν καὶ ὑποστρέφοντες εἰς Αἴγυπτον ἐν τῷ θελήματι ἡμῶν, ἐπιθυμοῦντες, ἃ ἠσθίομεν καὶ δουλεύοντες[2] τὸν Ἀαρών, ὅτι: «Ποίησον ἡμῖν Θεούς, ὁδηγοῦντας ἡμᾶς εἰς Αἴγυπτον (Ἔξοδ. λβ΄. 1); καὶ ἐταπεινώθημεν ἐν τῇ ἀκηδίᾳ βλασφημῆσαι ἡμᾶς τὴν πνευματικὴν τροφήν» (Ἀριθ. κα΄. 5). Δυνατὸς δὲ ὁ Θεὸς ἐπιστρέψαι πρὸς ἡμᾶς Μωσέα ἐκ τοῦ ὄρους τοῦ ἐξολοθρεῦσαι τὸν μόσχον τὸν κερατιστήν, δι᾽ οὗ ἠχθρεύσαμεν τὸν Θεόν. Δυνατὸς δὲ ὁ Θεὸς ὁ παρεσχηκὼς μετάνοιαν πάλιν ἐπιστρέψαι ἡμᾶς πρὸς αὐτὸν καὶ κατισχῦσαι Μωσέα εὔχεσθαι ὑπὲρ ἡμῶν, λέγοντα: «Εἰ ἀφεῖς αὐτοῖς τὰς ἁμαρτίας ἄφες· εἰ δὲ μή, ἐξάλειψόν με ἐκ τῆς βίβλου τῶν ζώντων» (Ἔξοδ. λβ΄. 31—32), καὶ κατισχῦσαι Ἰη-

1) Φιλοκαλία τομ. α΄. σελ. 19. κεφ. ια΄.
2) Ἐν τῷ Λατιν. Clamantes ad Aaron.

σοῦν ἐν καιρῷ, ἐξολοθρεῦσαι τὰ ἑπτὰ ἔθνη, τοὺς κληρονομήσαντας τὴν γῆν τῆς ἐπαγγελίας ἐν τῇ φθονερᾷ αὐτῶν πονηρίᾳ, καὶ δέξεται ὁ Ἰσραὴλ τὴν κληρονομίαν αὐτοῦ, κατοικῶν ἐν αὐτῇ ἀφθόνως εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Αὐτοῦ ἐστιν ἡ ἰσχύς, αὐτοῦ ἡ βοήθεια, αὐτοῦ ἡ σκέπη, αὐτοῦ ἡ σοφία, αὐτοῦ ἡ φυλακή, αὐτὸς ἐν ἡμῖν ἐστιν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, εἰς δόξαν καὶ τιμὴν Θεοῦ Πατρὸς καὶ τοῦ Ἁγίου Πνεύματος πρὸ τῶν αἰώνων καὶ νῦν, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Ἐὰν ἀναγινώσκῃς ταῦτα, ἀδελφέ, τὴν δύναμίν σου ποίησον φροντίσαι αὐτῶν, ἵνα σκεπάσῃ σε ὁ Κύριος ἐν τῇ ὥρᾳ τοῦ πειρασμοῦ. Ἀμήν.

# ΤΟΥ ΑΥΤΟΥ

## ΛΟΓΟΙ, ΟΥΣ ΕΙΠΕΝ Ο ΑΒΒΑΣ ΠΕΤΡΟΣ, Ο ΜΑΘΗΤΗΣ ΑΥΤΟΥ ΟΤΙ ΗΚΟΥΣΕ ΠΑΡ' ΑΥΤΟΥ [1]

### *Λόγος κς'.*

Α'. Εἶπεν ὁ Πατήρ μου, ἄνδρισαι εἰς τὸ ἀνεγεῖραι τὸ ὀφειλόμενον διορθωθῆναι. Ἡ ἁγνεία εὔχεται τῷ Θεῷ, ὁ φόβος τοῦ Θεοῦ καὶ ἡ στενοχωρία ἀφίησιν ἁμαρτίας. Ἄνθρωπος ἔχων κακίαν ἀνταποδόσεως ἐν τῇ καρδίᾳ αὐτοῦ[2], ἡ λειτουργία αὐτοῦ ματαία ἐστίν. Μὴ θέλε ἐρωτᾶσθαι[3] συμβουλίαν ἢ λόγον τοῦ καιροῦ τούτου, μηδὲ πιστεύσῃς τῷ ἐρωτῶντί σε. Συνεχῶς ἔχε τὰς ἀκοάς σου πρὸς τοὺς λαλοῦντας ἐν σοὶ καὶ παρακάλεσον τὸν Θεόν, ἵνα παράσχῃ σοι γνῶναι τίνος αὐτῶν ὀφείλεις ἀκοῦσαι. Ποίησον δὲ τὴν δύναμίν σου μὴ λαλῆσαι, ἄλλα ἔχων ἐν τῷ στόματι, ἄλλα ἔχων ἐν τῇ καρδίᾳ σου. Εἶπε πάλιν, ὅτι τὸ παραρρῖψαι ἑαυτὸν τῷ Θεῷ ἐν γνώσει, καὶ τὸ ἐπακοῦσαι τῶν ἐντολῶν ἐν ταπεινοφροσύνῃ φέρουσι τὴν ἀγάπην, καὶ ἡ ἀγάπη τὴν ἀπάθειαν. Εἶπε πάλιν ὅτι, χρὴ τὸν ἡσυχαστὴν ἐρευνᾶν[4] ἑαυτὸν πᾶσαν ὥραν, εἰ παρῆλθε τοὺς κατέχοντας αὐτὸν ἐν τῷ ἀέρι, καὶ εἰ ἠλευθερώθη ἀπ' αὐτῶν ἔτι περιών· ὅσον γὰρ ὑπόκειται τῇ δουλείᾳ αὐτῶν, οὔπω ἠλευθερώθη· λοιπὸν κόπος ἐστίν, ἕως οὗ τὸ ἔλεος γένηται. Εἶπε πάλιν, ἄνθρωπος ἔχων κατηγορίαν[5] ἐν τῇ καρδίᾳ αὐτοῦ, μακράν ἐστιν ἀπὸ τοῦ ἐλέους τοῦ Θεοῦ. Ἐρωτήσαντός μου δὲ αὐτὸν λόγον, εἰπέ

1) Ἐν τῷ Λατιν. ἐπιπροστίθεται: et liberis commendavit.
2) Ὁμαλώτερον οὕτως: Ἀνθρώπου ἔχοντος κακίαν ἀνταποδόσεως κλ.
3) Εὐεργέτην, βιβλ. α'. ὑπόθεσ. κδ'. σελ. 80
4) » » δ'. » ε'. σελ. 26.
5) » » γ'. » β'. σελ 7.

μοι, εἰ θέλεις ἐξακολουθῆσαι [1] τῷ Κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ φύλαττε τὸν λόγον αὐτοῦ· καὶ τὸν παλαιόν σου ἄνθρωπον εἰ θέλεις συγκρεμάσαι αὐτῷ τοὺς καταφέροντάς σε ἀπὸ τοῦ σταυροῦ, ἐκκόψαι ὀφείλεις καὶ ἑτοιμάσαι ἑαυτὸν εἰς τὸ φέρειν ἐξουδένωσιν, καὶ εἰς τὸ ἀναπαῦσαι τὴν καρδίαν τῶν σὲ κακούντων, καὶ ταπεινῶσαι ἑαυτὸν καὶ τοῖς θελήμασί σου καταδυναστεῦσαι, καὶ σιωπὴν ἔχειν τοῦ στόματος εἰς τὸ μὴ κρῖναί τινα ἐν τῇ καρδίᾳ σου. Εἶπε πάλιν, ὅτι ὁ ὢν ἐν ἡσυχίᾳ [2], ὀφείλει ἔχειν τὸν φόβον τῆς ἀπαντήσεως τοῦ Θεοῦ, προλαμβάνοντα αὐτοῦ τὴν πνοήν, ὅσον γὰρ ἡ ἁμαρτία πείθει αὐτοῦ τὴν καρδίαν, οὔπω γέγονεν αὐτῷ φόβος, καὶ ἀκμὴν μακράν ἐστιν τοῦ ἐλέους.

Β'. Εἶπε πάλιν, ὅτι τοῦτό ἐστι κόπος [3], ὅτι τὴν ἀπάθειαν ἔχομεν ἐν τῷ στόματι, τὴν δὲ ἀνομίαν καὶ τὴν κακίαν ἐν τῇ καρδίᾳ ἔχομεν. Εἶπε πάλιν, ὅτι ἐὰν μὴ ὁ ἄνθρωπος ἀγωνίσηται ἕως θανάτου [4] τοῦ ποιῆσαι τὸ σῶμα αὐτοῦ, οἷον ἦλθε φορῶν ὁ ἀγαπητὸς Ἰησοῦς, οὐκ ἀπαντᾷ αὐτῷ μετὰ χαρᾶς, οὐδὲ ἐξειλᾷ [5] ἀπὸ τῆς πικρᾶς δουλείας· καὶ τοῦτο ἔλεγεν, ἐλέησον, ἐλέησον, ἐλέησον· ποῦ ἔφθασεν ἡ ψυχή, ἐν ποίᾳ ἁγνείᾳ ἐκτίσθη, καὶ ὑπὸ ποίαν ἐξουσίαν ἐστίν, καὶ ἐν ποίᾳ ματαιότητι ἐδέθη. Εἶπε πάλιν, παρακαλῶ σε, ἐν ὅσῳ εἶ ἐν τῷ σώματι [6], μὴ ἀπολύσῃς σου τὴν καρδίαν· ὥσπερ γὰρ ἄνθρωπος [7] οὐ δύναται πεποιθέναι ἐπί τινι [8] αὐτοῦ καρπὸν ἀνερχομένῳ [9] ἐν τῷ ἀγρῷ αὐτοῦ, οὐ γὰρ οἶδε τί αὐτῷ ἀποβαίνει, πρὶν ἐγκλεισθῆναι ἐν τοῖς θησαυροῖς αὐτοῦ, οὕτως ὁ ἄνθρωπος οὐ δύναται ἀπολῦσαι αὐτοῦ τὴν καρδίαν, ὅσον ἔχει πνοὴν ἐν τῇ ῥινὶ αὐτοῦ, (Ἰώβ. κζ'. 3). Καὶ ὥσπερ ὁ ἄνθρωπος οὐκ εἶδε ποῖον πάθος

1) Εὐεργ. βιβλ. α'. ὑπόθ. κγ', σ. 78.
2) Εὐεργετην. βιβλ. δ'. ὑπόθεσ. ε'. σελ. 26.
3) Εὐεργετην. βιβλ. δ' ὑπόθεσ. δ'. κβ'. σελ. 82. Κλῖμαξ Ἰωάν. σχόλ. ε'. τοῦ ιη λόγ. Πατρολογ. τομ. 88 σελ. 936.
4) Αὐτόθι.
5) Μᾶλλον, ἐξελεῖ.
6) Φιλοκαλία τ. α'. σελ. 19. κεφ. ιε'.
7) Γεωργός· παρὰ Φιλοκαλ.
8) Τινα.
9) Ἀνερχόμενον.

ἀπαντήσῃ αὐτῷ ἕως τῆς ἐσχάτης ἀναπνοῆς, οὕτως οὐ δυνατὸν τὸν ἄνθρωπον ἀπολῦσαι αὐτοῦ τὴν καρδίαν, ἐν ὅσῳ ἔχει ἀναπνοήν, ἀλλὰ χρὴ αὐτὸν[1] ἀναβοᾶν πάντοτε πρὸς τὸν Θεὸν διὰ τὴν βοήθειαν αὐτοῦ καὶ τὸ ἔλεος. Ἠρώτησα αὐτὸν λέγων, Πάτερ, τί ἐστιν ταπεινοφροσύνη, καὶ τί τὸ τίκτον αὐτήν; Καὶ εἶπέ μοι, ὅτι ἡ ὑπακοή ἐστι καὶ τὸ κόψαι τὸ ἴδιον θέλημα ἐν ταπεινώσει ἐκτὸς κόπου, καὶ ἡ ἁγνεία, καὶ τὸ βαστάσαι ὄνειδος, καὶ τὸ φέρειν τὸν λόγον τοῦ πλησίον ἀβαρῶς, αὕτη ἐστὶν ἡ ταπεινοφροσύνη. Πάλιν εἶπε, μακάριός ἐστιν ὁ κτώμενος τὸν καινὸν ἄνθρωπον, πρὶν αὐτὸν ἀπαντῆσαι τῷ Χριστῷ· τοῦτο γὰρ καὶ ὁ ἀπόστολος εἶπεν: «Ὅτι σὰρξ καὶ αἷμα βασιλείαν Θεοῦ κληρονομῆσαι οὐ δύνανται» (Α'. Κορινθ. ιε'. 50). Πάλιν εἶπεν ἐν ὅσῳ ἔχετε ζῆλον καὶ ἐρίθειαν ἐν ἑαυτοῖς, οὐχὶ σαρκικοί ἐστε καὶ κατὰ ἄνθρωπον περιπατεῖτε;» (Α'. Κορινθ. γ'. 3'.). Εἶπε πάλιν, ὅτι διὰ τοῦτο ἐν τοσούτοις κόποις ἐσμὲν[2] τῶν ἐχθρῶν ἡμῶν, ὅτι ἀκριβῶς οὐκ ἔγνωμεν τὰ ἐλαττώματα ἑαυτῶν, οὐδὲ τὸ πένθος ἐπέγνωμεν ἐν γνώσει· ἐπεὶ ἐὰν ἀποκαλυφθῇ ἡμῖν τὸ πένθος, φανεροῖ ἡμῖν τὰς ἡμῶν ἁμαρτίας, καὶ ἐὰν ἐάσωσιν ἡμᾶς εἰδέναι τὰς ἑαυτῶν ἁμαρτίας, ἐν ἀληθείᾳ, αἰσχυνθῆναι ἔχομεν ἐνατενίσαι εἰς τὸ πρόσωπον τῶν προϊσταμένων[3], ὅτι ἐντιμώτεροι ἡμῶν εἰσιν· αὗται γὰρ ἐν παρρησίᾳ τὰς ἑαυτῶν ἁμαρτίας ποιοῦσιν, ὅτι οὐκ οἴδασι τὸν Θεόν, ἡμῶν δὲ τῶν πιστῶν αἱ καρδίαι συντίθενται ἐν ταῖς αὐτῶν ἁμαρτίαις. Εἶπε πάλιν, ὅτι τὸ βαστάζειν τὴν μέμψιν[4] αὐτοῦ καὶ ἀπολύειν τὸ ἴδιον θέλημα τῷ πλησίον διὰ τὸν Θεόν, ἵνα μὴ ἐάσῃ τὸν ἐχθρὸν εἰς μέσον ἐλθεῖν, φανεροῖ τὸν ἄνθρωπον ὅτι ἐργάτης ἐστίν. Ἐὰν γὰρ γρήγορον ἔχῃ νοῦν, καὶ ὑπὸ πόδας ἐστὶ τοῦ Κυρίου Ἰησοῦ ἐν γνώσει, σπουδάσαι ἔχει ἐκκόψαι τὸ ἴδιον θέλημα, ἵνα μὴ ἀφορισθῇ ὑπὸ τοῦ ἀγαπητοῦ αὐτοῦ Κυρίου, ὁ γὰρ κατέχων τὸ ἑαυτοῦ θέλημα,

---

1) Πάντοτε.

2) Εὐεργετην. βιβλ. β'. ὑπόθεσ. λβ'. σελ. 99.

3) Ἀντὶ προϊσταμένων ἐν τῷ Λατιν. ἀπαντᾶ ἡ λέξις meretricibus ἑταῖραι'. τὸ δὲ ὑποκείμενον τὸ ἑπόμενον αὗται ἀποδοτέον εἰς τὰς ἑταίρας.

4) Εὐεργέτην. βιβλ. δ'. ὑπόθεσ. κδ'. σελ. 97.

οὐδὲ μετὰ τῶν πιστῶν εἰρηνεύει· ἡ γὰρ ὀλιγωρία καὶ ἡ ὀργή, καὶ ὁ πρὸς τὸν ἀδελφὸν παροξυσμὸς ἐπακολουθοῦσι τῇ καρδίᾳ αὐτοῦ. Ὁ δὲ λέγων οὐδέν μοι μέλλει, ἐὰν ἀκούσω ἢ λαλήσω, ἔοικε τυφλῷ, ὅτι, ἐὰν εἰσενέγκωσι καὶ ἐξενέγκωσιν αὐτόν, οὐ βλέπει τὸ φῶς. Κατανοήσατε δὲ τοῦτο ἐκ τοῦ ἡλίου τούτου, ὅτι μικρὰ νεφέλη ὑποδραμοῦσα σκέπει τὴν αὐγὴν αὐτοῦ καὶ τὴν θέρμην· ταῦτα δὲ οὐ πᾶσι δῆλα, εἰ μὴ τοῖς ἔχουσι γνῶσιν. Πάλιν εἶπεν, ὅτι ὁ ἄνθρωπος [1] βλέπων τὰς ἁμαρτίας αὐτοῦ διὰ παντός, οὐκ ἔχει γλῶσσαν λαλῆσαι μετά τινος ἀνθρώπου.

Γ'. Πάλιν εἶπε, μίσησον πάντα τὰ ἐν τῷ κόσμῳ [2] καὶ τὴν σωματικὴν ἀνάπαυσιν, ὅτι ταῦτά σε ποιοῦσιν ἐχθρὸν τοῦ Θεοῦ. Ὥσπερ γὰρ ἄνθρωπος ἔχων ἐχθρόν, πολεμεῖ μετ' αὐτοῦ, οὕτως ὀφείλομεν τὸ σῶμα ἡμῶν πολεμῆσαι τοῦ μὴ ἀναπαῦσαι αὐτό. Εἶπε πάλιν, ὁ ἐργαζόμενος ἐργάτης καὶ ὁ ἀγαπῶν τὸν Θεὸν ὀφείλει προσέχειν παντὶ αὐτοῦ λογισμῷ καὶ συμβουλεύεσθαι μετ' αὐτῶν καὶ διακρίνειν αὐτούς, εἰ ἄρα ἀπὸ τοῦ σώματος αὐτοῦ εἰσιν ἢ οὔ· ἐν ὅσῳ γὰρ αἱ παραφύσεις ἔν τινι τῶν μελῶν αὐτοῦ ἰσχύουσιν, οὔπω ἐλογίσθη παρθένος. Ἠρώτησα αὐτόν, τί ἐστιν ἡ προσευχὴ τοῦ Εὐαγγελίου τό: «Ἁγιασθήτω τὸ ὄνομά σου» (Ματθ. στ'. 9). Καὶ εἶπε, τοῦτο τῶν τελείων ἐστίν, ὅτι ἀδύνατον τὸ ὄνομα τοῦ Θεοῦ ἁγιασθῆναι ἐν ἡμῖν, κατακυριευομένοις ὑπὸ παθῶν. Εἶπε πάλιν, ὅτι οἱ πατέρες ἡμῶν [3] οἱ ἀρχαῖοι εἶπον, ὅτι ἡ ἀναχώρησις φυγή ἐστι τοῦ σώματος, καὶ ἡ μελέτη τοῦ θανάτου. Πάλιν εἶπε, περὶ τῆς εἰρήνης τῆς εἰς τὸν πλησίον, ὅτι ὅπου οὐκ ἔστιν εἰρήνη, οὐδὲ ὁ Θεὸς οἰκεῖ, ὁ δὲ βλέπων τὰς ἑαυτοῦ ἁμαρτίας βλέπει καὶ τὴν εἰρήνην· οὐ γὰρ τόπος οἰκήσεως ἀφίησιν ἁμαρτίας, ἀλλ' ἡ ταπεινοφροσύνη· Δαβὶδ δέ φησι, πεσὼν εἰς τὸ παράπτωμα τῆς τοῦ Οὐρίου, οὐχ εὗρεν οὐδὲν εἰς θυσίαν ἀνενέγκαι τῷ Θεῷ ὑπὲρ τῆς ἁμαρτίας αὐτοῦ, εἰ μὴ τοῦτο, εἰπών: «Θυσία τῷ Θεῷ πνεῦμα συντετριμ-

---

1) Εὐεργ. βιβλ. β'. ὑπόθ. λβ'. σ. 100.
2) Εὐεργετην. βιβλ. β'. ὑπόθεσ. ιγ'. σελ. 45.
3) Εὐεργετην. βιβλ. β'. ὑπόθ. ιγ'. σελ. 46.

μένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην» (Ψαλμ. ν'. 19). Εἶπε πάλιν, ὅτι ἡ ὀλιγωρία καὶ τὸ μέμψασθαί τινα, ταράσσουσι τὴν διάνοιαν τοῦ μὴ ἐᾶσαι αὐτὴν εἰδέναι τὸ φῶς τοῦ Θεοῦ. Εἶπε πάλιν, ποίησον τὴν δύναμίν σου ἐκφυγεῖν ἐκ τῶν τριῶν παθῶν τούτων τῶν καταστρεφόντων τὴν ψυχήν, ἅτινά ἐστι, τὸ κέρδος, ἡ τιμή, ἡ ἀνάπαυσις, ὅτι ταῦτα, περιγενόμενα τῆς ψυχῆς, οὐκ ἐῶσιν αὐτὴν προκόψαι. Εἶπε πάλιν, καθεζόμενος ἐν τῷ κελλίῳ [1], εἰ ἔλθῃ σοι κρῖναι τὸν πλησίον, ἐκ τῶν ἁμαρτιῶν σου κρῖνον αὐτόν, λογιζόμενος ὅτι πλέον εἰσὶ τοῦ πλησίον αἱ σαὶ ἁμαρτίαι, καὶ ἐὰν νομίζῃς πράττειν δίκαια, μὴ νομίσῃς ὅτι ἤρεσαν τῷ Θεῷ. Πᾶν γὰρ γένος ἰσχυρὸν τοῦ σώματος περιοδεύει τὸ ἀσθενοῦν καὶ μεριμνᾷ αὐτοῦ, λέγον ὅτι ἔχω τι ἐγὼ μετὰ τοῦ ἀσθενοῦς καὶ συμπάσχει αὐτῷ, ἕως οὗ ὑγιάνῃ. Ὁ δὲ σκληροκάρδιος λέγει ἐν τῇ καρδίᾳ οὐδέποτε ἐσφάλην· ὁ δὲ κτώμενος τὴν ταπεινοφροσύνην ἑαυτῷ ἐπιφέρει τὴν μέμψιν τοῦ πλησίον λέγων, ὅτι ἐγὼ ἐσφάλην, ὁ δὲ ταύτης καταφρονῶν ἔχει ἐν τῇ καρδίᾳ αὐτοῦ, ὅτι σοφός ἐστι καὶ οὐδέποτε ἔπληξέ τινα. Ὁ δὲ ἔχων τὸν φόβον τοῦ Θεοῦ μεριμνᾷ περὶ τῶν ἀρετῶν μήπως αὐτῶν μία ἀπόλληται. Εἶπε πάλιν, ἐὰν καθέζῃ ἐν τῷ κελλίῳ σου [2] καὶ ποιῇς τὴν λειτουργίαν ἐν σιωπῇ τῷ Θεῷ καὶ πείθηταί σου ἡ καρδία εἰς τίποτε μὴ ὂν τοῦ Θεοῦ, λογίσῃ δὲ ἐν ἑαυτῷ, τοῦτο οὐκ ἔστιν ἁμαρτία, ἀλλὰ λογισμοί εἰσι καὶ οὐχὶ ἁμαρτία, λοιπὸν καὶ ἡ λειτουργία ἡ γινομένη παρ' ἐμοῦ ἐν σιωπῇ οὐκ ἔστιν ἀληθής. Εἰ δὲ λέγεις, ὅτι ὁ Θεὸς προσδέχεται τὴν λειτουργίαν τῆς καρδίας, ἣν ἐποίησα ἐν σιωπῇ, οὐκοῦν καὶ τὸ πεισθῆναί σου τὴν καρδίαν μετὰ τῆς κακίας ἐν σιωπῇ, μετρεῖταί σοι ἡ σιωπὴ εἰς ἁμαρτίαν ἐνώπιον τοῦ Θεοῦ.

Δ'. Ἠρώτησα αὐτὸν λόγον καὶ εἶπέ μοι, ὅτι ὁ μὴ εὑρίσκων βοήθειαν [3] ἐν καιρῷ πολέμου, οὐδὲ τὴν εἰρήνην πιστεῦσαι δύ-

---

1) Εὐεργετην. βιβλ. γ'. ὑπόθεσ. β'. σελ. 11.
2) Εὐεργετην. βιβλ. δ'. ὑπόθεσ. στ'. σελ. 32.
3) Φιλοκαλία τ. α'. σελ. 18 κεφ. ιστ'.

ναται. Πάλιν εἶπε περὶ τοῦ διδάξαι[1], ὅτι φόβος ἐστὶ μὴ παραπεσεῖν εἰς ὃ διδάσκεις, ἐν ὅσῳ γὰρ πίπτεις εἰς αὐτό, οὐ δύνασαι διδάξαι. Εἶπε πάλιν, περὶ τῆς κοινωνίας, οὐαί μοι, οὐαί μοι, ὅτι ἐν ὅσῳ κοινωνῶ μετὰ τῶν ἐχθρῶν τοῦ Θεοῦ, ποία ἐστὶν ἡ κοινωνία, ἣν ἔχω μετ' αὐτοῦ; λοιπὸν εἰς κρῖμα ἐμὸν καὶ ἔλεγχον μεταλαμβάνω· τοῦτον γὰρ τὸν λόγον λέγομεν: «Τὰ ἅγια τοῖς ἁγίοις»[2] τουτέστι τοῖς ἁγίοις τὰ ἅγια· ἐὰν οὖν ἅγιός εἰμι, τίνες εἰσὶν οἱ ἐργαζόμενοι ἐν ἐμοί; Πάλιν ἠρώτησα αὐτὸν λέγων τί ἐστι φόβος Θεοῦ, καὶ εἶπέ μοι· ὅτι ἄνθρωπος πειθόμενος μετά τινος μὴ ὄντος τοῦ Θεοῦ[3]. Ἠρώτησα αὐτὸν πάλιν, τί ἐστι δοῦλος Θεοῦ[4] καὶ εἶπέ μοι, ὅτι ἐν ὅσῳ δουλεύει τις τὰ πάθη, οὔπω ἐλογίσθη εἰς δοῦλον Θεοῦ, ἀλλ' ἐκείνου ἐστὶ δοῦλος, ἐν ᾧ κατακυριεύεται. Εἶπε πάλιν, οὐαί μοι, οὐαί μοι, ὅτι οὐκ ἠγωνισάμην ἁγνίσαι ἑαυτόν, ἵνα τύχω ἐλέους! Οὐαί μοι, οὐαί μοι, ὅτι οὐκ ἠγωνισάμην περιγενέσθαι τὸν πόλεμον τῶν ἐχθρῶν μου, ἵνα βασιλεύσω σὺν Χριστῷ! Πῶς γὰρ δυνήσεται κελεφὸς ἐγγίσαι τῷ βασιλεῖ αὐτοῦ; Οὐαί μοι, οὐαί μοι, ὅτι περίκειταί μοι τὸ ὄνομά σου, Κύριε, καὶ δουλεύω τοῖς ἐχθροῖς σου! Οὐαί μοι, οὐαί μοι, ὅτι ἐσθίω, ἃ βδελύσσεται ὁ Θεός μου, καὶ διὰ τοῦτο οὐκ ἴαταί μου. Ἐπεσκεψάμην[5] οὖν αὐτὸν ἀσθενοῦντα καὶ εὗρον αὐτὸν κάμνοντα σφόδρα, καὶ θεασάμενος τὴν λύπην τῆς καρδίας μου διὰ τὸν κόπον αὐτοῦ, εἶπέ μοι, ὅτι μόλις ἐγγίζων ταῖς τοιαύταις ἀσθενείαις, δύναμαι μνησθῆναι τῆς πικρᾶς ὥρας ἐκείνης· διότι ἡ ὑγεία τῆς σαρκὸς ὠφέλειαν οὐκ ἔχει· ζητεῖ γὰρ τὴν ἰδίαν ῥῶσιν πρὸς τὸ ἐχθρεῦσαι τῷ Θεῷ· δένδρον γὰρ ποτιζόμενον καθ' ἡμέραν οὐ ξηραίνεται εἰς τὸ μὴ καρποφορῆ-

---

1) Εὐεργετην. βιβλ. δ'. ὑπόθεσ. λη'. σελ. 128.

2) Ἐν τῷ λατιν. ὑπάρχει τὸ ἑπόμενον χωρίον τῆς πρὸς Τῖτον (α'. 15): «Πάντα μὲν καθαρὰ τοῖς καθαροῖς· τοῖς δὲ μεμιαμμένοις καὶ ἀπίστοις οὐδὲν καθαρόν, ἀλλὰ μεμίανται αὐτῶν καὶ ὁ νοῦς καὶ ἡ συνείδησις».

3) Κλῖμαξ Ἰωάν. σχόλ. λ'. τοῦ κζ'. λογ. Πατρολογ. τομ. 88 σελ. 1125. Ἐν τῷ Εὐεργετην. βιβλ. δ'. ὑπόθεσ. ζ'. σελ. 44, ὡς ἑξῆς: «Ἄνθρωπος πειθόμενος μὴ εἶναι μετὰ τοῦ Θεοῦ, οὗτος οὐκ ἔχει τὸν φόβον τοῦ Θεοῦ».

4) Εὐεργετην. βιβλ. δ'. ὑπόθεσ. λη'. σελ. 128.

5) Εὐεργετην. βιβλ. γ'. ὑπόθεσ. ιη'. σελ. 53.

σαι [1]. Πάλιν εἶπε, ὅτι χρείαν ἔχει ὁ ἄνθρωπος ἀνδρείαν καρδίαν καὶ μεγάλην [2], μεριμνᾶν εἰς τὸ φυλάξαι τὰς ἐντολὰς τοῦ Κυρίου. Πάλιν εἶπεν, οὐαί μοι, οὐαί μοι, ὅτι ἔχω πρὸ ἐμοῦ κατηγόρους, οὓς γινώσκω καὶ οὓς ἀγνοῶ, καὶ οὐ δύναμαι ἀρνήσασθαι! Οὐαί μοι, οὐαί μοι, ὅτι ἔχω κατηγόρους, καὶ πῶς δυνήσομαι ὑπαντῆσαι τῷ Κυρίῳ μου καὶ τοῖς ἁγίοις αὐτοῦ, ὅτι οἱ ἐχθροί μου οὐκ εἴασαν ἓν μέλος μου σῶον ἐνώπιον τοῦ Θεοῦ; Ἠρώτησα αὐτόν, ὅτι τί χρείαν ἔχει ποιῆσαι ὁ ἡσυχάζων; Καὶ εἶπέ μοι, ὅτι ὁ ἡσυχαστὴς χρείαν ἔχει τῶν τριῶν τούτων [3], φόβον ἀδιάλειπτον, καὶ τὸ αἰτεῖν ἀεί, καὶ τὸ μὴ ἀπολῦσαι τὴν καρδίαν αὐτοῦ πάντοτε. Πάλιν εἶπεν, ὅτι ἄνθρωπος ἡσυχάζων ὀφείλει φυλάξαι ἑαυτὸν τοῦ μὴ ἀκοῦσαι πάντα λόγον, μὴ ὠφελοῦντα αὐτόν, ἐπεὶ ἀπόλλει τὸν κόπον αὐτοῦ. Πάλιν εἶπε περὶ τοῦ ἀββᾶ Σεραπίωνος [4], ὅτι ἠρωτήθη παρὰ γέροντος, ὅτι ποίησον ἀγάπην, εἰπέ μοι πῶς βλέπεις σεαυτόν· καὶ ἀπεκρίθη ὅτι ἔοικά τινι ὄντι ἐν πύργῳ, καὶ προσέχοντι ἔξω καὶ νεύοντι τοῖς παρερχομένοις μὴ ἐγγίσαι αὐτῷ. Καὶ εἶπεν αὐτῷ ὁ γέρων, ὁ ἐρωτήσας αὐτόν, κἀγὼ βλέπω ἐμαυτόν, ὡς ὅτι ἐποίησα περιτείχισμα καὶ ἐστήριξα αὐτὸ μοχλοῖς σιδηροῖς, ἵνα, ἐάν τις κρούσῃ, μὴ μάθω τίς ἐστιν, ἢ πόθεν ἦλθεν, ἢ τί θέλει, ἢ ποῖός ἐστιν καὶ οὐκ ἀνοίγω αὐτῷ, ἕως οὗ ἀπέλθῃ. Εἶπε πάλιν· εἴ τις ζητεῖ τὸν Κύριον ἐν πόνῳ καρδίας, εἰσακούει αὐτοῦ, ἐὰν ἐν γνώσει αἰτῇ καὶ μεριμνᾷ ἐν πόνῳ καρδίας, καὶ μὴ ᾖ δεδεμένος ἔν τινι τῶν τοῦ κόσμου, ἀλλὰ φροντίζων τῆς ψυχῆς αὐτοῦ ἐν φόβῳ στῆσαι αὐτὴν ἐν τῷ βήματι τοῦ Θεοῦ ἀπροσκόπως, κατὰ τὴν δύναμιν αὐτοῦ.

---

1) Πρβλ. Ἰσαὰκ Συρ. λογ. πε΄. σελ. 496.

2) Ἀντὶ «ἀνδρείας καρδίας καὶ μεγάλης», ὡς κατωτέρω «χρείαν ἔχει τῶν τριῶν τούτων.

3) Εὐεργετην. βιβλ. δ΄. ὑπόθεσ. ε΄. σελ. 26.

4) Αὐτόθι.

# ΤΟΥ ΑΥΤΟΥ

## ΕΙΣ ΤΟ ΠΡΟΣΕΧΕ ΣΕΑΥΤΩι [1].

### *Λόγος κζ'.*

Α'. Πρόσεχε σεαυτῷ ἀκριβῶς θαρρῶν καὶ πιστεύων, ὅτι ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς Θεὸς ὤν, καὶ ἀδιήγητον ἔχων δόξαν καὶ μεγαλωσύνην, τύπος ἡμῖν γέγονεν, ἵνα ἐξακολουθήσωμεν τοῖς ἴχνεσιν αὐτοῦ, καὶ μεγάλως καὶ ὑπερβαλλόντως ἐταπείνωσεν ἑαυτὸν δι᾽ ἡμᾶς ἐν τῷ λαβεῖν αὐτὸν μορφὴν δούλου (Φιλιπ. β'. 6), καὶ ἐπτώχευσε καὶ αἰσχύνης κατεφρόνησε καὶ ὕβρεων πολλῶν καὶ αἰσχρῶν ἠνέσχετο, καί, καθὼς γέγραπται: «Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος αὐτὸν ἄφωνος, οὕτως οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ. Ἐν

---

1) Ἐν τῷ 157 κώδικι Σαβαΐτ. συλλογῆς Ι'. αἰῶνος εὑρίσκονται: «Τοῦ ἀββᾶ Ἀμμωνᾶ», συγχρόνου τοῦ μεγ. Ἀντωνίου († 356) «κεφάλαια» (Ἱεροσολ. βιβλιοθ. τ. β'. σ. 257), ὧν τὸ περιεχόμενον οὐσιωδῶς ὅμοιόν ἐστι πρὸς τὸ τοῦ παρόντος λόγου, ἀντὶ δὲ τοῦ ἐν ἀρχῇ ἑκάστου κεφαλαίου: «Πρόσεχε σεαυτῷ» φέρεται ἐκεῖ: «Τήρει σεαυτὸν ἀκριβῶς». Ἐκ τεμαχίου διασωθέντος ἔν τινι ἀνεπιγράφῳ λόγῳ τοῦ ἀββᾶ Ζωσιμᾶ, τοῦ πιθανῶς ἀναφερομένου ἐν ταῖς διδασκαλίαις τοῦ ἀββᾶ Δωροθέου († 596), ἔχοντος ἐπὶ λέξει: «Ἐπεὶ τί εὐκολώτερον τοῦ ἀκοῦσαι παρὰ ἁγίου καὶ πρακτικοῦ διδασκάλου, τοῦ ἀββᾶ Ἀμμωνᾶ, λέγοντος; «Τήρει σεαυτὸν ἀκριβῶς, ἵνα, ἐάν τις ἐν οἱῳδήποτε πράγματι θλίψῃ, σιωπᾷς, κτλ. (Σιναΐτ. κῶδ. 449, αἰῶνος Ι'. σ. 26β), πιστούμεθα περὶ τῆς γνησιότητος τῶν κεφαλαίων τοῦ ἀββᾶ Ἀμμωνᾶ. Τὰ κεφάλαια ταῦτα, ὡς φαίνεται, ἐπεξεργασθεὶς ἴσως μετὰ τὸν θάνατον τοῦ ἀββᾶ Ἀμμωνᾶ ὁ Ἡσαΐας καὶ προσθέσας τινὰ ἴδια, ἀπέστειλε πρός τινα μοναχὸν ὑπὸ τύπον ἐπιστολῆς.

Ἐν τῷ 378 τῆς ἰδίας συλλογῆς ΙΗ'. αἰῶνος ἀποδίδεται τῷ μαθητῇ τοῦ ἀββᾶ Ἡσαΐου Πέτρῳ, ὁ ὁποῖος ἐπὶ λέξει ὅμοιός ἐστι πρὸς τὸν παρόντα καὶ φέρει ἐπιγραφήν: «Τοῦ ὁσίου Πέτρου, μαθητοῦ τοῦ ἀββᾶ Ἡσαΐου εἰς τὸ πρόσεχε σεαυτῷ σ. 134β (Ἱεροσολ. βιβλ. τ. β'. σ. 510). Ἐν δὲ τῷ 464 Σιναΐτ. κώδ. ΙΖ'. αἰῶνος ἀποδίδεται Πέτρῳ τῷ Δαμασκηνῷ († 742 ἢ κατ᾽ ἄλλους 775), ὅστις ἐπὶ λέξει ὅμοιός ἐστι πρὸς τὸν παρόντα, τὴν ἑξῆς φέρων ἐπιγραφήν: «Τοῦ ὁσίου Πατρὸς ἡμῶν Πέτρου τοῦ Δαμασκηνοῦ μοναχοῦ «εἰς τὸ πρόσεχε σεαυτῷ» σ. 175β,

τῇ ταπεινώσει αὐτοῦ ἡ κρίσις αὐτοῦ ἤρθη» (Ἡσ. νγ′. 7—8), καὶ θάνατον μετὰ πολλῶν ὕβρεων ὑπέστη δι' ἡμᾶς· διὰ τὴν ἐντολὴν αὐτοῦ, καὶ ὑπὲρ τῶν ἰδίων ἁμαρτιῶν βαστάζειν προθύμως. Ἐὰν τις δικαίως ἢ ἀδίκως ὑβρίσῃ ἢ καταλαλήσῃ [1], καὶ τί δεῖ λέγειν, ἕως καὶ εἰς θάνατον, ἵνα «ὡς πρόβατον ἐπὶ σφαγὴν» ἀχθῶμεν, καὶ ὡς κτῆνος ἄλογον γενώμεθα, τὸ καθόλου μὴ ἀντιλέγοντες, ἀλλὰ μᾶλλον, ἐὰν δύνῃ, παρακάλει, εἰ δὲ μή γε, κἂν παντελῶς σιώπα μετὰ πολλῆς ταπεινώσεως.

Β′. Πρόσεχε σεαυτῷ ἀκριβῶς, μέγα κέρδος[2] καὶ σωτηρίαν τῆς ψυχῆς σου πιστεύων εἶναι τὰς ὕβρεις καὶ τὰς ἀτιμίας τὰς διὰ τὸν Κύριον γινομένας, καὶ βαστάξαι αὐτὰς προθύμως καὶ ἀταράχως, λογιζόμενος ὅτι ἄξιός εἰμι καὶ πλείονα παθεῖν διὰ τὰς ἁμαρτίας μου, καὶ ὅτι ὅλως καταξιοῦμαι παθεῖν διὰ τὸν Χριστὸν καὶ βαστάξαι, ἴσως διὰ τῶν πολλῶν θλίψεων καὶ ἀτιμιῶν, κἂν ῥοπήν τινα μιμητὴς γένωμαι τοῦ πάθους τοῦ Θεοῦ μου. Καὶ ὁσάκις μνησθῇς τῶν θλιψάντων σε, ὡς μεγάλα κέρδη προξενησάντων, ὑπερεύχου αὐτῶν [3] ἀπὸ ψυχῆς μετὰ ἀληθείας μὴ γογγύζων κατ' αὐτῶν τὸ σύνολον.

Γ′. Πρόσεχε σεαυτῷ ἀκριβῶς, ἵνα, ὡς μέγαν θάνατον καὶ ἀπώλειαν τῆς ψυχῆς σου καὶ κόλασιν αἰώνιον, οὕτω βδελύξῃ καὶ μισήσῃς τελείως πᾶσαν φιλαρχίαν, καὶ φιλοδοξίαν καὶ τὸ θέλειν δόξας ἢ τιμὰς ἢ ἐπαίνους παρὰ ἀνθρώπων, καὶ τὸ λογίζεσθαι ἑαυτὸν εἶναί τι, ἢ ὅτι κατώρθωσας ἀρετήν, ἢ ὅτί καλλίων εἶ τινος[4]. Καὶ πᾶσαν αἰσχρὰν ἐπιθυμίαν καὶ ἡδονὴν σαρκός, ἕως ἐλαχίστου ἀπόκοψον. Καὶ τὸ κατανοῆσαι ἄνθρωπον, μὴ οὔσης χρείας, ἢ ἅψασθαι ἑτέρου σώματος, ἢ φαγεῖν μικρὸν ἢ ἐλάχιστον παρὰ τὸν καιρόν, ἵνα οὕτω τηρῶν καὶ ἀσφαλιζόμενος ἑ-

---

1) Ἡ φράσις διορθωτέα οὕτω! «Διὰ τὴν ἐντολὴν αὐτοῦ καὶ ὑπὲρ τῶν ἰδίων ἁμαρτιῶν ὀφείλομεν βαστάζειν προθύμως, ἐάν τις δικαίως ἢ ἀδίκως ὑβρίσῃ ἢ καταλαλήσῃ» κ. τ. λ.

2) Εὐεργετην. βιβλ. β′. ὑπόθεσ. β′. σελ. 15.

3) Πρβλ. Δωροθ. ἐπιστολ. ε′. σελ. 1840 Πατρολογ. τ. 88

4) Ἐν τῷ Λατιν. vel etiam parem.

αυτὸν ἐν τοῖς μικροῖς, εἰς βαρέα μὴ ἐμπέσῃς, μηδὲ καταφρονῶν τῶν μικρῶν κατὰ μικρὸν πέσῃς.

Δ'. Πρόσεχε σεαυτῷ ἀκριβῶς, ἵνα ἔχῃς ἑαυτὸν παντὸς χριστιανοῦ ἐσχατώτερον καὶ ἁμαρτωλότερον ἀπὸ ψυχῆς καὶ μετὰ ἀληθείας, καὶ πάντοτε ἔχειν τὴν ψυχὴν πενθοῦσαν, καὶ τεταπεινωμένην καὶ στενάζουσαν, καὶ ὡς ἀνάξιος ὢν καὶ ἰδιώτης πάντοτε σιώπα καὶ τὸ καθόλου μὴ λάλει, μὴ οὔσης χρείας.

Ε'. Πρόσεχε σεαυτῷ [1] πάντοτε μνημονεύειν καὶ πρὸ ὀφθαλμῶν ἔχειν τὸ πῦρ τὸ αἰώνιον, καὶ τὰς αἰωνίους κολάσεις, καὶ τοὺς ἐκεῖσε κρινομένους καὶ ὀδυνωμένους, καὶ ὡς ἕνα τῶν ἐκεῖσε ἑαυτὸν λογίζου μᾶλλον, ἢ τῶν ζώντων.

ΣΤ'. Πρόσεχε σεαυτῷ ἀκριβῶς, εἰδὼς ὅτι ὁ Κύριος ἡμῶν ἀπέθανε καὶ ἀνέστη ὑπὲρ ἡμῶν καὶ τῷ αἵματι αὐτοῦ ἠγόρασεν ἡμᾶς, ἵνα καὶ σὺ μηκέτι σεαυτῷ ζῇς, ἀλλὰ τῷ Κυρίῳ τῷ ὑπὲρ ἡμῶν ἀποθανόντι καὶ ἐγερθέντι, θαρρῶν καὶ πιστεύων, ὅτι ἐνώπιον αὐτοῦ εἶ πάντοτε καὶ σκοπεῖ σου τὴν καρδίαν.

Ζ'. Πρόσεχε σεαυτῷ ἀκριβῶς, τοῦ πάντοτε ἕτοιμον εἶναι ὑπακούειν τῷ θελήματι τοῦ Θεοῦ, εἴτε εἰς θάνατον, εἴτε εἰς ζωήν, εἴτε εἰς οἱανδήποτε θλῖψιν μετὰ πολλῆς προθυμίας καὶ πίστεως καὶ πάντοτε προσδοκᾶν μεγάλους καὶ φοβεροὺς πειρασμούς, ἐρχομένους σοι καὶ θλίψεις καὶ βασάνους καὶ θάνατον φοβερόν.

Η'. Πρόσεχε σεαυτῷ ἀκριβῶς [2], ἵνα [3] ὡς ἑνός σε, ἀλλ' ἕως ἐλαχίστου τινός, εἴτι δ' ἂν θέλῃς λαλῆσαι, ἢ ποιῆσαι, ἢ παραβαλεῖν τινι, ἢ φαγεῖν, ἢ πιεῖν ἢ κοιμηθῆναι, ἢ οἱονδήποτε πρᾶγμα βουληθῇς ποιῆσαι, ἵνα δοκιμάσῃς πρῶτον, εἰ κατὰ Θεόν ἐστι, καὶ ἐξομολογήσῃς τὴν αἰτίαν τοῦ πράγματος καὶ τότε ποίει, ὃ πρέπει ἐνώπιον τοῦ Θεοῦ, καὶ οὕτως ἐν πᾶσι τοῖς ἔργοις σου ἐξομολογοῦ τῷ Θεῷ, ἵνα πολλὴν σχέσιν καὶ παρρησίαν ἔχῃς πρὸς αὐτόν.

---

1) Εὐεργετην. βιβλ. α'. ὑπόθεσ. ε'. σελ. 17.

2) Εὐεργετην. βιβλ. δ'. ὑπόθεσ. ζ'. 44.

3) Τὰ ἑξῆς ἕπονται ἐν τῷ Σιναϊτικῷ κώδικ. 464 ιζ'. αἰῶν. σελ. 177 «Ὡς ἐνώπιον τοῦ Θεοῦ ὢν μηδὲν ἄνευ γνώμης αὐτοῦ ποιήσῃς, ἀλλ' ἕως ἐλαχίστου» κ. τ. λ.

Θ΄. Πρόσεχε σεαυτῷ ἀκριβῶς [1], ἵνα, ἐάν τις, ἐν οἱῳδήποτε πράγματι, θλίψῃ [2] καὶ γένηται ἐν σοὶ λύπη, ἢ θυμός, σιωπήσῃς καὶ μὴ λαλήσῃς τίποτε παρὰ τὸ πρέπον, ἕως οὗ πρῶτον τῇ προσευχῇ πραϋνθῇ σου ἡ καρδία, καὶ οὕτω λοιπὸν παρακάλει τὸν ἀδελφόν [3]. Ἐὰν δὲ γένηταί σοι χρεία ἐλέγξαι τὸν ἀδελφὸν [4] καὶ βλέπῃς ἑαυτὸν ἐν ὀργῇ καὶ ἀκαταστασίᾳ ὄντα, τὸ καθόλου μηδὲν αὐτῷ λαλήσῃς, ἵνα μὴ πλεῖον ταραχθῇς, ἀλλ' ὅταν ἴδῃς καὶ σεαυτὸν κἀκεῖνον ἐν καταστάσει καὶ πραότητι, τότε λάλησον, μὴ ὡς ἐλέγχων, ἀλλ' ὡς ὑπομιμνήσκων μετὰ πάσης ταπεινοφροσύνης.

Ι΄. Πρόσεχε σεαυτῷ ἀκριβῶς, ἵνα προσδοκᾷς ἐρχόμενόν σοι πειρασμὸν [5] καθ' ἑκάστην, εἴτε εἰς θάνατον, εἴτε εἰς θλίψεις καὶ κινδύνους μεγάλους, καὶ βάσταζε προθύμως καὶ ἀταράχως, λογιζόμενος, ὅτι: «Διὰ πολλῶν θλίψεων δεῖ ἡμᾶς εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν» [6] (Πράξ. ιδ΄. 22).

ΙΑ΄. Πρόσεχε σεαυτῷ ἀκριβῶς, ἵνα, εἴ τι δ' ἂν συμβῇ σοι [7] πρᾶγμα, εἴτε ἐν λόγῳ, εἴτε ἐν ἔργῳ, εἴτε ἐν διανοίᾳ, μὴ ζητεῖν τὸ καθόλου τὸ σεαυτοῦ θέλημα, μηδὲ τὴν σὴν ἀνάπαυσιν, ἀλλὰ τὸ θέλημα τοῦ Θεοῦ ἐρευνᾶν ἀκριβῶς καὶ τελείως τοῦτο ποιεῖν, εἰ καὶ κόπον φαίνεται ἔχον, ἀλλ' ὡς ἀληθῶς διὰ τὴν βασιλείαν τῶν οὐρανῶν ὑπομένειν καὶ ἐργάζεσθαι, πιστεύων ἐξ ὅλης καρδίας, ὅτι τοῦτο συμφέρει ὑπὲρ πᾶσαν φρόνησιν ἀνθρω-

---

1) Εὐεργετην. βιβλ. β΄. ὑπόθεσ. σελ. 15.

2) «Τί εὐκολώτερον τοῦ ἀκοῦσαι παρὰ ἁγίου καὶ πρακτικοῦ διδασκάλου τοῦ ἀββᾶ Ἀμμωνᾶ λέγοντος, τήρει σεαυτὸν ἀκριβῶς, ἵνα, ἐάν τις ἐν οἱῳδήποτε πράγματι, θλίψῃ, σιωπᾶς καὶ τὸ καθόλου μὴ φθέγγεσαι, ἕως οὗ τῇ ἀδιαλείπτῳ προσευχῇ πραϋνθῇ σου ἡ καρδία, καὶ οὕτω παρακάλει τὸν ἀδελφόν». Τὸ χωρίον τοῦτο «ἐκ τῶν κεφαλαίων τοῦ ἀββᾶ Ἀμμωνᾶ» διεσώθη παρὰ τῷ ἀββᾷ Ζωσιμᾷ (Μεμβρ. Σιναΐτ. κώδ. 449. Ι΄. αἰῶνος σελ. 26α)· Ἐν τῷ κώδικι ὅμως τῆς Σαββαΐτ. συλλογῆς 157 σελ. 172β, ἔνθα εὑρίσκονται τὰ κεφάλαια, δὲν ὑπάρχει τὸ περὶ οὗ ὁ λόγος χωρίον, ἀλλὰ τοῦτο ἀποδοτέον εἰς σφάλμα τοῦ ἀντιγραφέως.

3) Πρβλ. Δωροθ. ἐν τῷ «πρὸς τοὺς ἐν μοναστηρίῳ ἐπιστάτας» λόγος ιζ΄. σελ. 1801

4) Εὐεργετην. βιβλ. β΄. ὑπόθεσ. λε΄. σελ. 109.

5) Εὐεργετην. βιβλ. γ΄. ὑπόθεσ. λγ΄. σελ. 98.

6) Πρβλ. Δωροθέου ἐπιστολ. β΄. σελ. 1840 Πατρολογ. τομ. 88.

7) Εὐεργετην. βιβλ. α΄. ὑπόθεσ. νγ΄. σελ. 157.

πίνην· ἡ γὰρ ἐντολὴ αὐτοῦ ζωὴ αἰώνιός ἐστι «καὶ οἱ ἐκζητοῦντες αὐτόν, οὐκ ἐλαττωθήσονται παντὸς ἀγαθοῦ» (Ψαλμ. λγ'. 11).

ΙΒ'. Πρόσεχε σεαυτῷ ἀκριβῶς[1], ὡς ἐνώπιον τοῦ Θεοῦ ὢν πάντοτε, ἵνα παρὰ μηδενὸς μηδὲν ἐλπίζῃς, εἰ μὴ παρὰ τοῦ μόνου μετὰ πίστεως, καὶ εἴ τι χρῄζῃς, δέον τῷ Θεῷ τοῦ γενέσθαι σοι τὴν χρείαν κατὰ τὸ αὐτοῦ θέλημα, καὶ ἐν οἷς εὑρίσκει, εὐχαρίστει τῷ Θεῷ πάντοτε, ὡς αὐτοῦ σοι δεδοκότος, καὶ ἐὰν ὑστερηθῇς τινος τὸ καθόλου, μὴ ἐλπίσῃς ἐπ' ἄνθρωπον, μηδὲ λυπηθῇς, μηδὲ γογγύσῃς κατά τινος, ἀλλὰ βάσταζε προθύμως καὶ ἀταράχως, λογιζόμενος, ὅτι ἄξιός εἰμι πολλῶν θλίψεων διὰ τὰς ἁμαρτίας μου, πλὴν ἐὰν θέλῃ με ὁ Θεὸς ἐλεῆσαι, δύναται, καὶ οὕτω διανοουμένου, αὐτὸς πᾶσαν τὴν χρείαν σου πληρώσει[2].

ΙΓ'. Πρόσεχε σεαυτῷ ἀκριβῶς, καθόλου μὴ καταδέχεσθαι λαμβάνειν, εἰ μὴ ἐὰν πληροφορηθῇς, ὅτι ὁ Θεός σοι αὐτὰ ἔπεμψεν ἐκ καρπῶν δικαίων, καί, μετὰ πάσης εἰρήνης, ταῦτα δέχου· ὅσα δὲ βλέπεις ἐξ ἀδικίας ἢ μάχης ἢ δόλου ἢ ὑποκρίσεως, ἀπόθου καὶ ἀπόρριπτε τὰ τοιαῦτα, λογιζόμενος ὅτι: «Κρείσσων μικρὰ μερὶς μετὰ φόβου Θεοῦ, ἢ πολλὰ γεννήματα μετὰ ἀδικίας» (Παροιμ. ιε'. 16).

ΙΔ'. Πρόσεχε σεαυτῷ ἀκριβῶς, καὶ βιάζου σιωπὴν ἀσκεῖν, ἵνα δώῃ σοι ὁ Θεὸς δύναμιν ἀγωνίζεσθαι καὶ ἀσκεῖν. Ἐὰν δὲ χρεία γένηταί σοι τοῦ λαλῆσαι καὶ δοκιμάσαι πρῶτον κατὰ σεαυτόν, ὅτι χρεία εὔλογός ἐστι καὶ κατὰ Θεόν ἐστι τὸ λαλῆσαι ὑπὲρ τὸ σιωπῆσαι, τότε λοιπὸν ἄνοιγε τὸ στόμα σου μετὰ φό-

---

1) Εὐεργετην. βιβλ. γ'. ὑπόθεσ. κα'. σελ. 61.

2) Τὰ ἐφεξῆς ἀκολουθοῦντα κεφάλαια ἐν τῷ Εὐεργετηνῷ, βιβλ. γ'. σελ. 61 καὶ ἀποδιδόμενα τῷ ἀββᾷ Ἡσαΐᾳ εὑρίσκονται καὶ παρὰ Μάρκῳ τῷ ἀσκητῇ· «ὅταν ἄνθρωπος» (Περὶ νομ. πνευματικ. κεφ. οδ'.)· «ὁ ἐπαινῶν τὸν πλησίον» (αὐτόθ. σε'.)· «ὅταν διὰ σωματικὴν παροχὴν» (αὐτόθ. κεφ. ρνζ'.)· «πᾶν ἀγαθὸν παρὰ Κυρίου» (αὐτόθ. κεφ. μζ'.)· «ὁ ἀσπάλαξ ὑπὸ γῆν ἕρπων» («περὶ τῶν οἰομένων ἐξ ἔργων τελειοῦσθαι» κεφ. π'.) «ἡ ἀληθὴς γνῶσις ἀνθρώποις δεδώρηται» (;) «πάντων τῶν κακῶν προηγεῖται ἄγνοια» (αὐτόθ. κεφ. ρε'.). Φιλοκαλία τομ. α'. σελ. 59, 62, 58, 66. 67).

βου Θεοῦ καὶ τρόμου ἔχων τὸ πρόσωπον κάτω καὶ τὸν λόγον τιμητικὸν καὶ ὑποπίπτοντα, ἵνα, ἐὰν συντύχῃς τινί, ὀλίγον λαλήσῃς, τῆς ἀγάπης ἕνεκα, καὶ ταχὺ σιωπήσῃς. Καὶ ἐὰν ἐξετασθῇς τι, πρὸς ἀνάγκην μόνον ὑπακούειν καὶ μηδὲν πλέον λαλεῖν.

ΙΕ'. Πρόσεχε σεαυτῷ ἀκριβῶς, ἵνα, ὡς πραγματεύῃ ἀπὸ τῆς πονηρίας, οὕτως ἐγκρατεύσῃ καὶ ἀπὸ τῆς ἐπιθυμίας τῶν ὀφθαλμῶν καὶ τῆς ἀκοῆς καὶ τοῦ στόματος καὶ τῆς ἀφῆς, ἵνα τοὺς ὀφθαλμούς σου πάντοτε ἔχῃς προσέχοντας ἑαυτῷ καὶ τῷ ἐργοχείρῳ σου, καὶ μὴ κατανοεῖν ἀνθρώπῳ, εἰ μή που βλέπεις ὅτι χρεία εὔλογός ἐστι, γυναικὶ δὲ ἢ ἄρρενι εὐπροσώπῳ τὸ καθόλου μὴ προσέχῃς, χωρὶς ἀνάγκης· τὰς δὲ ἀκοὰς μὴ συγχώρει ἀκούειν κατά τινος μηδὲ ὁμιλίας ἀνωφελεῖς, τὸ στόμα σου δὲ σιωπάτω καὶ τὸ καθόλου μὴ λαλείτω, μὴ οὔσης ἀνάγκης. Ἐὰν ἀναγινώσκῃς ταῦτα, ἀγαπητέ, τὴν δύναμίν σου ποίησον φροντίσαι αὐτῶν, ἵνα σκεπάσῃ σε ὁ Κύριος ἐν τῇ ὥρᾳ τοῦ πειρασμοῦ· Ἀμήν.

# ΤΟΥ ΑΥΤΟΥ

## ΠΕΡΙ ΤΩΝ ΚΛΑΔΩΝ ΤΗΣ ΚΑΚΙΑΣ.

### *Λόγος κη'.*

Α'. Περὶ τῶν κλάδων τῆς κακίας ἀναγκαῖον εἰπεῖν, ἵνα γνῷ ὁ ἄνθρωπος τί ἐστι πάθος, τὸ ἀφορίζον αὐτὸν ἀπὸ τοῦ Θεοῦ, καὶ παρακαλέσῃ τὴν ἀγαθότητα αὐτοῦ δι' ἕκαστον αὐτῶν, εἴ πως ἡ βοήθεια αὐτοῦ ἐξέλθῃ σὺν τῷ ἀνθρώπῳ καὶ δῷ δύναμιν, ἕως ἂν δυνηθῇ ἐκδύσασθαι αὐτά· ταῦτα γὰρ μώλωπές εἰσιν ἐν τῇ ψυχῇ καὶ ἀφορίζουσιν αὐτὴν ἀπὸ Θεοῦ. Μακάριος οὖν ἐστιν ὁ ἀποδυσάμενος αὐτά, ὅτι ἔσται πρόβατον λογικὸν δεκτὸν ἐπὶ τὸ θυσιαστήριον τοῦ Θεοῦ, καὶ ἀκούσεται τῆς χαροποιοῦ φωνῆς τοῦ Κυρίου: «Εὖ, δοῦλε ἀγαθὲ καὶ πιστέ! ἐπὶ ὀλίγα ἧς πιστός, ἐπὶ πολλῶν σε καταστήσω· εἴσελθε εἰς τὴν χαρὰν τοῦ Κυρίου σου» (Ματθ. κε'. 21). Οἱ θέλοντες οὖν ποιεῖν τὰ θελήματα αὐτῶν κατὰ σάρκα καὶ μὴ βουλόμενοι ἑαυτοὺς θεραπεῦσαι ἐκ τῆς ἁγίας θεραπείας τῆς μετανοίας, ἵνα ἁγνοὶ γένωνται, εὑρίσκονται γυμνοὶ τῆς στολῆς τῶν ἀρετῶν ἐν τῇ ὥρᾳ τῆς ἀνάγκης, καὶ ριφήσονται εἰς τὸ σκότος τὸ ἐξώτερον, ὅπου ἐστὶν ὁ διάβολος, ἐνδεδυμένος τὴν στολὴν τῶν παθῶν, ἅτινά ἐστι, πορνεία, ἐπιθυμία, φιλαργυρία, καταλαλιά, ὀργή, ζῆλος, κενοδοξία, ὑπερηφανία. Ταῦτά εἰσιν οἱ κλάδοι καὶ πολλὰ τούτοις ὅμοια, τουτέστιν ἀκρασία, κόσμησις τοῦ σώματος, περισπασμός, ὀκνηρία, γελωποιοὶ λόγοι, τὸ προσέχειν ἀναιδῶς, τὸ φιλοπλατύνεσθαι, ἡ ἀσυνειδησία, τὸ μὴ προσέχειν τῷ κρίματι τοῦ Θεοῦ, ὁ φθόνος ὁ πρὸς τὸν πλησίον, τὸ ψεῦδος κατὰ τοῦ ἀδελφοῦ, ἡ ἀνθρωπαρέσκεια, ἡ ψευδομαρτυρία, ἡ ψευδογνωσία, τὸ θέλειν διδάσκειν, τὸ ἀγαπῆσαι τὴν χρείαν τοῦ κόσμου, ἡ μικροψυχία, τὸ μὴ βαστάζειν τὸ μῖσος εἰς τὸν πλησίον, τὸ μὴ μέμψασθαι ἑαυτόν, τὸ ἀγαπῆ-

σαι τὴν δόξαν τῶν ἀνθρώπων ὑπὲρ τὴν δόξαν τοῦ Θεοῦ, τὸ ἐκφᾶναι τὴν ἐργασίαν σου, ἵνα δοξασθῇς ὑπὸ τῶν ἀνθρώπων, τὸ ἀγαπᾶν τὰ ἐδέσματα, τὸ τελέσαι τὰ πάθη τοῦ σώματος ἐν τῇ καρδίᾳ σου, τὸ σκάνδαλον ἔχειν ἐκ τοῦ μὴ μετρεῖσθαι, τὸ καυχᾶσθαι ἐπὶ τῇ σῇ γνώσει, τὸ ἐρεθίζειν, τὸ κατέχειν τὸ θέλημά σου, τὸ λογίσασθαι ἑαυτὸν φρόνιμον καὶ καλόν, τὸ βλέπειν τὸν ἀδελφόν σου ἄφρονα καὶ ἐξουθενεῖν αὐτόν.

Β'. Ταῦτα γὰρ πάντα ἐργάζεται ἐν τῇ ταλαιπώρῳ ψυχῇ, ἕως οὗ ἀφορίσῃ αὐτὴν ἀπὸ τοῦ Θεοῦ, καὶ ταῦτά ἐστι τὰ βαρέα φορτία, ἃ ἐβάστασεν Ἀδάμ, ὅτε ἔφαγεν ἀπὸ τοῦ ξύλου. Ταῦτά ἐστι, περὶ ὧν φησίν: «Αὐτὸς τὰς ἀσθενείας ἡμῶν ἔλαβε καὶ τὰς νόσους ἐβάστασε» (Ἡσαΐας νγ'. 4). Ταῦτά ἐστιν, ἃ ἀπέκτεινεν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐν τῷ σταυρῷ αὐτοῦ, ταῦτά ἐστιν οἱ παλαιοὶ ἀσκοί, ἐν οἷς οὐ βάλλεται οἶνος ὁ νέος (Ματθ. θ'. 17). αὗταί εἰσιν αἱ κειρίαι, ἐν αἷς ἐδέδετο ὁ Λάζαρος (Ἰωάν. ια'. 48), οὗτοί εἰσιν οἱ δαίμονες, οὓς ἀπέστειλε Χριστὸς εἰς τὴν ἀγέλην τῶν χοίρων (Ματθ. η'. 31—32). Οὗτός ἐστιν ὁ παλαιὸς ἄνθρωπος, ὃν εἶπεν ὁ ἀπόστολος ἐκδύσασθαι (Β'. Κορινθ. ε'. 4), τοῦτό ἐστιν, ὃ εἶπεν ὅτι: «Σὰρξ καὶ αἷμα βασιλείαν Θεοῦ οὐ κληρονομήσουσιν» (Α'. Κορινθ. ιε'. 50), τοῦτό ἐστιν, ὃ λέγει: «Εἰ γὰρ κατὰ σάρκα ζῆτε, μέλλετε ἀποθνήσκειν» (Ρωμ. η'. 13), ταῦτά εἰσι τὰ ζιζάνια, ἃ ἐξέβαλεν ἡ γῆ τῷ Ἀδάμ, ὅτε ἐξεβλήθη τοῦ παραδείσου. Τὸ δὲ τοῦ Χριστοῦ φορτίον ἐστὶ τὸ ἐλαφρόν, ἡ ἀοργησία, ἡ ἁγνεία, ἡ ἀγαθότης, ἡ πρᾳότης, ἡ χαρὰ τοῦ πνεύματος, ἡ ἐγκράτεια τῶν παθῶν, ἡ ἀγάπη ἡ εἰς ἅπαντας, ἡ διάκρισις ἡ ἁγία, ἡ πίστις ἡ ἀσάλευτος, ἡ ὑπομονὴ τῶν θλίψεων, τὸ βλέπειν ἑαυτὸν ξένον ἀπὸ τοῦ κόσμου, τὸ θέλειν ἐξελθεῖν ἀπὸ τοῦ σώματος καὶ ἀπαντῆσαι τῷ Χριστῷ, ταῦτά ἐστι τὰ φορτία τὰ ἐλαφρά, ἃ ἐπρόσταξεν ἡμῖν ὁ Χριστὸς βαστάσαι. Αὕτη ἐστὶν ἡ ὁδός, εἰς ἣν πολλοὺς κόπους ὑπέμειναν οἱ ἅγιοι, ἕως οὗ ἔφθασαν αὐτήν. Ταῦτά εἰσιν, ἃ οὐ δύναταί τις κτήσασθαι, εἰ μὴ ἀποδύσηται τὸν παλαιὸν ἄνθρωπον καὶ ἐλευθερωθῇ καὶ κτήσηται τὴν ἀγάπην· ἡ ἀγάπη ποιεῖ αὐτὸν ἀμεριμνῆσαι ἀπὸ πάντων. Ἀδύνατον οὖν κατοικῆσαι ἐν ἡμῖν τὴν ἀγάπην, ἐν ὅσῳ ἀγαπῶ-

μέν τι τοῦ κόσμου τούτου, καθὼς γέγραπται: «Οὐ δύνασθε τραπέζης Θεοῦ μετέχειν καὶ τραπέζης δαιμονίων» (Α'. Κορινθ. ι'. 21)· λέγει δὲ καὶ Ἡσαΐας: «Τίς ἀναγγελεῖ ἡμῖν τὸν τόπον τὸν αἰώνιον; εἰ μὴ ὁ πορευόμενος ἐν δικαιοσύνῃ, λαλῶν εὐθεῖαν ὁδόν, μισῶν ἀνομίαν καὶ ἀδικίαν, καὶ τὰς χεῖρας ἀποσειόμενος ἀπὸ δώρων· βαρύνων τὰ ὦτα, ἵνα μὴ ἀκούσῃ κρίσιν αἵματος· καμμύων τοὺς ὀφθαλμούς, ἵνα μὴ ἴδῃ ἀδικίαν, αὐτὸς οἰκήσει ἐν ὑψηλῷ σπηλαίῳ πέτρας ἰσχυρᾶς· ἄρτος αὐτῷ δοθήσεται, καὶ τὸ ὕδωρ αὐτοῦ πιστόν» (Ἡσ. λγ'. 14—16). Βλέπεις τὴν τιμήν, ἣν παρέχει ὁ Θεὸς τοῖς ἀγωνιζομένοις ἐν τῷ μικρῷ χρόνῳ τούτῳ καὶ ἀποδυσαμένοις τὸ βάρος τοῦ κόσμου διὰ τῆς ὑπομονῆς τῆς θλίψεως αὐτῶν; Ὁρᾷς πῶς ἡ βοήθεια τοῦ Θεοῦ συνεξέρχεται μετὰ τῶν κοψάντων τὰ θελήματα αὐτῶν, καὶ ἐξαλείφει ἀπ' αὐτῶν πάντα τὰ πάθη, διότι ἐξηκολούθησαν τῷ θελήματι τοῦ Θεοῦ; Οἱ δὲ κατέχοντες τὰ θελήματα αὐτῶν, καὶ θέλοντες τελειῶσαι αὐτά, ἄρχονται μὲν τῷ πνεύματι, μὴ δυνάμενοι δὲ ἀντιστῆναι τοῖς ἐχθροῖς αὐτῶν, διὰ τὸ θέλειν ἐπιτελεῖν τὰ ἑαυτῶν θελήματα, τελοῦνται ἐν σαρκὶ [1] καὶ ποιοῦσιν, εἰκῇ καὶ μάτην, τὸν κόπον αὐτῶν. Διὰ τοῦτο ὀνειδίζει αὐτοὺς ὁ προφήτης Ἱερεμίας, λέγων: «Ἐπικατάρατος πᾶς ὁ ποιῶν τὰ ἔργα τοῦ Κυρίου ἀμελῶς» (Ἱερ. λα'. 10). Ὁρᾷς ὅτι, ὅσοι ἐὰν θέλωσι δουλεῦσαι τὰ πάθη, οὐ συνεξέρχεται μετ' αὐτῶν ὁ Θεός, ἀλλὰ ἀφίησιν αὐτοὺς μετὰ τοῦ θελήματος αὐτῶν καὶ παραδίδωσιν αὐτοὺς εἰς χεῖρας τῶν μισούντων αὐτούς, καὶ ἀντὶ τιμῆς, ἧς ζητοῦσι παρὰ τῶν ἀνθρώπων, γίνεται αὐτοῖς ὄνειδος, ὅτι οὐκ ἀντέστησαν τοῖς ἐχθροῖς αὐτῶν, ἕως οὗ ὁ Θεὸς βοηθήσῃ αὐτοῖς καὶ ταπεινώσῃ αὐτούς· ἐκτὸς δὲ κόπου καὶ μόχθου καὶ πόνου οὐκ εἰσακούεται ὁ ἄνθρωπος ὑπὸ τοῦ Θεοῦ κατὰ πάσας τὰς Γραφάς.

Δ'. Δεηθῶμεν οὖν τῆς ἀγαθότητος τοῦ Θεοῦ, ἐπιμελείᾳ καρδίας καὶ δάκρυσι καὶ κακοπαθείᾳ, ὑποτασσόμενοι παντὶ ἀνθρώπῳ διὰ τὸν Κύριον, ταπεινοῦντες ἑαυτοὺς καὶ τοῖς ἀδελφοῖς ἡμῶν, ὡς εἰδόσιν ὑπὲρ ἡμᾶς: «Μηδενὶ κακὸν ἀντὶ κακοῦ ἀνταπο-

1) Μᾶλλον, τελειοῦνται ἐν σαρκί, ὡς ἐν τῷ λατιν. In carne desinunt.

διδόντες» (Ρωμ. ιβ'. 17), μηδὲν λογιζόμενοι πονηρὸν ἐν τῇ καρδίᾳ ἡμῶν περί τινος, ἀλλὰ πάντες ἐν μιᾷ καρδίᾳ ὄντες καὶ ἐν τῇ μὲν χρείᾳ τοῦ κόσμου τῇ σωματικῇ μὴ λέγοντες περί τινος ὅτι τοῦτο ἐμόν ἐστι· μετροῦντες δὲ τὸν νοῦν ἑαυτῶν καθ' ἑκάστην ποῦ ἔφθασεν καὶ φυλάσσοντες αὐτὸν μὴ λογίσασθαι ἀκαθαρσίαν, ἀποστεροῦντες τὸ σῶμα πλησμονῆς, ἵνα μὴ ζητήσῃ παρ' ἡμῶν τὰ ἑαυτοῦ πάθη, ἵνα ταπεινωθῇ τὸ σῶμα τῇ ψυχῇ καὶ ὑποταγῇ τῷ νοΐ ἡ ψυχή, καὶ γένηται νύμφη ἁγνὴ ἀπὸ παντὸς λογισμοῦ καὶ καλέσῃ τὸν νυμφίον αὐτῆς, λέγουσα: «Καταβήτω ὁ ἀδελφιδοῦς μου εἰς τὸν κῆπον αὐτοῦ, ἀκροδρύων αὐτοῦ» (Ἀσμ. ε'. 16). Ἀγωνισώμεθα οὖν, ἀδελφοί, ἵνα, εὑρόντες τὴν παρρησίαν ταύτην ἐνώπιον αὐτοῦ, ἀκούσωμεν αὐτοῦ λέγοντος, ὅτι: «Ὅπου εἰμὶ ἐγώ, θέλω, ἵνα καὶ αὐτοὶ ὦσι μετ' ἐμοῦ, ὅτι ἠγάπησα αὐτούς, καθὼς ἠγάπησάς με, Πάτερ· σὺ ἐν ἐμοὶ κἀγὼ ἐν αὐτοῖς» (Ἰωάν. ιζ'. 24, 23). Δύναται δὲ ἡ Τριὰς ἡ ἁγία, ἡ ὁμοούσιος καὶ ἄναρχος, ποιῆσαι ἔλεος μεθ' ἡμῶν, ἵνα εὕρωμεν ἄνεσιν μετὰ τῶν ἁγίων αὐτοῦ ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως· ὅτι αὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων· Ἀμήν.

# ΤΟΥ ΑΥΤΟΥ

## ΘΡΗΝΟΙ.

### *Λόγος κθ'.*

Α'. Οὐαὶ ἡμῖν, φιλήδονοι καὶ ὀλιγοχρόνιοι[1], ὅτι διὰ πρόσκαιρον παράνομον ἐπιθυμίαν σαρκός, οὐκ ὀψόμεθα τὴν δόξαν Κυρίου. Οὐαὶ ἡμῖν, ὅτι ἡ φθορὰ τὴν ἀφθαρσίαν κληρονομεῖ[2], καὶ ἡμεῖς τῆς ἀφθαρσίας καταφρονοῦντες, τῆς φθορᾶς ἐμμανῶς ἀντεχόμεθα. Οὐαὶ ἡμῖν, ὅτι τὴν διαλυθησομένην εἰς σκώληκας καὶ εἰς ἰχῶρα σάρκα ἡμῶν, ἐν ἁμαρτίαις ἐκτρέφομεν καὶ οὐδὲ πῦρ, τὸ μέλλον ἡμᾶς ἀθανάτως βασανίζειν, οὐδὲ τὸν σκώληκα τὸν ἀκοίμητον φοβούμεθα. Οὐαὶ ἡμῖν, ὅτι τὸ ἐν ἀκαθαρσίαις[3] μιαινόμενον σῶμα ἡμῶν, οἱ φιλόχριστοι τῶν ἀνθρώπων προσκυνοῦσι καὶ καταφιλοῦσιν, ἡμεῖς δέ ἐσμεν «τάφοι κεκονιαμένοι» (Ματθ. κγ'. 27), τὴν θανατηφόρον ἁμαρτίαν ἐκσώζοντες. Οὐαὶ ἡμῖν, ὅτι δι' ἀκρασίας βρωμάτων καὶ τρυφῆς, τὸν σπερματικὸν γόνον ἐν ἑαυτοῖς θησαυρίζομεν, καὶ διὰ τοῦτο πρὸς σωμάτων μῖξιν παρανόμως ἐρεθιζόμεθα. Οὐαὶ ἡμῖν, ὅτι τὴν φθορὰν τῇ ἀφθαρσίᾳ οὐ συγκρίνομεν, καὶ τῆς θείας καὶ φοβερᾶς εὐθύτητος καταφρονοῦμεν. Οὐαὶ ἡμῖν, ὅτι ὀλίγωροί ἐσμεν εἰς τὰ καλά, σπουδαῖοι δὲ καὶ πρόθυμοι περὶ τὰ κακά. Οὐαὶ ἡμῖν, ὅτι τὸ δεκτικὸν φωτὸς αἰωνίου σῶμα ἡμῶν, δεκτικὸν σκότους αἰωνίου κατεσκευάσαμεν. Οὐαὶ ἡμῖν, ὅτι ὁ υἱὸς τοῦ ἀνθρώπου γενόμενος, ὁ καὶ Θεῷ Πα-

---

1) Ἤτοι, οἵτινες ἐσμὲν φιλήδονοι κτλ.

2) Ἐν τῇ πρὸς Κορινθ. (ιε'. 50) ἀναγινώσκομεν : «Σὰρξ καὶ αἷμα βασιλείαν Θεοῦ κληρονομῆσαι οὐ δύνανται, οὐδὲ ἡ φθορὰ τὴν ἀφθαρσίαν κληρονομεῖ». Φαίνεται ἐνταῦθα ἐλλεῖπον τὸ ἀρνητικὸν μόριον.

3) Εὐεργ. βιβλ. α'. ὑπόθ. λϐ'. σ. 110.

τρὶ ὁμοούσιος, «οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλῖναι» (Ματθ. η'. 20) ἐν ἡμῖν, δι' ἡμᾶς ἐνανθρωπήσας, αἱ δὲ ἀλώπεκες, τὰ πονηρὰ καὶ δόλια πνεύματα, τοὺς φωλεοὺς αὐτῶν ἐν ἡμῖν εἰργάσαντο. Οὐαὶ ἡμῖν, ὅτι οἱ εὐθεῖς τῇ καρδίᾳ τὰς ἑαυτῶν ψυχὰς ἀμώμους καὶ τὰ σώματα αὐτῶν ἅγια καὶ ἄρυπα παριστῶσι τῷ κριτῇ, ἡμεῖς δέ, μώμους τὰς ψυχὰς καὶ ἀκάθαρτα τὰ σώματα ἔχοντες, ἀπεκδεχόμεθα τὴν ἀπόφασιν τῆς αἰωνίου κολάσεως.

Β'. Οὐαὶ ἡμῖν, ὅτι, ὕβρεων ὄντες καὶ πάσης ἀκαθαρσίας ἐπιθυμηταί, τιμὴν ἁγίων ἀπαιτοῦμεν. Οὐαὶ ἡμῖν, ὅτι, κατάκριτοι ὄντες καὶ πολλῶν ἁμαρτιῶν ὑπεύθυνοι, ὡς ἁγνοὶ καὶ ἐλεύθεροι ἐν μέσῳ τῶν ἁγίων καὶ ἀκάκων ἀναστρεφόμεθα. Οὐαὶ ἡμῖν, ὅτι, ἐγκλημάτων [1] πλήρεις ὄντες, τοὺς πολλῷ μᾶλλον διαφέροντας ἡμῶν νουθετοῦμεν καὶ παιδεύομεν. Οὐαὶ ἡμῖν, ὅτι, τὴν δοκὸν ἔχοντες ἐν τῷ ὀφθαλμῷ (Ματθ. ζ'. 3—5), περὶ τῶν λεπτοτάτων σφαλμάτων τῶν ἀδελφῶν ἡμῶν, ὡς ἀμώμητοι, ἐγκαλοῦμεν καὶ ὀργιζόμεθα. Οὐαὶ ἡμῖν, ὅτι, δεσμοῦμεν ἑτέροις, φορτία βαρέα καὶ δυσβάστακτα (Ματθ. κγ'. 4), αὐτοὶ δὲ ὡς ἀσθενέστεροι τῷ σώματι προσψαῦσαι αὐτοῖς παραιτούμεθα. Οὐαὶ ἡμῖν, ὅτι, ἐργασίας θείας [2] μοναχικῆς ἀπολειπόμενοι, διδάσκειν ἑτέρους τὴν πρακτικὴν ἀρετὴν προπετευόμεθα. Οὐαὶ ἡμῖν, ὅτι, τῶν ἀρχαίων ἡμῶν ἁμαρτημάτων ἐπιλανθανόμενοι, οὐδὲ περὶ τῶν προσφάτων ἀγωνιῶμεν ἢ δακρύομεν. Οὐαὶ ἡμῖν, ὅτι, τῇ τοῦ Θεοῦ βοηθείᾳ καὶ χάριτι, καλῶς ἐναρξάμενοι, νῦν σαρκικοὶ γεγόναμεν. Οὐαὶ ἡμῖν, ὅτι τοσοῦτον κατηνέχθημεν ἐν τοῖς ῥυπαροῖς λογισμοῖς, ὅτι τὰ παρεωραμένα ἁμαρτήματα ζητοῦμεν, εἰ πεπράχαμεν. Οὐαὶ ἡμῖν, ὅτι, ἐν τῷ ἐσθίειν ἡμᾶς καὶ πίνειν, οὐ προενθυμούμεθα τὸν ἐκ τῆς ἀδηφαγίας ἐπιτελούμενον ἐν ἡμῖν πόλεμον. Οὐαὶ ἡμῖν, ὅτι ἅμα τῷ ταῖς μνήμαις τῆς πορνείας ἐρεθίζειν ἡμᾶς τοὺς δαίμονας, εὐπαρασκευάστους ἡμᾶς εὑρίσκουσι, τῇ συγκαταθέσει τῶν ἐννοιῶν. Οὐαὶ ἡμῖν, ὅτι, ἀφέντες τὴν τῶν θείων εὐχῶν καὶ ἀναγνώσεων μελέτην, ἐν μετεωρισμοῖς καὶ ἀργολογίαις δαπανῶμεν τὰς ἡ-

1) Εὐεργετην. βιβλ. δ'. ὑπόθεσ. λη'. σελ. 128.
2) Εὐεργετην. βιβλ. δ'. ὑπόθεσ. λη'. σελ. 129.

μέρας ἡμῶν. Οὐαὶ ἡμῖν, ὅτι οὕτω πεπωρωμέναι ἡμῶν εἰσιν αἱ καρδίαι, ὡς πολλάκις ἡμᾶς ἐπιζητοῦντας κατάνυξιν καὶ δάκρυα, ἀπορεῖν ἀπὸ τῆς ἄγαν ἡμῶν ἀμελείας καὶ χαυνώσεως. Οὐαὶ ἡμῖν, ὅτι, τοῦ Θεοῦ εἰπόντος: «Ψυχὴ ἡ ἁμαρτάνουσα αὕτη ἀποθανεῖται» (Ἰεζεκ. ιη'. 4, 20), πάντοτε ἁμαρτανούσης αὐτῆς, οὐδέποτε ἐπιμελούμεθα.

Γ'. Οὐαὶ ἡμῖν, ὅτι τὸ εὐόλισθον εἰς ἁμαρτίαν σῶμα ἡμῶν, διὰ τοῦ κόρου καὶ τῆς τρυφῆς, εἰς ἐπιθυμίας ἐρεθίζομεν ἀκαθάρτους καὶ ῥυπαροὺς λογισμούς, καὶ διὰ τῶν ὀφθαλμῶν τὰ βέλη τοῦ πονηροῦ ἐν ταῖς καρδίαις ἡμῶν δεχόμεθα, καὶ διὰ τῆς προσψαύσεως τῶν σωμάτων ἵπποι θηλυμανεῖς γινόμεθα, καὶ οὔτε τῆς λογικῆς ἀξίας, οὔτε τῆς αἰωνίου κολάσεως τὴν ἔννοιαν ἢ τὸν φόβον λαμβάνομεν. Οὐαὶ ἡμῖν, ὅτι περὶ τῶν τῆς σαρκὸς ἡμῶν παθῶν καὶ ἀλγηδόνων μεγάλα στενάζομεν, περὶ δὲ τῶν τῆς ψυχῆς τραυμάτων καὶ ἀνιάτων πόνων ἀναισθησίαν νοσοῦμεν. Οὐαὶ ἡμῖν, ὅτι τὸ ἀρχικὸν τῆς ψυχῆς τῇ δούλῃ αὐτῆς καθυπόσσεται[1] σαρκὶ καὶ ἄρχει τὸ χεῖρον τοῦ κρείττονος καὶ οὐκ ἄμφω δουλεύουσι τῷ πλάσαντι αὐτὰ Θεῷ ἐν ἑνὶ θελήματι. Οὐαὶ ἡμῖν, ὅτι νεάζουσιν ἡμῶν αἱ ἁμαρτίαι τοῖς λογισμοῖς τοῖς ῥυπαροῖς καὶ ἀκαθάρτοις καὶ οὐ διακρίνομεν Θεοῦ ὑποχώρησιν καὶ ἀκαθάρτων πνευμάτων ἐπέλευσιν. Οὐαὶ ἡμῖν[2], ὅτι, μωροὶ ὄντες καὶ ἄφρονες, τοὺς ἐπαίνους τῶν ἁγίων, καὶ οὐ τὰς ἐργασίας αὐτῶν καὶ πράξεις, ἀγαπῶμεν καὶ ἁρπάζομεν. Οὐαὶ ἡμῖν, ὅτι, οὔτε δούλων φόβον, οὔτε μισθωτῶν σπουδὴν καὶ εὔνοιαν, οὔτε υἱῶν ἀγάπην, ἐν ταῖς ἐργασίαις τῶν ἐντολῶν τοῦ Θεοῦ ἀποπληροῦμεν. Οὐαὶ ἡμῖν, ὅτι, πρὸς χάριν ἀνθρώπων, πάντα λέγειν καὶ ποιεῖν οὐ παραιτούμεθα, καὶ τοῦ δικαίου καταμελοῦμεν. Οὐαὶ ἡμῖν, ὅτι, αἰσχυνόμενοι πρόσωπα ἀνθρώπων, ἐξαμαρτάνομεν. καὶ περὶ τῆς αἰσχύνης τῆς αἰωνίου οὐδένα λόγον ποιούμεθα. Οὐαὶ ἡμῖν, ὅτι, ἐκ πενήτων[3] καὶ ἀδόξων ὄντες γονέων, ἑαυτοὺς

---

1) Καθυποτάσσεται.
2) Εὐεργετην. βιβλ. α'. ὑπόθ. λγ'. σελ. 111.
3) » » γ'. » κζ'. σελ. 73.

ἠγνοήσαμεν, καὶ πενίαν καὶ ἀτιμίαν ἀγαπᾶν διὰ τὸν Θεὸν ἐπαγγειλάμενοι, τοῖς πλουσίοις καὶ ἐνδόξοις συγκρίνεσθαι φιλονεικοῦμεν. Οὐαὶ ἡμῖν, ὅτι, διὰ πενίαν ἐν τῷ κόσμῳ, ἐνεκρατευόμεθα, καὶ νῦν εἰς ἐγκράτειαν κληθέντες, σφόδρα κόρου γαστρὸς καὶ ἀναπαύσεως ἐπιμέλειαν ποιούμεθα. Οὐαὶ ἡμῖν, ὅτι, ἀγγέλων παρεμβαλλόντων κύκλῳ τῶν φοβουμένων τὸν Θεόν, καὶ δαιμόνων κύκλῳ τῶν μὴ φοβουμένων αὐτόν, ἀλλὰ παραβαινόντων τὰς ἐντολὰς αὐτοῦ, εἰς τὰς τῶν δαιμόνων παρεμβολὰς ἑαυτοὺς κατατάσσομεν. Οὐαὶ ἡμῖν, ὅτι, τοῖς πλουσίοις [1] καὶ δυνάσταις συντυγχάνοντες, ἀρέσκειν σπουδάζομεν, τοὺς δὲ πένητας καὶ ἱκετικῶς ἡμῖν προσιόντας, ὡς ὀχληροὺς ἀποστρεφόμεθα.

Δ΄. Οὐαὶ ἡμῖν, ὅτι, κατὰ τὴν ὀφειλὴν ἑκάστῳ τῶν ἀνθρώπων, οὐ προσιέμεθα, ἀλλὰ κατὰ τὸ δοκοῦν ἡμῖν καὶ ἀρέσκον τοῦτο κρίνομεν. Οὐαὶ ἡμῖν, ὅτι τὰ δίκαια ὁρίζομεν καὶ κρίνομεν [2] καὶ διδάσκομεν, τῆς δὲ ἐργασίας τοῦ ἀγαθοῦ πόρρω ἀφεστήκαμεν. Οὐαὶ ἡμῖν, ὅτι ἀκανθῶν καὶ τριβόλων, καὶ τῶν λυμαινομένων τοὺς καρποὺς βοτανῶν ἐπιμελῶς τὴν γῆν ἐκκαθαίρομεν, τοὺς δὲ λυμαινομένους τὰς ἁγίας ἀρετὰς πονηροὺς καὶ ἀκαθάρτους λογισμοὺς ἡμῶν, τῷ φόβῳ τοῦ Θεοῦ μετ᾽ ἐπιμελείας ἐκ τῶν ἡμετέρων ψυχῶν οὐκ ἐκκαθαίρομεν. Οὐαὶ ἡμῖν [3], ὅτι μεταίρειν μέλλοντες ἐκ τῆς γῆς, ἧς παροικοῦμεν, πολυχρονίους τὰς περὶ τῶν γηΐνων καὶ φθαρτῶν πραγμάτων φροντίδας ποιούμεθα, καί, ἐν καιρῷ τῆς ἀπαραιτήτου ἔνθεν δὲ [4] ἡμῶν ἀποδημίας, οὐδενὸς ἐξουσιάσαι καταξιούμεθα. Οὐαὶ ἡμῖν, ὅτι ὑπὲρ πάσης πράξεως τῆς ἐπιγείου ζωῆς, καὶ ἀργοῦ λόγου, καὶ πονηρῶν λογισμῶν καὶ ἀκαθάρτων, καὶ ἐνθυμίου ψυχῆς λόγον ὑφέξομεν τῷ φοβερῷ κριτῇ, καί, ὡς ἀνεύθυνοι ἐν ὅλῳ τῷ τῆς ζωῆς ἡμῶν χρόνῳ, ἀμεριμνοῦμεν τῶν ἡμετέρων ψυχῶν [5]. Οὐαὶ ἡμῖν σφόδρα διὰ τὰς ἀ-

1) Ἔνθ᾽ ἀνωτέρω.

2) Εὐεργ. βιβλ. δ΄. ὑπόθ. λη΄. σ. 129.

3) Εὐεργ. βιβλ. α΄. ὑπόθ. ε΄. σ. 17.

4) Ἔνθεν δὲ ἀντὶ ἐνθένδε.

5) Ἕπονται τὰ ἑξῆς ἐν τῷ Εὐεργετηνῷ, ἔνθ᾽ ἀνωτέρω: «Διὰ τοῦτο ἐκδέχεται ἡμᾶς ἐκεῖ τὸ πῦρ τὸ ἄσβεστον τῆς γεέννης, καὶ τὸ σκότος τὸ ἐξώτερον, ὁ σκώληξ ὁ

σεβείας ἡμῶν καὶ ἀνομίας, ἃς ἡμάρτομεν, ἀλλὰ καὶ διὰ τὴν καταφρόνησιν καὶ ἀπιστίαν τῶν ἐπαγγελιῶν τοῦ Θεοῦ. Οὐαὶ ἡμῖν, ὅτι τῇ φθορᾷ, ὡς ἀνόητοι, ἐφηδόμεθα, καὶ δυνάμενοι διὰ τῆς κατὰ τὸ Εὐαγγέλιον ζωῆς τῇ ἀφθαρσίᾳ συγκεκρᾶσθαι, τῇ φιλίᾳ τῶν γηΐνων, μεμενήκαμεν ἀμέτοχοι τῆς αἰωνίου ἀφθαρσίας, τὴν φθορὰν τὴν ἐπάρατον προετιμήσαμεν. Οὐαὶ ἡμῖν, ὅτι τὰς φιληδονίας πάσας νικᾶν δυνάμενοι, διὰ τῆς αὐταρεσκείας ἡττᾶσθαι μᾶλλον τοῖς πάθεσιν ἡμῶν προειλόμεθα. Οὐαὶ ἡμῖν, ὅτι ἐνώπιον ἀνθρώπων [1] ἁμαρτάνειν αἰδούμεθά τε καὶ φοβούμεθα, πρὸ δὲ τῶν ὀφθαλμῶν τοῦ τὰ κρύφια βλέποντος ἀσεβοῦντες καὶ ἁμαρτάνοντες, οὐ τρέμομεν οὐδὲ φοβούμεθα. Οὐαὶ ἡμῖν, ὅτι, ἅλατι θείῳ, τὸν λόγον ἡμῶν οὐκ ἀρτύομεν, ἀλλὰ τὰ ἀνωφελῆ καὶ εὐλαβείας μακρὰν τῷ πλησίον ῥήματα διαπαντὸς φθεγγόμεθα. Οὐαὶ ἡμῖν, ὅτι, ἐν κολακείᾳ καὶ δόλῳ καὶ ὑποκρίσει, ἀνθρώποις ὁμιλοῦμεν, καὶ τὴν ἐκ τούτου κατάκρισιν οὐ φοβούμεθα. Οὐαὶ ἡμῖν, ὅτι ὁ ὄκνος καὶ ἡ ἀκηδία ἡμῶν συλᾶσθαι ποιεῖ ὑπὸ δαιμόνων τὴν κατάνυξιν τῶν καρδιῶν ἡμῶν. Οὐαὶ ἡμῖν, ὅτι, τῷ κόσμῳ ἀποταξάμενοι, τοὺς κοσμικοὺς ἐν τοῖς πάθεσιν ὑπερβαίνομεν. Οὐαὶ ἡμῖν, ὅτι, πολλῆς παιδείας καὶ διδασκαλίας δεόμενοι, ἑτέρους μικρὰ πταίοντας διορθούμεθα.

Ε'. Οὐαὶ ἡμῖν, ἐὰν ὁ Κύριος τὴν ἔτασιν ἡμῶν ἐπὶ τῆς γῆς ποιήσηται, καὶ ἀδιορθώτους εἰς τὴν κρίσιν ἡμᾶς παραλήψηται. Οὐαὶ ἡμῖν, ὅτι πρὸς τὰ ἐντόσθια ἡμῶν τῆς γαστρὸς οὐκ ἀποβλέπομεν καὶ διὰ τοῦτο φιληδονίᾳ καὶ ὑπερηφανίᾳ ἡττώμεθα. Οὐαὶ ἡμῖν [2], ὅτι ῥυποῦντες ἀεὶ τὰς ψυχὰς τοῖς ἀκαθάρτοις λογισμοῖς, ὑπόνοιαν ἔχειν ἁγίων καὶ ταῖς προσηγορίαις ἐκείνων τιμᾶσθαι βουλόμεθα. Οὐαὶ ἡμῖν, ὅτι ἀπησχολημένοι εἰς τὰ μάταια, τὴν πρὸς τὸν διάβολον πάλην ἐπελαθόμεθα. Οὐαὶ ἡμῖν τοῖς ἀφόβως ἐνθάδε ἁμαρτάνουσιν, ὅτι ἐκδέχεται ἡμᾶς ἐκεῖ τὸ

---

ἀκοίμητος, καὶ ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων, καὶ ἐπὶ πάσης τῆς ἄνω καὶ κάτω κτίσεως αἰσχύνη αἰώνιος». Ταῦτα δὲ ἀπαντῶσι κατωτέρω ἐν τῷ κειμένῳ.

1) Εὐεργ. βιβλ. δ'. ὑπόθ. ζ'. σελ. 44.

2) Εὐεργ. βιβλ. α'. ὑπόθ. λγ'. 11.

πῦρ τὸ ἄσβεστον τῆς γεέννης, καὶ τὸ σκότος τὸ ἐξώτερον, καὶ ὁ σκώληξ ὁ ἀκοίμητος, καὶ ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων, καὶ ἐπὶ πάσης τῆς ἄνω καὶ κάτω κτίσεως αἰσχύνη αἰώνιος. Οὐαὶ τῇ ἀδιακρίτῳ καὶ ἀμετανοήτῳ ἡμῶν ψυχῇ, ὅτι ἐν τῇ ἀναστάσει τῶν νεκρῶν σὺν κλαυθμῷ καὶ βρυγμῷ τῶν ὀδόντων ἐν τῷ ἁμαρτωλῷ αὐτῆς σώματι κλαύσεται καὶ στενάξει καὶ ἀπορηθήσεται ἐκ τῶν πικρῶν καὶ ἀλγεινῶν τοῦ αἰωνίου πυρὸς δριμυτάτων βασάνων. Οὐαὶ ἡμῖν, ὅτι, ἐν τῇ ἐξορίᾳ τῆς παροικίας ἡμῶν, τὴν εὐφροσύνην τὴν ἐπάρατον ἀγαπῶμεν, καὶ τῆς τρυφῆς τοῦ παραδείσου οὐ μνημονεύομεν, ἀλλὰ τῆς βασιλείας τῶν οὐρανῶν καταφρονοῦμεν. Οὐαὶ ἡμῖν, ὅτι ταῖς μωραῖς παρθένοις ὁμοιούμεθα δι' ἀσπλαγχνίαν, καὶ τὸ φωτίζον ἔλαιον τὰς λαμπάδας ἐντεῦθεν διὰ τῆς τῶν πλησίον εὐποιΐας οὐκ ἀγοράζομεν. Οὐαὶ ἡμῖν, ὅτι, νυκτὸς καὶ ἡμέρας, ἀναπέμπομεν τῷ Θεῷ εὐχάς, λέγοντες: «Κύριε, Κύριε», καὶ οὐ ποιοῦμεν, ἃ ἐνετείλατο. Οὐαὶ τῷ γράψαντι τοὺς τοσούτους θρήνους· ἐν ὅλοις τοῖς γεγραμμένοις ἐνεχόμενος, οὐδὲ αὔραν μικρὰν τῆς μετανοίας ἐδεξάμην. Οὐαὶ τῷ πονοῦντι ἑτέροις [1], τῶν ἰδίων πόνων ἑαυτὸν ἀποστερεῖ. Οὐαὶ ἡμῖν, ὅτι τοὺς ἐν συνειδήσει ἐλέγχους ἔχοντες ἀδιαλείπτως κατηγοροῦντας ἡμᾶς καὶ καταμαρτυροῦντας, οὐκ αἰσχυνόμεθα, οὐδὲ ὡς ἐκ τῶν πεπραγμένων ἡμῖν τὰς εὐθύνας ὑφέξοντες φρίττομεν τὸ τοῦ Θεοῦ κριτήριον. Οὐαὶ ἡμῖν, ὅτι, ὄζοντες ταῖς πράξεσι, τοῖς ἐπαίνοις τῶν ἀνθρώπων χαίρομεν.

ΣΤ'. Οὐαὶ ἡμῖν, ὅτι, ὁ ρεμβασμὸς καὶ ὁ μετεωρισμὸς καὶ ἡ λήθη, ἀφαιροῦνται τὸν τοῦ Θεοῦ φόβον ἀπὸ τῶν καρδιῶν ἡμῶν. Οὐαὶ ἡμῖν, ὅτι ἡ περὶ τὰ μάταια σπουδὴ ἡμῶν ἀποχερσοῖ τὴν διάνοιαν ἡμῶν καὶ ἀπαμβλύνει. Οὐαὶ ἡμῖν, ὅτι, τὴν μακροθυμίαν τοῦ Θεοῦ διαβασταζόμενοι, οὐ θανατούμεθα κατὰ τὰς πράξεις ἡμῶν, καὶ ταύτης ἀπολαύοντες ἀεὶ χρηστοὶ γενέσθαι οὐ σπουδάζομεν. Οὐαὶ ἡμῖν, ὅτι τῶν ἁμαρτιῶν ἡμῶν νῦν οὐ μνημονεύομεν, καὶ γυμνουμένης ἡμῶν τῆς ψυχῆς τοῦ σώματος, ἅπαντα ὁμοῦ τὰ διὰ τῶν ῥημάτων καὶ ἐννοιῶν καὶ πράξεων τότε, ἐν ὀδυνηρῷ

1) Ἐπάν· παρ' Εὐεργ. βιβλ. δ'. ὑπόθεσ. λη'. σελ. 129,

καὶ πικροτάτῳ μεταμέλῳ, ὀψόμεθα ἐντετυπωμένα καὶ ἐγγεγραμμένα τῇ μνήμῃ τῶν διανοιῶν ἡμῶν. Οὐαὶ ἡμῖν, ὅτι τοῦ ἀποστόλου ἀποφηναμένου: «Ὃς ἂν ἐσθίῃ τὸν ἄρτον, καὶ πίνῃ τὸ ποτήριον ἀναξίως τοῦ Κυρίου, κρῖμα ἑαυτῷ ἐσθίει καὶ πίνει, μὴ διακρίνων τὸ σῶμα τοῦ Κυρίου» (Α'. Κορινθ. ια'. 27, 26), ἡμεῖς πεφυρμένοι ταῖς ἡμῶν ἀκαθαρσίαις, πρόσιμεν τοῖς φοβεροῖς καὶ φρικτοῖς μυστηρίοις τοῦ Θεοῦ, συγγνώμην ἑαυτοῖς νέμοντες, ἐφ' οἷς ἐν φαντασίαις νυκτεριναῖς καὶ ἐν ῥυπαροῖς λογισμοῖς ἐπράξαμεν· ὁ γὰρ μήτε λογισμοῖς καθαροῖς, μήτε ὀφθαλμοῖς ἁγνοῖς, μήτε σώματι ἀδιαφθόρῳ, μήτε ὁρμαῖς ψυχῆς καὶ σώματος ἀμολύντοις προσεδρεύων Θεῷ, πόσοις ὑπεύθυνον ἑαυτὸν κατασκευάζει, πόνοις σαρκὸς καὶ ἀσθενείαις ψυχῆς, καὶ ὕστερον εἰς αἰώνιον κόλασιν καὶ αἰσχύνην ἀπέραντον; Οὐαί μοι, ὅτι δακρύων πικρῶς ταῦτα γράφω, μετάνοιαν δὲ ἔργου οὐκ ἠρξάμην. Οὐαί μοι, ὅτι ἀληθῆ λέγω, καλὰ δὲ οὐ πράττω. Οὐαί μοι, καλὰ παραινοῦντι καὶ κακὰ δρῶντι. Οὐαὶ τοῖς ἐν ἡδοναῖς ἁμαρτάνουσιν, ὅτι πικρὸν αὐτοὺς ὑποδέξεται τέλος μετὰ αἰσχύνης αἰωνίου. Οὐαὶ τοῖς λυπουμένοις, ἐπεὶ μηδεμία ὠφέλεια, ὅτι τῆς εἰς μετάνοιαν ἐπωφελοῦς λύπης ἑαυτοῖς ἀπεστέρησαν [1].

Ζ'. Οὐαὶ τοῖς λοιδόροις καὶ ὑβρισταῖς, ὅτι τῆς μακαρίας ἀγάπης ἑαυτοὺς ἀπηλλοτρίωσαν. Οὐαὶ τοῖς βασκάνοις καὶ φθονεροῖς, ὅτι ἀγαθότητος καὶ χρηστότητος Θεοῦ ξένους καὶ ἀλλοτρίους κατεσκεύασαν ἑαυτούς. Οὐαὶ τοῖς ἀνθρωπαρέσκοις, ὅτι τῷ Θεῷ ἀρέσαι οὐ δύνανται. Οὐαὶ τοῖς προσωπολήπταις, ὅτι τῆς ἀληθείας τοῦ Θεοῦ ἐκπεπτώκασιν. Οὐαὶ τοῖς ὑπερηφάνοις, ὅτι τοῦ ἀποστάτου διαβόλου τῆς μερίδος εἰσίν. Οὐαὶ τοῖς μὴ φοβουμένοις τὸν Κύριον, ὅτι διὰ τοῦτο πλείοσιν ἁμαρτίαις συμπλακήσονται, καὶ ἐνταῦθα κἀκεῖ [2] μαστιγωθήσονται. Οὐαὶ ἡμῖν, ὅτι ψύλλων καὶ κονίδων καὶ φθειρῶν καὶ μυῶν καὶ κωνώπων καὶ μελισσῶν τὰς δήξεις οὐχ ὑπομένομεν, καὶ περὶ τοῦ μεγάλου

---

1) Ἴσως διορθωτέον οὕτω τὸ χωρίον: «Οὐαὶ τοῖς λυπουμένοις ἐπὶ μηδεμιᾷ ὠφελείᾳ..... ἑαυτοὺς ἀπεστέρησαν.

2) Ἐν ταύτῃ καὶ ἐν τῇ ἄλλῃ ζωῇ.

στόματος τοῦ δράκοντος τοῦ δάκνοντος ἡμᾶς καὶ καταπίνοντος ὡς ἐν ροφήματι καὶ πᾶσι τοῖς ἰοβόλοις θανάτου κέντροις κατακεντοῦντος ἡμᾶς οὐδεμίαν βοήθειαν ἢ φυγὴν ἑαυτοῖς παρέχομεν [1]. Οὐαὶ ἡμῖν, ὅτι ἡδοναῖς καὶ πόνοις καὶ ἀνάγκαις, καὶ πάσαις ταῖς ἐν κόσμῳ ἀπάταις καταναλίσκει ἡμᾶς ὁ διάβολος, καὶ παύσασθαι τῶν κακῶν ἡμῶν οὐ βουλόμεθα. Οὐαὶ ἡμῖν, ὅτι, τῆς ἀποστασίας ἔτη πολλὰ κρατησάσης, καὶ ἐπὶ πλεῖον τῆς ὀρθοδόξου πίστεως ἀθετουμένης, οὐ δάκρυα, οὐ καρδίας πόνον, οὐκ ἀποχὴν τῶν καθημένων παθῶν ποιούμεθα, ἀλλὰ προστιθέαμεν ἁμαρτίας ἐφ' ἁμαρτίαις, ἵνα καὶ τῶν πονηρῶν ἡμῶν ἔργων καὶ τῆς ἀπιστίας ἐν τῷ ὁμοῦ ἀπολάβωμεν τὴν πικρὰν ἐν τῇ γεέννῃ αἰώνιον κόλασιν. Οὐαὶ ἡμῖν πρὸς τοῖς γραφεῖσι θρήνοις, ὅτι τῆς συντελείας τοῦ κόσμου φθάσαντες ἡμεῖς, μήτε μετανοήσαντες, μήτε κλαύσαντες ἐπὶ τῆς νεότητος ἡμῶν κακοῖς, προσεθήκαμεν τῷ γήρατι μείζονα καὶ ἀφόρητα κακὰ καὶ φορτικωτέρας ἁμαρτίας. Οὐαὶ ἡμῖν, ὅτι οὔτε τὰς φορτικωτέρας ἀλγηδόνας καὶ τὰς διαφόρους νόσους τοῦ σώματος αἰσχυνόμεθα, ἀλλ' ἐν ταῖς ἁμαρτίαις εὐρωστοῦμεν καὶ καταφρονητικῶς σὺν πολλῇ τῇ ἀκρασίᾳ καὶ ἀνέσει ἐκτρέφομεν τὰ μιαρὰ καὶ ἁμαρτωλὰ ἡμῶν σώματα. Οὐαὶ ἡμῖν, ὅτι, διὰ πυρὸς κοχλάζοντος καὶ ὑπὲρ τὰ τῆς θαλάσσης κύματα, δεῖ ἡμᾶς διελθεῖν, «ἵνα ἕκαστος ἡμῶν ἀπολάβῃ τὰ διὰ τοῦ σώματος ἕκαστος πρὸς ἃ ἔπραξεν, εἴτε ἀγαθὰ εἴτε κακὰ» (Β'. Κορινθ. ε'. 10). Οὐαὶ ἡμῖν ὅτι οὐκ ἐννοοῦμεν τὴν σκοτεινὴν ἐκείνην καὶ ἄϋλον πυρκαϊὰν καὶ τὴν αἰώνιον ἐκείνην [2], καὶ τὸν πικρὸν κλαυθμὸν καὶ βρυγμὸν τῶν ὀδόντων· ἀφαιρεῖται γὰρ ὁ Θεὸς τὸ φωτεινὸν τῆς φλογός, καὶ τὸ καυστικὸν καὶ σκοτεινὸν τοῦ πυρὸς ἀπονέμει τοῖς ἀσεβέσι καὶ ἁμαρτωλοῖς.

Η'. Οὐαί μοι, ταλαίπωρε ψυχή [3], ὅτι λύπη μοί ἐστι καὶ ἀδιάλειπτος ὀδύνη τῇ καρδίᾳ μου· ἐμαυτὸν γὰρ θρηνῶν ἐρῶ,

---

1) Εὐεργετην. βιβλ. α'. ὑπόθεσ. ε'. σελ. 17.

2) Ἴσως ὑπον. κόλασιν.

3) Εὐεργετην. βιβλ. β'. ὑπόθεσ. λβ'. σελ. 100.

ὅτι ἡ κακία τὴν σύνεσιν ἤλλαξε, τὴν ἀλήθειαν ἐκάλυψεν, ὁ θάνατος τῆς ζωῆς περιεγένετο, τὰ γήϊνα καὶ φθαρτὰ καὶ πρόσκαιρα, τῶν οὐρανίων καὶ ἀφθάρτων καὶ αἰωνίων ἀντάλλαγμα γέγονε, τὰ δὲ βδελυκτὰ καὶ μίσους ἄξια γλυκύτερα καὶ ἀγαπητὰ τῆς ἀληθινῆς ἀγάπης τοῦ Χριστοῦ καὶ τῆς σεμνότητος ἐφάνη, ἡ πλάνη τὴν ἀλήθειαν ἐξορίσασα ἐκ τῆς ψυχῆς μου, ἐξέβαλε λύπην ἀντὶ χαρᾶς, ἐξελεξάμην αἰσχύνην καὶ ὄνειδος ἀντὶ τῆς παρρησίας καὶ τῶν ἐπαίνων, προετίμησα τὴν πικρίαν ὑπὲρ τὴν γλυκύτητα, τὴν γῆν καὶ τὴν ἀσβόλην αὐτῆς ὑπὲρ τὸν οὐρανὸν καὶ τὴν βασιλείαν αὐτοῦ ἠγάπησα, τὸ σκότος τοῦ μισοκάλου ἐχθροῦ ἦλθεν εἰς τὴν καρδίαν μου καὶ ἠμαύρωσε τὸ φῶς τῆς γνώσεως ἀπὸ τῆς διανοίας μου. Οἴμοι, οἴμοι, ποῖαι τοῦ διαβόλου παγίδες κατέλαβόν με καὶ ὑποσκελίσασαι ἀπὸ τοσούτου ὕψους κατέρραξάν με; Τρέχων ἐξενευρίσθην, καὶ οἱ ἱδρῶτές μου εἰς μάτην ἐξέβησάν μοι. Τίς μὴ θρηνήσῃ με, τίς μὴ ἀποκλαύσῃ με πικρῶς τὸν ματαιοπονίαις συντριβέντα καὶ παρὰ τὸν λιμένα ναυαγήσαντα; «Ἐλεήσατέ με, ἐλεήσατέ με, ἐλεήσατέ με, ὦ φίλοι» (Ἰώβ, ιθ'. 21), καὶ ἐμπόνως ἱκετεύσατε τὸν ἀγαθὸν καὶ ἀνεξίκακον δεσπότην Χριστόν, εἴπως σπλαγχνισθεὶς ἀποσμήξει τὴν δεινοτάτην ἀχλὺν τοῦ μισοκάλου διαβόλου ἀπὸ τῆς διανοίας μου, καὶ θεάσομαι ἐν πόσῳ κατάκειμαι βορβόρῳ, καὶ δυνάμενος ἀναστῆναι οὐ βούλομαι, μήπως συνεσταλμένος μου ὢν ὁ καιρὸς πᾶσαν τὴν ἐλπίδα μου περιέκοψεν. Οὐκ ἔστιν ἄλγος ὑπὲρ τὸ ἄλγος μου, οὐδὲ πληγὴ κατὰ τὴν ἐμὴν πληγήν, οὐδὲ τοιαύτη ὀδύνη κατὰ τὴν ὀδύνην τῆς καρδίας μου: «Ὅτι αἱ ἀνομίαι μου ὑπερῆραν τὴν κεφαλήν μου» (Ψαλμ. λζ'. 5), αἱ τραυματίαι μου οὐ τραυματίαι ρομφαίας, οὐδὲ οἱ νεκροί μου νεκροὶ πολέμου, ἀλλὰ τὰ βέλη τοῦ ἐχθροῦ τὰ πεπυρωμένα «ἐνεπάγησάν μοι» (αὐτόθ. 3) καὶ ἐξετύφλωσαν τὸν ἔσω μου ἄνθρωπον. «Καὶ κατηνέχθην εἰς ἰλὺν βυθοῦ, καὶ οὐκ ἔστιν ὑπόστασις (Ψαλμ. ξη'. 3), φόβος, ὃν ἐφοβούμην ἦλθέ μοι (Ἰώβ, γ'. 25), «καὶ σκιὰ θανάτου ἐκάλυψέ με» (Ψαλμ. ξγ'. 20). Οἴμοι, ψυχή, ἀνάβλεψον καὶ ἴδε τὰ παρόντα, πρόσκαιρα, καὶ μετὰ μικρὸν μετὰ πικρίας καὶ ὀδύνης παρερχόμενα, καὶ τὰ ἐρχόμενα δεινό-

τερα. Κατανόησον, ὦ ψυχή, πόσων ἀγαθῶν καὶ ἐλπίδων ἐκπίπτεις καὶ ποταπῶν κολάσεων μετ' ὀλίγον κληρονόμος ἀδιάδοχος καὶ ἀπαράκλητος τυγχάνεις. Πρὸ τοῦ σκοτισθῆναι ἐπάνω τῆς κεφαλῆς σου τὸ φῶς, προκατάλαβε, καὶ πρόσελθε, καὶ πρόσπεσον, καὶ δεήθητι, καὶ ἱκέτευσον τὸν Δοτῆρα τοῦ ἀθανάτου φωτός, ἵνα σε ἐξέληται τῆς παμφάγου φλογός, καὶ τοῦ ἀφεγγοῦς σκότους, ὅτι Αὐτοῦ ἐστι τὸ συγχωρῆσαι ἁμαρτίας, καὶ χαρίσασθαι τὰ ἀγαθὰ τοῖς ἀναξίοις τοῦ ἐλέους αὐτοῦ ἡμῖν. Ὅτι Αὐτοῦ ἐστιν ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΤΕΛΟΣ ΤΩΝ ΛΟΓΩΝ.

# ΕΝΤΟΛΑΙ ΕΙΤΕ ΣΥΜΒΟΥΛΑΙ

# ΑΒΒΑ ΗΣΑΪΟΥ

## ΠΡΟΣ ΑΡΧΑΡΙΟΥΣ ΜΟΝΑΧΟΥΣ,

## ΟΥ ΑΙ ΔΕΗΣΕΙΣ ΦΥΛΑΤΤΕΙΕΝ ΗΜΑΣ. ΑΜΗΝ [1].

Ἀδελφὲ προσφιλέστατε, εἰ ἀπετάξω ἤδη τῷ ματαίῳ τούτῳ κόσμῳ [2] καὶ παρέδωκας τῷ Θεῷ σεαυτόν, ποιοῦ μεταμέλειαν τῶν ἁμαρτιῶν σου καὶ φύλαττε ὅ,τι προέθου, μὴ πρόσεχε δὲ τοῖς διαλογισμοῖς σου ἐπεὶ τὴν ψυχήν σου ἀνιῶσι καὶ λέγουσιν: Οὐδαμῶς ἀφέθησαν αἱ πρότεραί σου ἁμαρτίαι, φύλαττε δὲ τὰς ἐντολὰς ταύτας.

1. Φυλάττου μὴ συνεσθίειν γυναικὶ ἢ ἔχειν οἰκειότητα μετὰ παιδὸς ἢ συγκοιμᾶσθαι ἐφήβῳ ἐπὶ τῆς αὐτῆς ψιάθου. Ἀποδυόμενος δὲ τὸ ἱμάτιόν σου μὴ βλέπε τὸ σῶμά σου.

2. Ἐὰν ἀναγκασθῇς πιεῖν οἶνον, μὴ πίνε πλέον τριῶν σκύφων· φυλάττου μὴ λῦσαι διὰ φιλίαν τὴν ἐντολήν.

3. Μὴ τέλει τὰς ὡριαίας προσευχὰς ἀμελῶς, ἵνα μὴ ἐμπέσῃς εἰς χεῖρας τῶν ἐχθρῶν σου [3]. Φρόντισον, ὅσον δύνῃ, τῆς μελέτης τῶν ψαλμῶν, ὅτι τοῦτο φυλάξει σε ἀπὸ ἀκαθάρτου βίου.

4. Ἀγάπα τὸν κόπον καὶ τὴν θλῖψιν, ἵνα κουφίζωνται τὰ

---

1) Οἱ κανόνες οὗτοι τοῦ ἀββᾶ Ἡσαΐου ἐλήφθησαν ἐκ τῶν κθ΄. αὐτοῦ λόγων· περιλαμβάνουσι δὲ παραγγέλματα ἠθικὰ πρὸς ἐρημίτας καὶ κοινοβιάτας, εἶνε δὲ λίαν ὠφέλιμοι τοῖς ἐφιεμένοις τῆς τελειότητος. Αἱ ἐντολαὶ αὗται οὖσαι λατινιστὶ (Πατρ. Λατ. Migne τόμ. 103, σ. 417-434) μετηνέχθησαν εἰς τὴν ἑλληνικὴν παρὰ τοῦ ἐλλογιμωτάτου Κ. Ἰ. Φωκυλίδου.

2) Τὰ ἑπόμενα καὶ οἱ ἐφεξῆς κανόνες μέχρι τοῦ 15ου ἐλήφθησαν ἐκ τοῦ θ΄. λόγου «ἐντολαὶ τοῖς ἀποταξαμένοις». σελ. 63—66.

3) Μεγ. Ἀντων. καν. 6.

πάθη σου. Μὴ διαλογίζου τι ἐν οὐδενί, καὶ διατρίψεις περὶ στεναγμοὺς ὑπὲρ τῶν ἁμαρτιῶν σου.

5. Φυλάττου ἀπὸ τοῦ ψεύδους, ὅτι ἀπωθεῖ σε τοῦ φόβου τοῦ Κυρίου. Μὴ πᾶσιν ἀποκάλυπτε τὰς εὐεργεσίας σου [1], ἵνα μὴ αὐτὰς ἁρπάσῃ ὁ ἐχθρός σου.

6. Ἄνοιξον τὰς νόσους σου τοῖς πατράσιν, ἵνα τύχῃς βοηθείας τῇ συμβουλῇ αὐτῶν [2].

7. Βίασον σεαυτὸν εἰς τὸ ἐργόχειρόν σου, καὶ οἰκήσει ἐν σοὶ ὁ φόβος τοῦ Κυρίου [3].

8. Μὴ κρῖνε ἁμαρτάνοντα τὸν ἀδελφόν σου, μηδὲ καταφρόνει αὐτοῦ, ὅτι ἐμπεσεῖ εἰς χεῖρας τῶν ἐχθρῶν σου [4].

9. Μὴ ἔσο ἐριστικὸς πρὸς ἐμπέδωσιν τῶν λόγων σου, ἵνα μὴ ἐνοικήσωσί σοι κακά [5].

10. Ἀγάπα τὴν ταπεινοφροσύνην καὶ μὴ ἀναπαύου τῇ γνώμῃ σου. Ἐθιζέτω ἡ γλῶσσά σου λέγειν: Συγχώρησόν μοι, καὶ ἐπελεύσεταί σοι ἡ ταπεινοφροσύνη [6].

11. Καθεζόμενος ἐν τῷ κελλίῳ σου, φρόντιζε περὶ τριῶν, ἤτοι περὶ καρτερίας ἐν τῇ προσευχῇ, περὶ μελέτης τῶν ψαλμῶν καὶ περὶ ἐργοχείρου [7].

12. Διαλογίζου καθ' ἑαυτόν: Βεβαίως οὐ ζήσω ἐν τῷ κόσμῳ τούτῳ, εἰ μὴ ταύτῃ τῇ ἡμέρᾳ, καὶ ῥυσθήσῃ ἀπὸ τῆς ἁμαρτίας.

13. Μὴ ἔσο λαίμαργος, ἵνα μὴ ἀνανεωθῶσιν ἐν σοὶ αἱ πρότεραι ἁμαρτίαι. Μὴ ἀνιάτω σε ὁ κόπος, φρόντισον δὲ τῆς μελέτης τῶν ψαλμῶν, καὶ ἐλεύσεταί σοι ἀνάπαυσις παρὰ Θεοῦ.

14. Βίασον σεαυτὸν εἰς δάκρυα ἐν ταῖς προσευχαῖς, καὶ ὁ Θεὸς ἐλεήσει σε καὶ ἀπεκδύσει τὸν παλαιὸν ἄνθρωπον.

15. Μάθε, ὅτι ὁ κόπος, ἡ πτωχεία, ἡ ξενιτεία, ἡ θλῖψις καὶ ἡ σιωπὴ ἐπάγονται τὴν ταπεινοφροσύνην· ἡ δὲ ταπεινοφροσύνη

---

1) Αὐτόθι 34.
2) Πρβλ. Μεγ. Ἀντων. 41.
3) Αὐτόθι 58.
4) Αὐτόθι 59.
5) Αὐτόθι 62.
6) Αὐτόθι 64, 72.
7) Οἱ 11, 12, 13, 14, ὅμοιοί εἰσι πρὸς τοὺς 65, 66, 67, 68 τοῦ Μεγ. Ἀντων.

ἀφίησιν ἁπάσας τὰς ἁμαρτίας. Ἔστι δὲ ταπεινοφροσύνη τὸν ἄνθρωπον λογίζεσθαι ἑαυτὸν ἁμαρτωλὸν καὶ ἄδικον καὶ μὴ ἐμπεδοῦν τὸν ἑαυτοῦ λόγον, ἀφαιρεῖν τὴν ἐπιθυμίαν αὐτοῦ, πηγνύναι τοὺς ὀφθαλμοὺς κατὰ χθονός, βαστάζειν ὕβριν καὶ κόπον, μισεῖν τὴν τιμὴν καὶ ἀνάπαυσιν καὶ λέγειν ἐν παντί: Συγχώρησόν μοι· διὰ δὲ τῆς ταπεινοφροσύνης φυγαδεύονται οἱ ἐχθροί[1].

16. Ἔσο ἐνδελεχῶς στυγνός. Ἐὰν δὲ ἔλθωσι πρός σε ἀδελφοί ἔσο μετ' αὐτῶν φαιδρός, ἵνα ἐνοικήσῃ σοι ὁ φόβος τοῦ Θεοῦ[2].

17. Ὁδοιπορῶν μετὰ ἀδελφῶν, ἀποχώρει αὐτῶν, ἵνα δυνηθήσῃ σιωπᾶν, μηδὲ τρέπου τῇδε κἀκεῖ, ἀλλὰ μελέτα τοὺς ψαλμούς σου καὶ προσεύχου τῷ Θεῷ νοερῶς. Ὅπου δ' ἂν εἰσέλθῃς μὴ πολιτεύου μεγαλαύχως πρὸς τοὺς οἰκήτορας. Φύλαττε μετριοφροσύνην καὶ αἰδημοσύνην ἐν πᾶσι καὶ πρὸς τὰ ἔμπροσθέν σου παρατιθέμενα ἄκων ἔκτεινον τὴν χεῖρα[3].

18. Μὴ κοιμῶ μετ' ἄλλου ἐπὶ τῆς αὐτῆς στρωμνῆς. Προσεύχου πολὺ προτοῦ σε κατακλιθῆναι, ὅσον καὶ ἂν κεκοπιακὼς ᾖς ἀπὸ τῆς ὁδοιπορίας[4].

19. Μὴ ἐπίτρεψον τριβῆναι τὸ σῶμά σου ἐλαίῳ, εἰ μὴ διὰ βαρεῖαν νόσον[5].

20. Καθεζόμενος ἐν τραπέζῃ μετὰ ἀδελφῶν, μὴ ἔσθιε μεθ' ἡδονῆς, ἔκτεινον δὲ τὴν χεῖρα πρὸς τὰ ἔμπροσθέν σου μόνον. Ἔστωσαν δὲ τὰ γόνατά σου συνεπτυγμένα· μηδὲ ὕψου τὸ πρόσωπον πρὸς ἄλλον. Μὴ πίνε ὕδωρ ἀπλήστως, μήτε μετὰ ψόφου.

21. Ἐὰν βιασθῇς ἀποχρέμψασθαι, ὢν μετὰ ἀδελφῶν, ἐγέρθητι καὶ μακρὰν ῥῖψον αὐτῶν. Μὴ σκορδινῶ μεταξὺ ἀνθρώπων καὶ ἐάν σοι συμβῇ σκορδίνημα, μὴ χάσκε τῷ στόματί σου καὶ φεύξεται ἀπὸ σοῦ.

22. Μὴ ἄνοιγε τὸ στόμα σου πρὸς γέλωτα, τοῦτο γὰρ δη-

1) Μεγ. Ἀντων. 71.

2) Αἱ ἐφεξῆς ἐντολαὶ μέχρι τῆς 42ης ἐλήφθησαν ἐκ τοῦ γ'. λόγου «περὶ καταστάσεως ἀρχαρίων καὶ κελλιωτῶν» σελ. 6—14. Μ. Ἀντων. 74.

3) Αὐτόθι 75, 76.

4) Αὐτόθι 80.

5) Ἁγ. Παχωμίου καν. 92.

λοῖ ἔλλειψιν ἐν σοὶ φόβου Θεοῦ.

23. Μὴ ἐπιθύμει πράγματος ἀλλοτρίου. Ἐὰν δὲ ποιήσῃς βιβλίον, μὴ κόσμησον αὐτό, τοῦτό γε δηλοῖ τὸν πόθον σου.

24. Ἐὰν περί τι ἁμάρτῃς μὴ ἐρυθρία ἐξομολογῆσαι αὐτό, μηδὲ διὰ ψεύδους θελήσῃς ἀπολογηθῆναι, ἀλλὰ κλῖνον τὰ γόνατα καὶ ἐξομολογήθητι τὸ ἁμάρτημά σου, αἰτοῦ δὲ συγγνώμην καὶ ἀφεθήσεταί σοι.

25. Ἐάν τις ψεύσηται πρὸς σέ, μὴ ὀργίζου, ἀλλὰ λέγε: Συγχώρησόν μοι, οὐκ ἐπανέρχομαι.

26. Μὴ αἰσχύνου ἐρωτᾶν τὸν διδάσκαλόν σου.

27. Ἐάν τις κόψῃ τὴν θύραν τοῦ κελλίου σου, καθημένου σου καὶ σπουδάζοντος περὶ τὸ ἐργόχειρόν σου, ἄφες αὐτὸ καὶ φρόντισον τῆς ἀναπαύσεως αὐτοῦ.

28. Μὴ λάλει τινί, μηδὲ πρόσεχε τοῖς λόγοις τινὸς ἄνευ ὠφελείας.

29. Ἐὰν πέμψῃ σε ὁ διδάσκαλος εἰς πορείαν, ἐρώτα αὐτὸν πῶς κατευθυνθῇς καὶ ποίει κατὰ τὴν ἐντολὴν αὐτοῦ. Μὴ διάδιδε λόγους. Εἰ φυλάξεις τοὺς ὀφθαλμούς σου καὶ τὰ ὦτα οὐδαμῶς ἁμαρτήσῃ τῇ γλώσσῃ σου.

30. Κατοικῶν μετὰ ἀδελφοῦ, ἔσο μετ' αὐτοῦ ὡς ξένος, μηδὲ ἐπίταττε αὐτῷ τι, μηδὲ ἀνώτερον σεαυτὸν ποίει αὐτοῦ, μηδὲ μεγαλαύχως πολιτεύου αὐτῷ· ἐὰν δὲ ἐπιτάξῃ σοί τι, ὃ οὐ θέλεις, ἀπόσπασον τὴν θέλησίν σου καὶ μὴ λυπήσῃς αὐτόν, ἵνα μὴ ἀάποστῇ σου ἡ εἰρήνη. γίνωσκε δὲ ὅτι ὁ ὑπακούων μείζων τυγχάνει.

31. Ἐὰν συγκατοικῇς ἀδελφῷ καὶ εἴπῃ σοι: Ὄπτησον, εἰπέ: Τί θέλεις; Ἐὰν δὲ ἀφεθῇ σοι ἡ ἐκλογή, ὄπτησον τὸ προστυχὸν σὺν φόβῳ Θεοῦ.

32. Ἐγερθεὶς τοῦ ὕπνου, προσεύχου πρὶν ἐπιλαβέσθαι ἔργου τινός, καὶ μελέτα τὰ τοῦ Θεοῦ ῥήματα πρότερον· τότε δὲ ἐπιχείρει ἀόκνως τῷ ἔργῳ.

33. Φαιδρῶς ἐντύγχανε τῷ ξένῳ καὶ προσαγόρευε αὐτόν, ἵνα μὴ ἡ ἀποχώρησις ᾖ τοὐναντίον βλαβερά. Φυλάττου δὲ μὴ ἐρωτᾶν αὐτὸν ἀνωφελῆ ὡς πρῶτον ἐλθόντα πρὸς σέ, ἀλλὰ αἴτει αὐ-

τὸν προσεύξασθαι· καθεσθέντι δὲ εἰπέ: Πῶς ἔχεις, ἀδελφέ μου; καὶ δὸς αὐτῷ βιβλίον πρὸς τὸ ἀναγνῶναι. Εἰ δὲ ἀπειρηκὼς ἐστιν ἐκ τῆς ὁδοιπορίας, ἐπίτρεψον αὐτῷ ἀναπαυθῆναι καὶ τοὺς πόδας αὐτοῦ νίψον. Εἰ δὲ λαλεῖ κενὰ ῥήματα, εἰπὲ αὐτῷ μετ' ἀγάπης: Φείσθητί μου, ἀδελφέ, ὅτι ἀσθενής εἰμι καὶ οὐκ ἰσχύω ἀκοῦσαι ταῦτα. Εἰ δὲ τὰ ἱμάτια αὐτοῦ ἐστι διαλελυμένα, σύρραψον αὐτά. Εἰ δὲ ἀσθενής ἐστι καὶ τὰ ἱμάτια αὐτοῦ ῥυπαρά, πλῦνον αὐτά. Ἀλλ' ἐὰν ᾖ πλάνης, ὦσι δὲ ἅγιοι παρὰ σοί, μὴ ἐπίτρεψον ἐλθεῖν πρὸς αὐτούς, ἀλλὰ ποίει αὐτῷ ἔλεος καὶ ἀπόλυσον αὐτόν. Εἰ δ' ἐστὶ πτωχός, μὴ θλιβόμενον ἀπολύσῃς αὐτόν, ἀλλὰ δός αὐτῷ ὅ,τι ἐχαρίσατό σοι Κύριος.

34. Εἴ τις ἀδελφὸς κατέθετό τι παρὰ σοί, μὴ ἐρεύνα τὴν παραθήκην, αὐτοῦ μὴ παρόντος.

35. Εἴ τις ἀφήσει σε ἐν τῷ κελλίῳ αὐτοῦ καὶ ἐξέλθῃ, μὴ ἔγειρε τοὺς ὀφθαλμοὺς ἰδεῖν τί ἐστιν ἐν αὐτῷ, ἀλλ' εἰπὲ αὐτῷ ἐξερχομένῳ: Δός μοι ἔργον, ἵνα ἐπιμεληθῶ αὐτοῦ ἄχρις ἂν ἐπανέλθῃς, ὅ,τι δήποτε δὲ ἐπιτάξῃ σοι ἐπιμελῶς ἐπιτέλει.

36. Μὴ προσεύχου νωθρῶς καὶ ἀμελῶς· ἀντὶ γὰρ εὐαρεστῆσαι τῷ Θεῷ, προκαλέσεις αὐτὸν εἰς ὀργήν· ἀλλὰ στῆθι σὺν φόβῳ καὶ τρόμῳ καὶ μὴ ἐπερείδου τῷ τοίχῳ, μηδὲ χαυνώσῃς τοὺς πόδας, ὥστε τῷ ἑνὶ ἵστασθαι καὶ τὸν ἕτερον ἐκτείνειν. Ἐναντιοῦ τοῖς λογισμοῖς σου καὶ μὴ ἐπιτρέψῃς αὐτοῖς μεριμνᾶν περὶ σαρκικῶν, ἵνα εὐσπρόσδεκτος ᾖ τῷ Θεῷ ἡ προσευχή σου.

37. Εἰ δὲ εἶς παρὼν ἐν λειτουργίᾳ, φύλαττε τοὺς διαλογισμούς σου καὶ τὰς αἰσθήσεις καὶ στῆθι μετὰ φόβου ἔμπροσθεν τοῦ ὑψίστου Θεοῦ, ἵνα ἀξιωθῇς λαβεῖν τὸ σῶμα τοῦ Κυρίου καὶ τὸ αἷμα αὐτοῦ καὶ θεραπεῦσαι τὰ πάθη σου.

38. Νέος ὤν, μὴ περιβάλλου ἀγαθὴν ἐσθῆτα, ἄχρις ἂν ἔλθῃς ἐπί τὸ γῆρας.

39. Πορευόμενος μετὰ πρεσβυτέρου σου, μὴ προηγοῦ αὐτοῦ. Ἐὰν ἀναστῇ πρεσβύτερός σου λαλῆσαι ἄλλοις, μὴ ποιοῦ αὐτὸν περὶ μικροῦ καὶ μείνῃς καθεζόμενος, ἀλλ' ἵστασο μετ' αὐτοῦ ἄχρις ἂν ἐπιτάξῃ σοι καθῆσαι.

40. Εἰσερχόμενος εἰς πόλιν ἢ πόλισμα, κατὰ χθονὸς ἔχε τοὺς

ὀφθαλμούς, ἵνα μὴ τὰ ὁρώμενα γένωνταί σοι ἀγῶνος αἰτία ἐν τῷ κελλίῳ σου.

41. Μὴ κοιμῶ ἐν τόπῳ, ἐν ᾧ φοβεῖ ἁμαρτῆσαι τῇ καρδίᾳ. Μὴ ἔσθιε μετὰ γυναικός, μηδὲ ἴδῃς τὰ ἱμάτια αὐτῆς, εἰ δύνῃ.

42. Πορευόμενος μετὰ γέροντος, μὴ ἐπίτρεψον αὐτὸν βαστάσαι τι. Εἰ δ' ἐστὲ νέοι, βασταζέτω ἕκαστος μέρος. Ἐὰν δὲ ᾖ μέτριον, βασταζέτω ἕκαστος αὐτὸ καθ' ὥραν, προηγείσθω δὲ ὁ βαστάζων καὶ προπορευέτω ὁ ἀσθενής, ἵνα, ἐὰν καθήσῃ ἀπειρηκὼς πρὸς τὸ ἀναπαυθῆναι, συγκαθήσῃς αὐτῷ.

43. Ἐρωτῶν γέροντα περὶ τῶν διαλογισμῶν σου, ἀποκάλυψον αὐτούς, ὡς ἔχουσιν, αὐτῷ, ᾧ θαρρεῖς φυλάξαι τὰ μυστικά σου· μηδὲ προφασίζου τὸ προβεβηκὸς τῆς ἡλικίας, ἀλλ' ὅτι ἰσχύει τῇ διδασκαλίᾳ, τοῖς ἔργοις καὶ τῇ πνευματικῇ πείρᾳ, ὅπως μὴ ζημιωθῇς, ἐὰν αὐξηθῶσι τὰ πάθη σου [1].

44. Σπούδασον πλεῖστον προσεύχεσθαι νυκτός, ἵνα φωτισθῇ ὁ νοῦς σου. Σκόπει τὰ ἁμαρτήματά σου καὶ ἱκέτευσον τὸν Θεὸν ὑπὲρ αὐτῶν, οὗτος δὲ φεισθήσεταί σου.

45. Εἴ τις βούλεται, σοῦ παρόντος, τὸν ἀδελφὸν αὐτοῦ κρῖναι, καὶ εἰ ὁ καταγινωσκόμενός ἐστιν ἐξ ἐκείνων, οἵτινες κρίνουσί σε, εἰπὲ αὐτῷ μετὰ ταπεινοφροσύνης: Φείσθητί μου, ἀδελφέ, ὅτι ἁμαρτωλὸς καὶ ἀσθενής εἰμι καὶ ὑπόκειμαι οἷς λέγεις· διὸ δὴ οὐ δύναμαι ταῦτα ἀκούειν.

46. Προτίμα τοὺς ἀδελφούς σου ἐν πᾶσιν· ἐὰν δὲ φίλος παράσχῃ σοι τιμάς, εἰπέ: Ὑμῶν ἕνεκα ταύτας παρέσχε μοι τὰς τιμάς. μηδὲ γεύου τινὸς ἄνευ ἑταίρων.

47. Τῷ αἰτοῦντί σέ τι ἐπὶ ἐπιστροφῇ, μὴ ἀπαρνοῦ.

48. Μὴ διαλογίζου τῇ καρδίᾳ τὴν μνήμην ἐκείνων, ὧν ἀπέστης διὰ Θεοῦ ἀγάπην, ἀναμιμνήσκου δὲ τοῦ θανάτου καὶ τῆς καταδίκης καὶ ὅτι οὐδεὶς αὐτῶν δυνήσεται τῷ καιρῷ ἐκείνῳ βοηθῆσαί σοι.

49. Ἐάν, καθεζόμενος ἐν τῷ κελλίῳ σου, ἀναμνησθῇς τινος

---

1) Αἱ ἐντεῦθεν μέχρι τέλους ἐντολαὶ ἐλήφθησαν ἐκ τοῦ δ'. λόγου «περὶ συνειδήσεως τῶν καθημένων ἐν τοῖς κελλίοις» σελ. 15—21.

κακὰ ποιήσαντός σοι, ἐγέρθητι παραυτίκα καὶ δέου τῷ Θεῷ ὑπὲρ αὐτοῦ ἐν τῇ καρδίᾳ σου, ἵνα φεισθῇ αὐτοῦ ὁ Θεός· οὕτω γὰρ τὸ πάθος, ὃ πάσχεις, ἕνεκα αὐτοῦ, ἀφανίζεται.

50. Εἰ βούλει Θεοῦ σῶμα λαβεῖν, φυλάττου μὴ εἰσελθεῖν ἐν τῇ καρδίᾳ σου ὀργὴν ἢ μῖσος κατά τινος. εἰ δὲ γινώσκεις τινὰ κατὰ σοῦ κεχολωμένον, αἰτοῦ αὐτὸν πρότερον συγγνώμην, καθάπερ ἐνετείλατο ὁ Κύριος ἡμῶν (Ματθ. ε'.).

51. Εἰ πολεμεῖ σε ἀσέλγεια νυκτός, φυλάττου μὴ ἀναλαβεῖν τὴν ὅρασιν ἐκείνην μεθ' ἡμέραν, ἵνα μὴ καταμιανθῇ ἡδονῇ ἡ καρδία σου, ἀλλὰ πρόσπιπτε ἔμπροσθεν τοῦ Θεοῦ καὶ οὗτος ἐλεήσει σε, γινώσκει γὰρ τὴν ἀσθένειαν τῶν ἀνθρώπων.

52. Εἰ φροντίζεις ὑπερβαλλόντως περὶ νηστείας καὶ ἐνδελεχοῦς προσευχῆς, μὴ θάρρει, ὅτι σώσουσί σε ταῦτα, ἀλλ' ἔλπιζε ὅτι ὁ Θεὸς ἐλεήσει τὴν θλῖψιν τοῦ σώματός σου καὶ βοηθήσει τῇ ἀσθενείᾳ σου.

53. Ἐὰν ληφθῇς νόσῳ, μὴ ἄχθου καὶ ἐκλίπῃ σε τὸ πνεῦμα, ἀλλὰ χάριτας τῷ Θεῷ ὁμολόγει, ὅτι φροντίζει τῆς ὠφελείας σου.

54. Κατοικῶν ἐν τῷ κελλίῳ σου, τάξον ὡρισμένον τῇ τροφῇ σου μέτρον καὶ χρόνον τακτόν, μηδὲ παραλίπῃς τοῦτο· δίδου δὲ τῷ σώματι ὅσον δεῖται, ἵνα ἰσχύῃ προσεύχεσθαι καὶ θεραπεύειν τὸν Θεόν. Ἐὰν δὲ προσενεχθῇ σοι, ἐκτὸς τοῦ κελλίου σου, ἡδυπαθὴς τροφή, μὴ λάμβανε κατὰ κόρον ἐξ αὐτῆς, ἵνα ταχέως δυνηθῇς ἐπανελθεῖν εἰς τὸ κελλίον σου.

55. Ἐὰν σπείρωσιν ἐν σοὶ οἱ δαίμονες κόπον, ὃν οὐ δύνῃ φέρειν, μὴ δέχου, ἐπεὶ ἀσχολοῦσι τὴν καρδίαν τοῦ ἀνθρώπου τοιούτοις πράγμασιν, ὧν οὐ δύναται περιγενέσθαι, ἵνα κόρῳ αὐτὸν περιβάλωσι καὶ φενακίσωσι. Πάντα δήπου τὰ ἔργα αὐτῶν ἄνευ μέτρου εἰσὶ καὶ ἄνευ τάξεως.

56. Ἅπαξ ἔσθιε τῆς ἡμέρας [1], καὶ μὴ κατὰ κόρον. Δίδου τῷ σώματι, ὅσον δεῖται, κατὰ τὴν ἀπαίτησιν τῆς φύσεως.

57. Τάξον τὸ ἥμισυ τῆς νυκτὸς πρὸς τὸ ἀγρυπνεῖν ἐν προσευχῇ, τὸ δ' ἕτερον ἥμισυ πρὸς τοῦ σώματός σου ἀνάπαυσιν.

---

1) Μεγ. Ἀντων. 3.

Πρὸ τοῦ σε κατακλιθῆναι ἀγρύπνει ἐπὶ δύο ὥρας ἐν προσευχῇ καὶ ἐν ὕμνοις, εἶτα δὲ δὸς τῷ σώματί σου ἀνάπαυσιν. Εἰ κατοκνεῖ τὸ σῶμά σου, ὅτε δεῖ ἐγείρεσθαι πρὸς προσευχήν, εἰπὲ αὐτῷ : Θέλεις τυχεῖν ἐν τούτῳ τῷ χρόνῳ ἀναπαύσεως, εἶτα δ' ἀπελθεῖν εἰς τὴν μακρὰν τιμωρίαν; Οὐκ ἔστι κρεῖττον μικρόν σε ἐνταῦθα ἐργασθῆναι, εἶτα δὲ μετὰ τῶν ἁγίων ἐκεῖ εἰς αἰῶνα ἀναπαυθῆναι; Τότε γὰρ φεύγει παραχρῆμα ἀπὸ σοῦ ἡ νωθρεία, ἐλεύσεται δὲ σοι ἡ θεία βοήθεια.

58. Ἀσπαζόμενος τὸ μοναχικὸν στάδιον, ἀπελευθέρωσον τὸν δοῦλόν σου· ἐὰν δὲ θελήσῃ γενέσθαι μοναχός, μὴ ἐπίτρεψον αὐτῷ συγκατοικῆσαί σοι.

59. Ἀπερχόμενος πρὸς τὸ πωλῆσαι τὸ ἐργόχειρόν σου, μὴ ἔριζε περὶ τῆς τιμῆς, ὡς οἱ κοσμικοί. Τὸ αὐτὸ ἐπιτελέσεις, ἀγοράζων τι. Γίνωσκε ὅτι ἔνδεια πραγμάτων προσοικειοῖ σε τῷ Θεῷ.

60. Ἐὰν ἀδελφὸς καταθῇ παρὰ σοὶ σκεῦος καὶ ἔχῃς ἀνάγκην αὐτοῦ, μὴ ἅπτου αὐτοῦ εἰ μὴ τῇ ἀδείᾳ αὐτοῦ.

61. Ἐὰν ἀδελφὸς αἰτήσῃ, ἵνα ἀγοράσῃς τι αὐτῷ περιοδεύων, ποίησον. Ἐὰν δὲ ὦσι μετὰ σοῦ ἀδελφοί, γενέσθω τοῦτο παρόντων αὐτῶν.

62. Ἐὰν ἐδόθη τί σοι ἐπὶ ἐπιστροφῇ, ἀπόδος χρησάμενος αὐτῷ· μὴ κρατήσῃς δ' αὐτὸ ἄχρις ἂν αἰτηθῇ· θραυσθὲν δέ τι αὐτοῦ ἐπισκεύασον. Ἐάν τι ἔδωκάς τινι ἐπὶ ἐπιστροφῇ, μὴ ἀπαίτει αὐτὸ βλέπων μὴ δύνασθαι αὐτὸν ἀποδοῦναι, μάλιστα δὲ εἰ μὴ ἔχεις ἀνάγκην αὐτοῦ.

63. Ἐὰν ἤδη ἐξῆλθες τοῦ κελλίου σου, εἶτα δὲ ἀπαιτεῖς αὐτό, εὕρῃς δὲ ἀδελφὸν οἰκοῦντα ἐν αὐτῷ, ζήτει σεαυτῷ ἕτερον· φυλάττου δὲ μὴ ἐκβαλεῖν αὐτόν, ἵνα μὴ ὀργισθῇ ἐναντίον σου ὁ Θεός. Οἰκείᾳ δὲ θέλοντος βουλήσει αὐτοῦ καταλιπεῖν αὐτό, ἤδη ἐδικαιώθης· εἰ δ' ἔλαβε σκεῦος ἐξ αὐτοῦ, μὴ ζήτει αὐτὸ παρ' αὐτοῦ.

64. Εἰ θέλεις ἀπελθεῖν ἐκ κελλίου, φυλάττου μὴ ἀποκομίσαι τι ἐξ αὐτοῦ, ἀλλὰ ἄφες αὐτὸ ἀδελφῷ πτωχῷ καὶ ὁ Θεὸς ἐπιδαψιλεύεταί σοι ὅπου ἂν ἀπέλθῃς.

65. Ἐπ᾽ οὐδενὶ πράγματι ἀγάλλονται τόσον οἱ διάβολοι, ὅσον ἐπ᾽ ἐκείνῳ, ὅστις τοὺς διαλογισμοὺς αὐτοῦ κρύπτει τὸν πνευματικὸν αὐτοῦ διδάσκαλον. Μὴ λογίζου ἔσεσθαι ὅμοιον τοῖς Πατράσι, μὴ μιμούμενον τὸν κόπον αὐτῶν.

66. Φύλαττε σεαυτὸν ἀπὸ τοῦ πλούτου καὶ τῆς ἀγάπης αὐτοῦ, ἐπεὶ φθείρει τὸν καρπὸν τοῦ μοναχοῦ.

67. Εἰ πολεμεῖς κατὰ πειρασμοῦ καταθλίβοντός σε, μὴ παύου, ἀλλὰ πρόσπεσον ἔμπροσθεν τοῦ Θεοῦ καὶ εἰπέ: Βοηθὸς γενοῦ μοι, Κύριε, ἐπεὶ ἐγὼ ὁ ἀσθενὴς οὐκ ἰσχύω ὑπομεῖναι τὸν ἀγῶνα τοῦτον, οὗτος δὲ βοηθήσει σοι, ἐὰν προέλθῃ ἐξ εὐθείας καρδίας ἡ προσευχή σου. Ἀγωνισάμενος δὲ καὶ νικήσας, μὴ ἀλαζονεύου μηδὲ θάρρει· ἀλλὰ φυλάττου, ἐπειδὴ ὁ ἐχθρὸς ἀργαλεώτερον τοῦ προτέρου ἀγῶνα κατὰ σοῦ μηχανᾶται.

68. Δεόμενος τοῦ Θεοῦ, μὴ λέγε: Κύριε, ἐκποδὼν ποιοῦ τοῦτο καὶ χάρισαί μοι ἐκεῖνο, ἀλλ᾽ εἰπέ: Κύριε, Θεέ μου, γινώσκεις τί μᾶλλον ἐμοὶ ὠφελεῖ, ὅθεν δὴ βοήθει μοι καὶ μὴ ἐπίτρεψον, ἵνα ἁμαρτήσω περὶ σὲ καὶ ἀπολεσθῶ ἐν ταῖς ἁμαρτίαις μου, ὅτι εἰμὶ ἁμαρτωλὸς ἀσθενής, μηδὲ παραδῷς με τοῖς ἐχθροῖς μου, ἐπεὶ κατέφυγον ἐπὶ σέ· ἀπάλλαξόν με, Κύριε, ὅτι σὺ εἶ ἰσχύς μου καὶ ἐλπίς· σοὶ δ᾽ ἐστὶν ἡ δύναμις καὶ ἡ δόξα καὶ ἡ ἀγαθοεργία καὶ ἡ χάριτος ἀπόδοσις εἰς αἰῶνας· Ἀμήν.

*

# ΑΠΟΣΠΑΣΜΑΤΑ ΛΟΓΩΝ

# ΤΟΥ ΑΒΒΑ ΗΣΑΪΟΥ

***Ἐκ τοῦ ὑπ' ἀρ. 113ον κώδικος, αἰῶνος ΙΖ'. πατριαρχικῆς συλλογῆς.***

Τὰ ἐν τῷ κώδικι τούτῳ ἐπ' ὀνόματι τοῦ ἀββᾶ Ἡσαΐου φερόμενα ἀποσπάσματα, πλὴν τῶν τριῶν ὑπ' ἀρ. 127β, 128β καὶ 129α, ἀπαντώντων καὶ ἐν τῇ Φιλοκαλίᾳ, δὲν εἶνε, ὡς φαίνεται, ἔργα τοῦ ἀββᾶ τούτου. Τοῦτο καταφαίνεται ἔκ τε τῶν ἐννοιῶν καὶ τοῦ γλωσσικοῦ ἐνδύματος. Ἡ συλλογὴ αὕτη ἐγράφη κατὰ πᾶσαν πιθανότητα κατὰ τὸν δέκατον αἰῶνα, εἰ μὴ βραδύτερον, ὡς τοῦτο καταφαίνεται ἐκ τοῦ εἰς ώνω ρηματικοῦ τύπου, ὡς ζοφώνω, βορβορώνω, ὅστις ἤρξατο κρατῶν ἀπὸ τοῦ ἐνάτου αἰῶνος καὶ ἑξῆς.

Φύλ. 62β—63α. Εἶπεν ὁ ἀββᾶς Ἡσαΐας, ὥσπερ χάρτης γεγραμμένος λόγοις βαρβαρικοῖς, καὶ πινακίδιον ἔχον χαρακτῆρας ἀπρεπεῖς, εἰ θελήσει ὁ Κύριος ἀμφοτέρων[1] λόγους ἐνθεῖναι αὐτοῖς, οὐκ ἂν δυνηθείη γράψαι, ἐὰν μὴ[2] τὸν κηρὸν εὐφυῶς λειώσας καὶ τὰς βεβράνας ὕδασι καθαρίσας· οὕτω καὶ ὁ ἄνθρωπος, ὁ πολλαῖς ἁμαρτίαις περιπλακεὶς, καὶ τὸν χάρτην τῆς ψυχῆς καὶ τὸ πινακίδιον τῆς διανοίας ταῖς ἁμαρτίαις ἐγγράψας οὐκ ἂν δυνηθείη αὐτὰς ἀπαλεῖψαι, εἰ μὴ δι' ἐξαγγελίας καὶ ταπεινοφροσύνης. Χάρτης ἐστὶν ἡ καρδία, πινακίδιον ἡ διάνοια, γραφεῖον(;), ἐν ᾧ λειοῦται ὁ κηρὸς, ἡ ἐξαγγελία, ὕδωρ τὸ δάκρυον, κύριος ἀμφοτέρων ἡ ψυχὴ καὶ ὁ ἡγεμονικὸς νοῦς.

Ὁ αὐτὸς εἶπεν, ὥσπερ ἄρρωστος πολλοῖς πόνοις καὶ ἀρρωστίαις περισφιγγόμενος, καὶ ὑπὸ τῶν ἀναζεουσῶν φλυκτίδων καὶ τῶν πόνων ὀδυνώμενος, τὸν δὲ ἰατρὸν ἐντρεπόμενος, καὶ τὰ τραύματα αὐτοῦ καλύπτων, ἑαυτῷ μὲν βλάβην, καὶ πόνον, καὶ ὀδύνην παρέχει· οὕτω καὶ ὁ ἁμαρτήσας, ὑπὸ τοῦ ἰδίου συνειδότος νυσσόμενος, καὶ κεντούμενος, καὶ ὀδυνώμενος ὑπομένει, μὴ θέλων φανεροποιῆσαι τὰ ψυχικὰ αὐτοῦ τραύματα τῷ ἀββᾷ. Καὶ ὥσπερ ἄρρωστος ὑπὸ τῆς τραυμάτων δυσω-

1) Ἴσως, ἀμφοτέρους.
2) Ἀνανταπόδοτον μένει.

δίας καὶ ἰχώρων, σκώληκες ἕρπουσι καὶ κατεσθίουσι τὰς σεσηπυία σάρκας, τότε ἄκων καὶ μὴ βουλόμενος καὶ ὑπὸ τῶν ὀδυνῶν δριμυσσόμενος μετὰ κραυγῆς ἰσχυρᾶς τὸν ἰατρὸν ἐπιζητεῖ· τότε ὁ ἰατρὸς οἱ μόνον ἀλείμματα, ἀλλὰ καὶ ξηρίον, ἀλλὰ καὶ φλεβότομα, καὶ καυστῆρας προσάγει, οὕτω καὶ ὁ μοναχός, ἐὰν ἐκ παραχωρήσεως Θεοῦ εἰ ἁμαρτίαν περιπέσῃ, καὶ εὐθέως καὶ πάραυτα προσπεσὼν ἐξαγορεύσῃ καὶ ἐξαγγείλῃ τὸ πταῖσμα, ταχέως θεραπεύεται· πᾶσα γὰρ πληγὴ νεαρὰ καὶ πρόσφατος, εὐΐατρος, ἐὰν δὲ παλαιωθῇ δυσχερὴς καὶ ἀνίατος Ὁ γὰρ ἄρρωστός ἐστιν ὁ ἁμαρτήσας, καὶ πληγαὶ καὶ τραύματα, τὰ πάθη καὶ τὰ πτώματα τῆς ἁμαρτίας· ἰατρὸς ὁ ἡγούμενος, ἀλείμματα καὶ ξηρία, καὶ καυστῆρες, ἡ νηστεία καὶ ἀγρυπνία καὶ χαμαικοιτία.

Ὁ αὐτὸς εἶπεν, ὥσπερ νεκρὸς ἐν μνημείῳ ὑπὸ σκωλήκων βρώσκεται [1], καὶ πολλὴ δυσωδία ἐξ αὐτοῦ ἐξέρχεται, οὕτω καὶ ὁ μοναχός, ἁμαρτήσας καὶ μὴ ἐξαγγείλας, βρώσκεται ὑπὸ τῶν αἰσχρῶν καὶ φαύλων λογισμῶν. Καὶ ὥσπερ ἐκ τοῦ νεκροῦ ἐξέρχεται ὀσμὴ δυσωδίας, ὥστε συνάγεσθαι τὰ θηρία, ἐὰν δὲ σμυρνισθῇ τὸ σῶμα τοῦ νεκροῦ οὐχ ἅπτονται αὐτοῦ οἱ σκώληκες, οὐδὲ ὄσφρησις πονηρὰ ἐξ αὐτοῦ ἐξέρχεται, οὕτω καὶ ὁ ἐξαγγείλας· οὐχ ἅπτονται αὐτοῦ οἱ λογισμοὶ τῆς ἀπογνώσεως, καὶ τῆς ἀκηδίας καὶ λύπης. Μνημεῖόν ἐστι τὸ κελλίον, νεκρὸς ὁ μοναχὸς, ὁ νεκρωθεὶς τῷ κόσμῳ, σκώληκες οἱ λογισμοί, ἡ δυσώδης ὄσφρησις ἡ ὀξυχολία, θηρία ἡ ὀργή, καὶ ὁ θυμός, καὶ ἡ πικρία, ἡ σμύρνα ἡ τοὺς σκώληκας ἀποκτείνουσα καὶ τὴν δυσωδίαν διώκουσά ἐστιν ἡ ἐξαγγελία.

Ὁ αὐτὸς εἶπεν, ὥσπερ σμῖλαξ συμπλακεῖσα δένδρῳ ξηραίνει τὸν καρπὸν αὐτοῦ, καὶ ὥσπερ σκώληξ βιβρώσκει ξύλον, καὶ σὴς ἱμάτιον, καὶ ἰὸς σίδηρον, οὕτω καὶ ἡ ἁμαρτία τήκει καὶ μαραίνει τὸν μὴ ἐξαγγέλλοντα.

Εἶπεν ὁ ἀββᾶς Ἡσαΐας, ὅτι ὥσπερ τοξότης δόκιμος, καὶ θηρευτὴς εὐφυής, οὐ μόνον τὰ θηρία τὰ ἄγρια τοξεύει, ἀλλὰ καὶ τὰ πετεινὰ τὰ ἐν τῷ ἀέρι πετώμενα εὐχερῶς κατενέγκαι δύναται, οὕτω καὶ γυνή, γράμματα ἰδιοχείρως γράφουσα καὶ πρὸς ἄνδρας ἀποστέλλουσα, θηρευτὴς καὶ ἰξευτὴς ὑπάρχει. Καὶ ὁ μὲν θηρευτὴς τοξεύει ἄρκτους καὶ παρδάλεις, χοίρους, καὶ λύκους, θηρία ἄγρια καὶ ζῷα ἀτιθάσσευτα, καὶ τὰ βέλη πέμπει πρὸς ἅπερ θεωρεῖ, οὐ γὰρ ἰσχύει ἐπιλαβέσθαι τὰ πόρρωθεν αὐτοῦ νεμόμενα· γυνὴ δὲ γράφουσα, ψυχὰς λογικὰς πλουσίων καὶ πενήτων, ἀρχόντων καὶ ἀρχομένων, ἱερέων καὶ μοναζόντων

---

1) Γραπτέον, βιβρώσκεται, ὡς καὶ τὸ ἑπόμενον· κατωτέρω ἀπαντᾷ ἐν τῷ ἐνεργ. βιβρώσκει.

εὐφυῶς καὶ εὐθυβόλως τιτρώσκουσα καταβάλλει· ἔχει γὰρ τόξον τὸ μέλαν, καὶ βέλος τὸν κάλαμον, καὶ πτερὰ τὸν χάρτην, καὶ σίδηρον τοὺς λόγους. Ἡ τοιαύτη οὐ μόνον τοῖς ἐγγὺς καὶ πλησίον οἰκοῦσιν, ἀλλὰ καὶ τοὺς πόρρω καὶ μακρὰν οἰκοῦσι[1] διὰ γραμμάτων προσκαλεῖται.

Φύλλ. 64α—66α. Εἶπεν ὁ ἀββᾶς Ἡσαΐας, ὅτι ὅμοιοί εἰσιν ὅλοι οἱ ἅγιοι παραδείσῳ μεγάλῳ, ἔχοντι πᾶν δένδρον κάρπιμον εὐῶδη καὶ ἀρωματικὸν[2] διαφόρους καρποὺς ἐχόντων καὶ ὑπὸ ἑνὸς ὕδατος ἀρδευόμενον. Παράδεισός ἐστι τὸ μοναστήριον, δένδρα οἱ μονάζοντες, καρποὶ αἱ ἀρεταί, ὕδωρ ἡ χάρις τοῦ ἁγίου Πνεύματος· ἓν γὰρ Πνεῦμά ἐστι τὸ ἐνεργοῦν ἐν αὐτοῖς πᾶσιν, οἱ δὲ κόποι, καὶ ἐργασίαι, καὶ ἐγκράτεια, οὐχ ὅμοιαι· ἄλλως γὰρ ἡ ἐργασία τούτου τοῦ ἁγίου, καὶ ἄλλως ἡ τοῦ ἑτέρου.

Εἶπεν ὁ ἀββᾶς Ἡσαΐας, τίς μὴ θρηνήσῃ τῷ μοναχῷ, τῷ ραθύμῳ; τίς μὴ πενθήσῃ τῷ ἀμελεῖ; τίς μὴ κλαύσῃ τῷ ἀμελοῦντι τὴν ἑαυτοῦ σωτηρίαν; τίς μὴ στενάξῃ ἐπὶ τῷ δαπανῶντι τὰς ἡμέρας αὐτοῦ ἐν μετεωρισμοῖς; τίς μὴ ὀλολύξῃ ἐπὶ τῷ φιληδόνῳ; τίς μὴ δακρύσῃ ἐπὶ τῷ ἰδιορρύθμῳ καὶ τὰ ἴδια θελήματα ποιοῦντι; τάχα καὶ ὁ οὐρανὸς ἐστύγνασεν ἐπὶ τῇ τούτου ἀμελείᾳ καὶ ραθυμίᾳ καὶ οἱ ἄγγελοι ἐθρήνησαν ἐπὶ τῇ τούτου ἀπωλείᾳ. Ὁ γὰρ μὴ ἀγωνιζόμενος ἐνταῦθα τοῦ σῶσαι τὴν ἑαυτοῦ ψυχήν, τῆς ἐκεῖσε ἀτελευτήτου κολάσεως ἑαυτὸν προητοίμασεν.

Ὁ αὐτὸς εἶπεν, ἐὰν ἔλθωσιν ἀδελφοὶ πρὸς τὸ συνοικῆσαι μεθ' ὑμῶν, φυλάξωμεν ἑαυτοὺς ἀπαρρησιάστους· καὶ εἰ μὲν ἰδιόρρυθμοί εἰσιν, τὰ λυσιτελῆ συμβουλεύσωμεν, εἰ δὲ ὑπήκοοι καὶ εὐπειθεῖς πατρὶ καὶ οὐκ εἰσιν αὐτεξούσιοι, οὔτε ἰδιόρρυθμοι, ἀλλ' ὑπὸ τὸν ζυγὸν τοῦ Κυρίου καὶ ὑπήκοοι Χριστῷ καὶ τῷ ἑαυτῶν Πατρί, τιμητέον τοὺς τοιούτους, ὡς ἀθλητὰς καὶ πύκτας τῆς ἀληθείας, καὶ μάρτυρας τοῦ Χριστοῦ, καὶ ἀσφαλιστέον τοῦ μὴ συνδιαιτᾶσθαι τούτους, ἐν βρώσει ἢ πόσει ἢ ψαλμῳδίᾳ ἢ ὁμιλίᾳ, ἄνευ τῆς τοῦ πατρὸς αὐτῶν γνώμης,

---

1) Γραπτέον, τοὺς ἐγγὺς καὶ πλησίον οἰκοῦντας, ἀλλὰ καὶ τοὺς.....οἰκοῦντας.

2) Τεταραγμένον τὸ χωρίον. Ἴσως γραπτέον: εὐῶδες καὶ ἀρωματικόν· ἢ οὕτω: εὐῶδες καὶ ἀρωματικῷ (τῷ παραδείσῳ) διαφόρους καρποὺς ἔχοντι, καὶ ὑπὸ ἑνὸς ὕδατος ἀρδευομένῳ.

3) «Ἔλεγεν ὁ ἀββᾶς Ποιμήν, ὅτι εἶπεν ὁ ἀββᾶς Ἰωάννης (ὁ Κολοβὸς † 422) ὅτι οἱ ἅγιοι ἐοίκασι παραδείσῳ δένδρων διαφόρους καρποὺς ἐχόντων, καὶ ὑπὸ ἑνὸς ὕδατος ἀρδευομένου· ἄλλως γὰρ ἡ ἐργασία τούτου τοῦ ἁγίου, καὶ ἄλλως ἡ τοῦ ἑτέρου, ἀλλ' ἓν ἐστι τὸ ἐνεργοῦν ἐν πᾶσιν αὐτοῖς» (Σιναϊτ. μεμβρ. κῶδιξ 448 αἰῶνος ΙΑ'. Φύλλ. 57α). Τὸ ἀπόφθεγμα τοῦτο δὲν ἀπαντᾶται ἐν τοῖς Ἀποφθέγμασι τῶν Πατέρων (Πατρολ. Τόμ. 65. σελ. 204-220) ἐν τῇ ἐκδόσει τοῦ Κοτελλερίου.

καὶ βουλῆς, καὶ σκέψεως, καὶ ἐπιτροπῆς. Ὁ γὰρ λάθρα τοῦ πατρὸς αὐτῶν τούτοις συνεσθίων, ἢ ψάλλων, ἢ συμφιλιάζων, ἤ ἐρχόχειρον σμίγων, μύστης καὶ συγκοινωνός καὶ συμμέτοχος τῷ ἀφηνιαστῇ διαβόλῳ εὑρίσκεται ἐν ἡμέρᾳ καὶ ὥρᾳ κρίσεως. Ὡς γάρ, ἐπὶ ψυχῆς καὶ σώματος, ἀχώριστος ὁ τρόπος τῆς ἑνώσεως, ἕως ὥρας θανάτου, οὕτω καὶ ἡ πνευματικὴ ἕνωσις, καὶ ἀναδοχὴ τοῦ φοιτητοῦ καὶ διδασκάλου πρὸς τὸν καθηγητὴν καὶ πνευματικὸν διδάσκαλον. Καὶ ὥσπερ φονεὺς θανατοῦται, χωρίσας ψυχὴν ἐκ τοῦ σώματος, οὕτω καὶ τὸ κρῖμα, εἰς τοὺς διασπῶντας καὶ χωρίζοντας τοὺς ἀμελεστέρους τῶν ἀδελφῶν, ἐκ τῆς φρουρητικῆς σκέπης καὶ ἐπικουρίας τῶν πνευματικῶν γερόντων.

Εἶπεν ὁ ἀββᾶς Ἡσαΐας ὁ Θηβαῖος, ὅτι οὐκ ἔστι τὸ ἀπόλλον τοὺς μοναχοὺς ἐν τῇ γενεᾷ ταύτῃ, εἰ μὴ τὸ καταλαλεῖν καὶ κρίνειν ἀλλήλους. Ὁ γὰρ καταλαλῶν καὶ κρίνων τὸν πλησίον αὐτοῦ, Θεὸν ποιεῖ ἑαυτόν· τοῦτό ἐστι τὸ φοβερὸν, καὶ ἐξαίσιον, καὶ παράδοξον θαῦμα, ὅτι ὁ ἀχώρητος καὶ πληρόκοσμος, ὁ τὰ πάντα βαστάζων καὶ ὑπὸ μηδενὸς βασταζόμενος, ὁ τὰ πάντα περιέχων, ὑπὸ μηδενὸς δὲ περιεχόμενος, ὁ εἰς ὕδωρ περιπατῶν καὶ μὴ μολυνόμενος ποσί, καὶ εἰς πτέρυγας ἀνέμων καθήμενος, καὶ πεζεύων τὸν ἀέρα, ὡς βούλεται, εἰς τοὺς νεφροὺς τῶν ἀνθρώπων εἰσέρχεται καὶ ἐρευνᾷ τὰς καρδίας (Ψαλμ. ζ' 20), καὶ ψηλαφᾷ τοὺς λογισμούς, καὶ ἀνακρίνει τὰς διανοίας καὶ γινώσκει τὰς ἐνθυμήσεις αὐτῶν. Τὸ γὰρ παντέφορον, καὶ τῶν κρυφίων ἐποπτικὸν ὄμμα, τὸ ἄστεκτον καὶ φοβερὸν κράτος, «Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν καὶ ποιῶν αὐτὴν τρέμειν» (Ψαλμ. ργ'. 32), ὁ ἐπιτιμῶν τῇ θαλάσσῃ καὶ ξηραίνων αὐτήν, «ὁ ἁπτόμενος τῶν ὀρέων καὶ καπνίζειν αὐτὰ» (αὐτόθ. 32) καὶ ὡς φύλλα δένδρου τρέμειν τὴν κτίσιν, θεωρῶν τοὺς μοναχοὺς καταλαλοῦντας, καὶ κρίνοντας ἀλλήλους, θυμοῦται καὶ ὀργίζεται· ἀλλ' ἐπειδὴ ὥρισεν ἡμέραν, ἐν ᾗ μέλλει κρίνειν τὴν οἰκουμένην, τοὺς ἀντιθέους καὶ ἀντιχρίστους, οἵτινες προαρπάζουσι τὴν κρίσιν τοῦ Θεοῦ, καί, πρὸ τοῦ κρῖναι, κρίνουσι καί, πρὸ τοῦ ἐξετάσαι τὸν Θεόν, ἐξετάζουσιν, ἐξαιρέτως μέλλει ὁ δικαιοκρίτης, μετὰ τοῦ διαβόλου κατακρίνειν ὡς συμμύστας τούτου καὶ συμμετόχους.

Φύλλ. 67β—68α. Εἶπεν ὁ ἀββᾶς Ἡσαΐας, ὁ θέλων σωθῆναι ἀργολογίας παυσάσθω, ἀλήθειαν ἀγαπησάτω, καὶ καταλαλιὰν διωξάτω, ἐννοίας πονηρὰς ἀφ' ἑαυτοῦ ῥηξάτω, δόλον ἀπὸ καρδίας ἀπορριψάτω, εἰς ψεῦδος μὴ αὐλισθήτω, ἀλήθειαν λαλησάτω, ἀπὸ ὀξυχολίας φευγέτω, εἰς φθόνον καὶ ζῆλον ἑαυτὸν μὴ ἐκδότω, μνησικακίαν βδελυξάσθω, ἐπιθυμίας αἰσχρὰς καὶ ψυχοβλαβεῖς μὴ τερπέσθω[1], πτωχοὺς ἐλεεῖν μὴ

1) Ἐπιθυμίας. ...τερπέσθω, μᾶλλον, ἐπιθυμίαις.

παυσάσθω, νουνεχῶς καὶ νηφόντως τὰς θείας Γραφὰς μελετάτω, μετὰ προθυμίας τῇ ἀγρυπνίᾳ ἑαυτὸν ἐκδότω, ἀμερίμνως καὶ ἀπερισπάστως καὶ ἀνενοχλήτως κατὰ πᾶσαν ὥραν τὰς προσευχὰς Κυρίῳ τῷ Θεῷ ἀποδότω, ἐκ βάθους καρδίας στεναζέτω, τὸ ὄμμα εἰς οὐρανοὺς αἰρέτω, τὰς παρειὰς δάκρυσι πλυνέτω, τὸ πρόσωπον τυπτέτω, τὸ στῆθος κρουέτω. Καὶ ταῦτα μετὰ ταπεινοφροσύνης ποιείτω, ὅπως οἱ κόποι αὐτοῦ εὐπρόσδεκτοι τῷ Θεῷ γνωσθῶσι(;), καὶ ἐν βίβλῳ ζωῆς γραφῶσιν.

Εἶπε πάλιν, μὴ καταγελάσῃς τινά, ἐὰν ἴδῃς πταίοντα· μὴ κατακρίνῃς τὸν ὁμοιοπαθῆ σου ἄνθρωπον ὀλισθήσαντα, μηδὲ ἐξουδενώσῃς χλευάζων, καὶ ἀδιακρίτως φθεγγόμενος, ἃ μὴ προσήκει. Ἐὰν γὰρ σύ, ὁ γνῶσιν ἔχων καὶ λόγιος ὤν, καταγελᾷς καὶ κατακρίνῃς τὸν ἰδιώτην, μέλλεις καὶ σύ, οὐ μόνον ὑπὸ σοφῶν καὶ γραμματέων, ἀλλὰ καὶ ὑπὸ ἰδιωτῶν, καὶ γυναικῶν, καὶ παιδίων καταλαλεῖσθαι καὶ κατακρίνεσθαι, καὶ «ὃ δ' ἂν σπείρῃ ἄνθρωπος τοῦτο καὶ θερίσει» (Γαλάτ. στ΄. 7). Ἑκουσίως τὰ φαῦλα σπείροντες, καὶ ἑκουσίως τὰ κακὰ θερίζοντες, τὴν δικαιοκρισίαν τοῦ Θεοῦ θαυμάζειν ὀφείλομεν.

Εἶπε πάλιν, ἀρχὴ καταστροφῆς μοναχοῦ, ὁ γέλως καὶ ἡ ἀφοβία [1]. Ὅταν ἴδῃς σεαυτὸν ὑπὸ τοῦ γέλωτος κατακυριευόμενον, γίνωσκε σεαυτὸν εἰς βάθη κακῶν, καὶ πυθμένα ᾅδου καταντήσαντα. Ὁ γέλως τὸν μακαρισμὸν τοῦ Χριστοῦ ἔξω βάλλει, ὁ γέλως οὐκ οἰκοδομεῖ, ἀλλὰ καὶ τὰς ἀρετὰς οἰκοδομηθείσας ἐν τῇ ψυχῇ καταλύει, ὁ γέλως τὸ Πνεῦμα τὸ Ἅγιον λυπεῖ, ψυχῇ οὐκ ὠφελεῖ, σῶμα διαφθείρει, τὸν νοῦν σκοτίζει, τὴν διάνοιαν ζοφώνει, τὴν συνείδησιν βορβορώδη ποιεῖ, τὴν καρδίαν σκληρὰν καὶ πεπωρωμένην ποιεῖ, τὴν δὲ εὐχὴν ἀπρόσδεκτον. Ὁ γέλως τὰς ἀρετὰς ἐκδιώκει, καὶ τὰς κακίας εἰσάγει. Γελωποιὸς μοναχός, μεμισημένος ἀπὸ Θεοῦ, ἐβδελυγμένος ὑπ' ἀγγέλων, γυμνὸς ἀπὸ δικαιοσύνης, ζωῆς αἰωνίου ἐστερημένος, αἰσχύνην ἐνδεδυμένος· γελωτοποιὸς μοναχὸς θανάτῳ πικρῷ παραδιδόμενος καὶ εἰς γέενναν πυρὸς βοθρυζόμενος· γελωποιὸς μοναχός, παγὶς διαβόλου καὶ πέταυρος [2] θανάτου. Καὶ γὰρ ὁ γέλως τὸν φόβον τοῦ Θεοῦ ἐκδιώκει καὶ τὸν διάβολον εἰσοικίζει· γέλως ἐχθρὸς Θεοῦ καὶ δαιμόνων φίλος· γέλως σωφροσύνης ἐχθρός, καὶ δαιμόνων καὶ πορνείας φίλος, αἰσχύνη καὶ ὄνειδος τῷ κεκτημένῳ· γέλως βόθρος ἀπωλείας, καὶ γύμνωσις ἐξ ἀλη-

---

1) Ταῦτα εὑρίσκονται καὶ παρ' Ἐφραὶμ ἐν τῷ λόγῳ «Ὅτι οὐ δεῖ γελᾶν καὶ μετεωρίζεσθαι, ἀλλὰ κλαίειν καὶ πενθεῖν ἑαυτούς» σελ. ροστ΄.

2) Ἡ λέξις πέταυρος εἶνε συνήθως γένους οὐδετέρου (πέταυρον) καὶ σημαίνει τὴν μακρὰν σανίδα τοῦ ὀρνιθῶνος, ἐφ' ἧς κοιμῶνται αἱ ὄρνιθες, μεταφ. βάραθρον, ὄλεθρος, ὡς ἐν τῇ ἐκκλ. γλώσσῃ: Εἰς ᾅδου πέταυρον.

θείας· γέλως δαπάνη ψυχῶν καὶ σωμάτων πτῶσις. Τὸ γέλως[1] εἰρήνην βδελύσσεται, καὶ μάχαις ἐπιτέρπεται. Ὁ γελωποιὸς θάνατον ἐπιζητεῖ, καὶ ἀπώλειαν ἐπιποθεῖ, ἐν κακοῖς κολάζεται καὶ εἰς ἀπώλειαν ἀποπέμπεται. Γέλως ξίφος διαβόλου, καὶ ῥύπος τῷ κεκτημένῳ· γέλως ταραχὴ ἐκκλησίας καὶ αἰσχύνης προβλήτωρ: γέλως ἐχθρὸς δικαιοσύνης, καὶ μάχης φίλος· Τὸ γέλως ψόγον ἐπάγει, καὶ ἐξουδένωσιν φέρει· τὸ γέλως ψεύδους δημιουργός, καὶ ἀληθείας μυκτηρισμός· Γέλως ὁ γυμνοποιὸς τῶν ψυχῶν καὶ φθορεὺς τῶν αἰσθητηρίων· γέλως ἡ διηνεκὴς ἁμαρτία, καὶ ψυχῆς ἧλος πεπηγώς· γέλως ἡ ῥομφαία τοῦ διαβόλου, καὶ δρέπανον τῆς ἐρημιώσεως. Γελωποιὸς μοναχὸς αἰσθητὸς ἀρνὸς, καὶ νοητὸς λύκος. Γέλως Γραφῶν ἀγνωσία, καὶ ξίφος δίστομον, καὶ ὀργὴ ἀνυστέρητος, πῦρ καιόμενον, ῥημάτων ἀληθινῶν στρέβλωσις καὶ ἀδικίας αἵρεσις· γέλως τρόπωσις κακῶν, καὶ ὑπόνοια πονηρά· γέλως φλὸξ ἄσβεστος, καὶ ὀλέθριος τιμωρία· γέλως δίκτυον πολύπλοκον, καὶ ζωῆς ὑστέρησις· γέλως κόλασις δεινὴ καὶ λιμοῦ ἐπιφορά· γέλως ἠφανισμένη πολιτεία, ἡ θύρα τῆς ἀπωλείας, καὶ ἡ εἴσοδος τῆς πορνείας· γέλως λογισμῶν πονηρῶν ἀποθήκη, καὶ ἐννοιῶν αἰσχρῶν ἐνθήκη· τὸ γέλως οὐκ ἔχει μνήμην θανάτου, οὐδὲ μελέτην τῶν κολάσεων. Περίελε ἀφ' ἡμῶν, Κύριε, τὸν γέλωτα, καὶ δώρησαι ἡμῖν πένθος καὶ κλαυθμόν, ὃν ἐπιζητεῖς παρ' ἡμῶν· ὁ δὲ στενάζων καὶ σκυθρωπάζων, ἐπισπᾶται τὸ ἔλεος τοῦ Θεοῦ, ὁ δὲ γελοιάζων δέχεται τὸ οὐαί, παρὰ τοῦ ἀχράντου καὶ ἀφθάρτου καὶ ἀοράτου καὶ ζωοδότου Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ εἰπόντος: «Οὐαὶ οἱ γελῶντες, ὅτι πενθήσουσι καὶ κλαύσουσι (Λουκ. στ'. 25).

Φύλ. 124α—132α. Εἶπεν ὁ ἀββᾶς Ἡσαΐας, ῥίζα αἰσχρᾶς ἐπιθυμίας ἀνθρώπινος ἔπαινος[2], οὐχ ὅταν ἀκούσωμεν, ἀλλ' ὅταν αὐτὰ καταδεχώμεθα. Ἐπιθυμίαν γάρ, φησί τις, οὐ δύναται ἐκκόψαι, ἀλλὰ μὴ δολωθῆναι[3] τῇ ἐπιθυμίᾳ δύναται. οὐ γὰρ ἐκριζωταί ἐσμεν τῶν λογισμῶν, ἀλλ' ἀνταγωνισταί. Ὁ γὰρ συνηδόμενος τοῖς ἑαυτοῦ λογισμοῖς, καὶ ποιῶν τὸ ἴδιον θέλημα, οὐκ ὄψεται δόξαν Θεοῦ, οὐδὲ νικήσει πάθος τὸ οἱονδηποτοῦν, ἀλλ' ἔοικεν ἀνθρώπῳ διαζωμένῳ[4], καὶ περιπατοῦντι ὅλην τὴν ἡμέραν, καὶ ἐκ τοῦ ἰδίου κόπου μὴ προκόπτοντι· πάντοθεν γὰρ παγίδας, καὶ σκάνδαλα, τῷ τοιούτῳ οἱ νοητοὶ ἴξευταὶ καὶ

1) Ἡ λέξις γέλως οὖσα ἀρσενικοῦ γένους, ἀπαντᾷ ἐνταῦθα καὶ εἰς οὐδέτερον·

2) «Ὥσπερ καὶ σωφροσύνης ὁ περὶ κακίας ἔλεγχος· οὐχ ὅταν ἀκούωμεν» κ.τ.λ. Τοῦτο εὑρίσκεται καὶ παρὰ Μάρκῳ τῷ ἀσκητῇ «περὶ νόμου Πνευματικοῦ» κεφ 7ε' Φιλοκαλ. τ. α'. σελ. 59.

3) Μᾶλλον, δουλωθῆναι.

4) Μᾶλλον, διεζωσμένῳ.

θηρευταὶ δαίμονες ἐπιφέρουσιν, καὶ μανικώτερον τοῖς πειθομένοις αὐτοῖς ἐπιστρατεύουσι. Τὸ γὰρ θέλημα τοῦ ἀνθρώπου ἐστὶ τὸ ῥῖπτον αὐτὸν εἰς βόθρον καὶ παγίδα, καὶ εἰς κλιμακτῆρας παθῶν κινοῦντες [1] τὸν νοῦν. Ὁ γὰρ θέλων σωθῆναι, ὀφείλει πᾶσαν ὥραν κόπτειν τὸ ἑαυτοῦ θέλημα, οὐ μόνον πρὸς ἐνίους γέροντας, ἀλλὰ καὶ πρὸς τοὺς ἀρχαρίους, καὶ εἶναι ὡς τὸ ἄγαλμα, μήτε βλέπειν, μήτε ἀκούειν, μήτε λαλεῖν, ἀλλ' ἑαυτῷ προσέχειν, καὶ ἐν ἡσυχίᾳ, καὶ ἐν κρυπτῇ μελέτῃ προσομιλεῖν τῷ Θεῷ, καὶ κατὰ πᾶσαν ὥραν ἑαυτὸν μέμφεσθαι, ἀρεμβάστῳ λογισμῷ, καὶ ἀπεριέργῳ νοΐ, ἐν ἁπλῇ διαθέσει, ὡς ὑπὸ Θεοῦ ὁρώμενος, καὶ ἐρευνώμενος, καὶ ψηλαφώμενος, καὶ ἐνώπιον αὐτοῦ παριστάμενος: «Προωρόμην γὰρ τὸν Κύριον ἐνώπιόν μου διαπαντός· ὅτι ἐκ δεξιῶν μου ἐστίν, ἵνα μὴ σαλευθῶ» (Ψαλμ. ιε'. 8), καὶ τό: «Ὁ οὐρανός μου θρόνος, ἡ δὲ γῆ ὑποπόδιον τῶν ποδῶν μου» (Ἡσαΐας ξς'. 1)· ὃ γὰρ ποιήσει ἄνθρωπος, κἂν ἐν νυκτί, κἂν ἐν ἡμέρᾳ, ἀπὸ τὸ ἀκοίμητον καὶ ἀνύστακτον ὄμμα ὁρᾶται· οἱ γὰρ ὀφθαλμοὶ μυριονταπλασίονα [2] ἡλίου ἐπιβλέποντες ἐπὶ τὰ ἔργα τῶν ἀνθρώπων, κατὰ τὸ γεγραμμένον: «Ὁ συνιεὶς εἰς πάντα τὰ ἔργα αὐτῶν» (Ψαλμ. λβ'. 15). ἀλλὰ καὶ [3] ἅπερ οὐκ ἐπράξαμεν, κατὰ τὸ εἰρημένον: «Τὸ ἀκατέργαστόν μου εἶδον οἱ ὀφθαλμοί σου, καὶ ἐπὶ τὸ βιβλίον σου πάντες γραφήσονται» (Ψαλμ. ρλη'. 16). Ποῖος γάρ ἐστιν ὁ ἄνθρωπος ἐκεῖνος, ἀνθρώπους θεωρῶν ἱσταμένους καὶ πρὸς αὐτὸν ἱσταμένους ἀτενίζειν, καὶ ἁμαρτῆσαι τολμήσει, κἂν ἀναισχυντότερός ἐστι τοῦ κυνός; ἀλλ' ἐπειδὴ ἑαυτοὺς χλευάζομεν μὴ λογιζόμενοι, ὅτι ὁ Θεὸς πάντα ἐφορᾷ, καὶ τὰς καρδίας ἐρευνᾷ, καὶ νεφροὺς ἐμβατεύει, καὶ ὅτι ἔννοια ἀνθρώπου οὐ λανθάνει τὸν Θεόν· εἰ γὰρ ταῦτα ἐπιστεύομεν καὶ ἀληθῶς ἐγινώσκομεν, ὅτι αὐτὸς καὶ μόνος γινώσκει τὰ κρύφια τῆς καρδίας, οὐκ ἂν τὰ θελήματα ἡμῶν τὰ αἴσχιστα καὶ βλαβερὰ καὶ θεοστυγῆ ἠκολουθοῦμεν, καὶ ἐποιοῦμεν, ἀλλ' εἴχομεν ἑαυτοὺς μέμφεσθαι, καὶ ἑαυτοὺς κατακρίνειν, καὶ εὐτελίζειν. Ὁ γὰρ τὸ ἴδιον θέλημα ἀποπληρῶν, νοητῶς μὲν τῷ διαβόλῳ λατρεύει, αἰσθητῶς δὲ καὶ ἐν ὀφθαλμοῖς ἀνθρώπων δοκεῖ Θεῷ ἀρέσκειν, καὶ ὑπάρχει οὗτος νυκτερινὸς λύκος καὶ ἡμερινὸς ἀρνὸς «μόρφωσιν εὐσεβείας ἔχων, τὴν δὲ δύναμιν αὐτῆς ἠρνημένος (Β' Τιμοθ. γ'. 5).

Ὁ αὐτὸς εἶπεν, πλούσιος ὢν καὶ εὖ φρονῶν, κρύπτει ἔνδον τοῦ

---

1) Ἴσως ἐκ τῶν προηγουμένων ἐννοητέον· οἱ δαίμονες διότι ἐκ τῶν συμφραζομένων ἀπαιτεῖται, κινοῦν.

2) Ὁμαλώτερον, μυριοπλασίονα.

3) Νοητέον ἴσως τὸ ῥῆμα, βλέπουσι.

οἴκου τοὺς θησαυροὺς αὐτοῦ, θησαυρὸς γὰρ φανεὶς σπανίζεται καὶ ὑπὸ τῶν ἀρχόντων ἐπιβουλεύεται· οὕτω καὶ μοναχὸς ταπεινόφρων καὶ ἐνάρετος, κρύπτει τὰς ἑαυτοῦ ἀρετάς, καὶ οὐ ποιεῖ τὰ ἑαυτοῦ θελήματα, ἀλλὰ κατὰ πᾶσαν ὥραν ἑαυτὸν μέμφεται, καὶ ἑαυτὸν ἐν κρυπτῇ μελέτῃ ἐκβιάζει καὶ ἐκδίδει κατὰ τὸ γεγραμμένον: «Ἐθερμάνθη ἡ καρδία μου ἐντός μου, καὶ ἐν τῇ μελέτῃ μου ἐκκαυθήσεται πῦρ» (ψαλμ. λη'. 4). Ποῖον πῦρ; Ἄκουε τῆς Γραφῆς λεγούσης: «Ὁ γὰρ Θεὸς ἡμῶν πῦρ καταναλίσκον» (Ἑβρ. ιβ'. 29)· ὥσπερ γὰρ τὸ πῦρ τήκει κηρόν, καὶ ξηραίνει βόρβορον, οὕτω καὶ ἡ κρυπτὴ μελέτη τήκει τοὺς αἰσχροὺς λογισμούς, καὶ μαραίνει τὰ ψυχικὰ πάθη, καὶ φωτίζει τὸν νοῦν, καὶ λαμπρύνει τὴν διάνοιαν, καὶ χαροποιεῖ τὴν καρδίαν· ἡ γὰρ κρυπτὴ μελέτη τιτρώσκει δαίμονας, καὶ ἀπελαύνει πονηρὰς ἐννοίας. Ὁ γὰρ τὸν ἔσω ἄνθρωπον λαμπρύνων, καὶ τῇ κρυπτῇ μελέτῃ ἑαυτὸν καθοπλίζων, ἐνισχύεται ὑπὸ Θεοῦ, δυναμοῦται ὑπὸ ἀγγέλων, δοξάζεται ὑπὸ ἀνθρώπων. Ἡ γὰρ κρυπτὴ μελέτη, καὶ ἡ ἀνάγνωσις, οἶκός ἐστι ψυχῆς ἀπερέαστος[1] καὶ πύργος ἀσάλευτος, καὶ λιμὴν εὔδιος, ἀτάραχον καὶ ἀσάλευτον τὴν ψυχὴν διασώζων. Πολλὰ γὰρ ταράσσονται καὶ θορυβοῦνται οἱ δαίμονες, ὅτε ὁ μοναχὸς ἐξοπλίζει ἑαυτὸν τῇ κρυπτῇ μελέτῃ, καὶ τῇ κρυπτῇ ἀναγνώσει. Ἡ κρυπτὴ μελέτη ἐστὶν ἔσοπτρον τοῦ νοὸς καὶ λύχνος τῆς συνειδήσεως· ἡ κρυπτὴ μελέτη τήκει τὴν πορνείαν, μαραίνει τὸν θυμόν, διώκει τὴν ὀργήν, ἐλαύνει τὴν πορνείαν καὶ τὴν πικρίαν, φυγαδεύει τὴν ὀξυχολίαν, ἐξορίζει τὴν ἀδικίαν· ἡ κρυπτὴ μελέτη, λαμπρύνει τὸ ἡγεμονικὸν τοῦ νοός, φωτίζει τὴν συνείδησιν, φυγαδεύει τὴν ῥαθυμίαν· ἡ κρυπτὴ μελέτη, τίκτει τὴν κατάνυξιν, εἰσοικίζει τὸν φόβον τοῦ Θεοῦ, φέρει τὰ δάκρυα· ἡ κρυπτὴ μελέτη προξενεῖ τῷ μοναχῷ ταπεινοφροσύνην ἀνύπουλον, καὶ ἀγρυπνίαν εὐκατάνυκτον, καὶ προσευχὴν ἀθόλωτον· ἡ κρυπτὴ μελέτη, διώκει τοὺς αἰσχροὺς λογισμούς, μαστίζει δαίμονας, ἁγνίζει τὸ σῶμα· ἡ κρυπτὴ μελέτη μακροθυμίαν διδάσκει, ἐγκράτειαν μετέχει, γέενναν ὑπομιμνήσκει· ἡ κρυπτὴ μελέτη τὸν νοῦν ἀμετεώριστον φυλάττει, καὶ θάνατον ἐννοεῖν παρασκευάζει· ἡ κρυπτὴ μελέτη πάσης ἀγαθοεργίας μεμέστωται, καὶ πάσῃ ἀρετῇ κεκόσμηται, καὶ πάσης αἰσχρᾶς πράξεως πόρρω που καὶ μακρὰν ἀφέστηκεν.

Ὁ αὐτὸς εἶπεν, ὅτι πᾶς ὁ ποιῶν τὸ θέλημα αὐτοῦ οὐδὲν διαφέρει κτήνους· τὸ γὰρ κτῆνος, ὅταν πεινάσῃ τρώγει, καὶ ὅταν διψήσῃ πίνει, καὶ ὅταν νυστάξῃ κοιμᾶται. Ὁ γὰρ μοναχός, ὁ ποιῶν τὸ ἴδιον θέλημα, οὐχὶ ὑπὸ ἑνὸς δαίμονος πολεμεῖται καὶ ὀχλεῖται, ἀλλ' ὑπὸ πολ-

1) Μᾶλλον, ἀνεπηρέαστος.

λῶν παθῶν, καὶ ἀναριθμήτων δαιμόνων τιτρώσκεται· καὶ ὥσπερ οἶκος ἐξεστραμμένος, οὐχὶ εἷς ἄνθρωπος[1] εἰσέρχεται τοῦ κοπρίσαι καὶ ἐξουρίσαι, ἀλλὰ πολλοί, οὕτω καὶ τῷ μοναχῷ τῷ ἑπομένῳ τῷ ἰδίῳ θελήματι, καὶ ἰδιορρύθμῳ ὄντι, καταγώγιον γίνεται τῶν παθῶν, καὶ οἶκος τῶν αἰσχρῶν καὶ φαύλων λογισμῶν, καὶ ἐν μεγάλῳ πολέμῳ καὶ ταραχῇ καὶ ζάλῃ ἡ καρδία τοῦ τοιούτου ἐστίν : «Κύκλῳ γάρ αὐτοῦ οἱ ἀσεβεῖς δαίμονες περιπατοῦσι» (ψαλμ ια΄. 9), καὶ σχοινίοις ἐπιθυμιῶν πονηρῶν διατείνουσι παγίδα τοῖς ποσὶν αὐτοῦ, καὶ τὰ πονηρὰ πνεύματα εὐτρεπίζουσι τόξα καὶ βέλη, τιτρώσκοντες τὴν τούτου καρδίαν· ὃς μὲν τοξεύει τὸν ὀφθαλμὸν εἰς ἀκολασίαν, ἕτερος δαίμων τὴν ἀκοὴν τοξεύει, τοῦ ἡδέως ἀκούειν τὰ μὴ δέοντα, ἄλλος τὴν γλῶσσαν τοῦ τοιούτου πρὸς καταλαλιὰς καὶ ὀξυχολίας ὀξύνει, ἕτερος τὴν γαστέρα νύσσει πρὸς λαιμαργίαν, ἄλλος τὰς χεῖρας εἰς μαλακίαν κινεῖ, ἕτερος τοὺς πόδας εἰς κακίαν τρέχειν προτρέπεται, ἄλλος εἰς πορνείαν καὶ μοιχείαν τὸ σῶμα γαργαλίζει, ἕτερος εἰς ἀκηδίαν καὶ ὀκνίαν καὶ ῥαθυμίαν ὠθεῖ, ἄλλος εἰς λύπην καὶ πικρίαν καὶ θυμὸν καὶ ὀξυχολίαν διεγείρει, ἄλλος εἰς ἔριν καὶ ζῆλον καὶ φθόνον καὶ μάχας διασύρει, ἕτερος εἰς μῖσος καὶ μνησικακίαν διαβάλλει, ἄλλος εἰς ἀρίστους[2] καὶ δείπνους καὶ μερίμνας βιωτικὰς συμβουλεύει, ἕτερος εἰς ἱερωσύνην καὶ ἡγουμενίαν προτρέπει καὶ διεγείρει, ἄλλος εἰς ἐπίσκεψιν τῶν ἀδελφῶν καὶ συγγενῶν καὶ φίλων συμβουλεύει· καὶ ἵνα συντόμως εἴπω, οὐ παύονται οἱ δαίμονες τῷ ἰδιορρύθμῳ, καὶ φιλαύτῳ, καὶ ἀνυποτάκτῳ, πᾶσαν τέχνην καὶ ἐπίνοιαν καὶ μηχανήν, πολυτρόπως προκαλοῦντες, διδάσκοντες, ἀπειλοῦντες, ὑπομιμνήσκοντες, κολακεύοντες, ἕως ἂν ποιήσωσι τὸν τοιοῦτον κοσμόφρονα, καὶ ἐν μοναχοῖς μὲν τῷ σχήματι, ἐν δὲ τῷ κόσμῳ τῷ φρονήματι «μόρφωσιν εὐσεβείας» τοῦ μοναχικοῦ σχήματος ἔχοντα, τὴν δὲ δύναμιν καὶ ἐργασίαν τῆς ἀρετῆς ἐνώπιον τοῦ Θεοῦ μὴ κεκτημένον· καὶ εὑρίσκεται ὁ τοιοῦτος, ὡς δένδρον ἄκαρπον, φύλλοις κομῶν, καρπῶν δὲ ἀρετῶν δικαιοσύνης μὴ ἔχον. Ἡ γὰρ εὐχὴ τοῦ τοιούτου ὀκνίας πλήρης, καὶ ἡ προσευχὴ αὐτοῦ ῥαθυμίας μεμέστωται, καὶ ἡ μελέτη αὐτοῦ ἀκηδίας βρύει, καὶ ἡ ἀγρυπνία αὐτοῦ ὕπνῳ βεβαπτισμένη, καὶ ἡ νηστεία αὐτοῦ ἐκλελυμένη καὶ ὀλίγωρος· καὶ ὅτε μὲν μεγιστάνοις[3], καὶ πλουσίοις ὁμιλεῖ, νουνεχῶς καὶ νηφόντως διαλέγεται, ὅτε δὲ τῇ ἀναγνώσει προσέρχεται, τοὺς ὀφθαλμοὺς βεβάρηται καὶ τῷ ὕπνῳ συνέχεται, καὶ γόνυ κλίνας, ἡ διάνοια αὐτοῦ ἔξω ῥέμβεται, καὶ ἡ μὲν γλῶσσα προσεύχεται, ἡ δὲ καρδία αὐτοῦ ἐν τῇ χώρᾳ

---

1) Ὁ λόγος καθίσταται ὁμαλώτερος προστιθεμένου τοῦ οὗ (=ὅπου, ἐν ᾧ=οἴκῳ).
2) Μᾶλλον, ἄριστα.
3) Μεγιστᾶσι.

πελάζεται. Τῷ τοιούτῳ[1] πείθουσιν οἱ δαίμονες, ὅτι καλῶς πολιτεύεται καὶ ὅτι ἀρέσκει τῷ Θεῷ ἡ ἄσκησις αὐτοῦ καὶ ἡ ἐγκράτεια, καὶ ἰδοὺ ἀπηλλάγης τῆς τοῦ κοινοβίου ταραχῆς καὶ φροντίδος, καὶ τοῦ πλείστου καμάτου καὶ περισπασμοῦ, καὶ οὔτε κρίνεις, οὔτε καταλαλεῖς, οὔτε ταράσσεις, οὔτε ταράσσεσαι, οὔτε λυπεῖς, οὔτε λυπεῖσαι ὑπό τινος, οὔτε σκανδαλίζεις, οὔτε σκανδαλίζεσαι, ἐσθίεις τὰ ἀρέσκοντα καὶ πίνεις μετὰ ἡδύτητος, κοιμᾶσαι ἀμέριμνος, ἐγείρει ἀγόγγυστος, μετὰ ἀνέσεως ψάλλεις, πάντας τιμᾷς, πάντες τιμῶσί σε. Ταῦτα καὶ τὰ τοιαῦτα, καὶ τὰ τούτοις ὅμοια, εἰς τὴν καρδίαν τοῦ ἰδιορρύθμου, οἱ δαίμονες σπείρουσιν, ὅπως μὴ ἐάσωσιν αὐτὸν μετὰ μοναχῶν οἰκῆσαι.

Εἶπεν ὁ ἀββᾶς Ἡσαΐας, οὐδὲν οὕτω ταπεινοῖ τοὺς δαίμονας, καὶ ἐνισχύει τὴν ψυχήν, καὶ φωτίζει τὸν νοῦν, καὶ λαμπρύνει τὴν διάνοιαν, καὶ καθαρίζει τὴν καρδίαν ὡς τὸ ἐξαγγεῖλαι τοὺς λογισμούς, καὶ φανεροῦν τὰς ἐννοίας πνευματικοῖς πατράσιν· καὶ οὐδὲν οὕτω χαροποιεῖ τοὺς δαίμονας, καὶ σκοτίζει τὸν νοῦν, καὶ πωρώνει τὴν καρδίαν, καὶ ζοφώνει τὴν συνείδησιν, καὶ βορβορώνει τὴν διάνοιαν, ὡς τὸ ἀποκρύψαι τοὺς λογισμούς· Ὅτε γὰρ βουληθῇ ὁ μοναχὸς τοῦ ἐξαγγεῖλαι ἅπερ ἔπραξεν, καὶ φανεροποιῆσαι τοὺς αἰσχροὺς καὶ φαύλους λογισμούς, ταράσσονται οἱ δαίμονες, καὶ θορυβοῦνται, καὶ ἄρχονται σπείρειν εἰς τὴν καρδίαν τοῦ μοναχοῦ λογισμοὺς ἐντρεπτικούς, λέγοντες: οὗτος ὁ γέρων κρατεῖ καὶ νομίζει σε πνευματικὸν καὶ ἅγιον, ἁγνὸν καὶ σώφρονα καὶ καθαρὸν τῷ βίῳ, καὶ θέλεις ποιῆσαι σεαυτῷ ὄνειδος καὶ ἐξουδένωμα καὶ σκάνδαλον τῶν μοναχῶν; Οὐ λογίζει ὅτι θριαμβεῦσαί σε ἔχει, καὶ κωμῳδῆσαί σε; οὐ γὰρ φυλάττει μυστήριον· καὶ ὡς ἔτι τιμῶσί σε, καὶ ἔχουσί σε πάντες σοφόν, καὶ συνετὸν καὶ ἀγχίνουν, καὶ διακριτικόν, θέλεις γενέσθαι θρίαμβος καὶ κατάγελως τῶν μοναχῶν καὶ τῶν κοσμικῶν; ἄρτι μακροθύμησον τοῦ ἐξαγγεῖλαι τούτῳ· τί γὰρ βλάπτουσιν οἱ λογισμοί; τίς γάρ ἐστιν ὁ μὴ ἔχων λογισμούς; πῶς οὐ φοβεῖ τὸν Θεόν; Ταῦτα λέγουσιν οἱ δαίμονες, πρὸς τὸν θέλοντα ἐξαγγεῖλαι· οἴδασι γάρ, ὅτι ἄλλως οὐ προκόπτει ἡ ψυχή, εἰ μὴ ἐκ τοῦ φανεροῦν τοὺς λογισμούς, καὶ ἄλλως οὐ πτωματίζεται ὁ μοναχός, εἰ μὴ ἐκ τοῦ ἀποκρύπτειν τοὺς λογισμούς, καὶ τούτου χάριν τεχνάζονται, καὶ ἀγωνίζονται, ὅπως μὴ ἐξαγγεῖλαι[2].

Ὁ αὐτὸς εἶπε· πολλοὶ τῶν μοναχῶν καταλείψαντες γονεῖς, καὶ τέκνα, καὶ ἀδελφούς, καὶ φίλους, καὶ συγγενεῖς διὰ τὴν εἰς Χριστὸν ἀγάπην, παρὰ μὲν ἀνθρώποις ἔδοξαν εἶναι ἅγιοι, παρὰ δὲ τῷ καρδιο-

---

1) Μᾶλλον, τὸν τοιοῦτον.
2) Ἴσως γραπτέον, ἐξαγγείλῃ.

γνώστη Θεῷ ἐναγεῖς καὶ βέβηλοι, οὐ διὰ πορνείαν καὶ μοιχείαν, ἀλλὰ διὰ τὸ μὴ φυλάττειν καρδίαν ἀπὸ αἰσχροὺς λογισμούς, καὶ τὰ τῆς ψυχῆς αἰσθητήρια ἀπὸ συγκαταθέσεως πονηρῶν καὶ φαύλων ἐννοιῶν. Ὅτε γὰρ ἴδῃς μοναχὸν ἰδιόρρυθμον, τεκμαίρου τὸν τοιοῦτον εἶναι ἢ πνευματικὸν καὶ ἐνάρετον καὶ φιλόθεον, ἢ σαρκικὸν καὶ φιλάμαρτον καὶ φιλήδονον· χρὴ γὰρ τῷ μοναχῷ δι' ὅλων τῶν αἰσθήσεων ἐγκρατεύεσθαι, δι' ὁράσεως, δι' ἀκοῆς, ὀσφρήσεως, γλώσσης τε καὶ ἁφῆς, καὶ κοιλίας. Πρέπει γὰρ τῷ μοναχῷ δι' ὅλων τῶν αἰσθήσεων ἐγκρατεύεσθαι, ὥσπερ εἴρηται, καὶ παντὸς λογισμοῦ ἀνώτερον εἶναι, καὶ πάσης αἰσχρᾶς ἡδονῆς καὶ ἐπιθυμίας βλαβερᾶς μακρὰν ὑπάρχειν· οὐ μόνον γὰρ τὸ σῶμα χρεωστοῦμεν ἁγνὸν καὶ ἀμόλυντον ἀπὸ τῆς ἁμαρτίας τηρῆσαι, ἀλλὰ καὶ τὴν καρδίαν καὶ τὸν νοῦν καὶ τὴν διάνοιαν καὶ τὴν συνείδησιν. Καὶ γὰρ διπλοῦς ὁ ἄνθρωπος, ἐκ ψυχῆς καὶ σώματος, καὶ τούτου χάριν διπλῆν καὶ τὴν πάλην εἶναι χρή· οὐ γὰρ ἱκανὴ ὑπάρχει ἡ σωματικὴ ἡμῶν ἄσκησις πρὸς τὸ κτήσασθαι τὰς φιλοθέους ἀρετάς, ἀλλά γε πρὸ πάντων, ταπείνωσις ψυχῆς καὶ καρδίας συντριμμός, καὶ εὐχὴ ἐκτενής. «Ἐκ γὰρ τῆς καρδίας ἐξέρχονται λογισμοὶ πονηροί, φόνοι, μοιχεῖαι, πορνεῖαι, κλοπαί, ψευδομαρτυρίαι, βλασφημίαι» (Ματθ. ιε'. 18). Ἐὰν γὰρ τὸ σῶμα ἡμῶν φυλάξωμεν ἀμόλυντον, ἀπὸ συμπλοκῆς καὶ συναφείας γυναικός, ἡ δὲ καρδία ἡμῶν συγκατατίθεται τοῖς φαύλοις λογισμοῖς, οὐδὲν ὄφελος. Πανταχοῦ γὰρ ἡ θεία Γραφή [1], Παλαιά τε καὶ Νέα, περὶ τοῦ νοὸς τῆς καρδίας διαμαρτύρεται· πρῶτον ὁ μελῳδὸς Δαβὶδ βοᾷ: «Υἱοὶ ἀνθρώπων ἕως πότε βαρυκάρδιοι;» (Ψαλμ. δ'. 3), καὶ πάλιν: «Ἡ καρδία αὐτῶν ματαία» (Ψαλμ. ε'. 10). Περὶ δὲ τῶν τὰ μάταια λογιζομένων λέγει: «Εἶπε γὰρ ἐν καρδίᾳ αὐτοῦ· οὐ μὴ σαλευθῶ» (Ψαλμ. θ'. 27), καὶ πάλιν: «Εἶπε γὰρ ἐν καρδίᾳ αὐτοῦ· ἐπιλέλησται ὁ Θεὸς» (αὐτόθ. 31), ὁ αὐτὸς: «Χείλη δόλια ἐν καρδίᾳ, καὶ ἐν καρδίᾳ ἐλάλησε κακὰ» (Ψαλμ. ια'. 3) καὶ: «Εἶπεν (ἄφρων) ἐν τῇ καρδίᾳ αὐτοῦ· οὐκ ἔστι Θεὸς» (Ψαλμ. ιγ'. 1), καί: «Δῴη σοι Κύριος κατὰ τὴν καρδιαν σου» (Ψαλμ. ιθ'. 5), καὶ πάλιν: «Κακὰ δὲ ἐν ταῖς καρδίαις αὐτῶν. Δὸς αὐτοῖς, Κύριε, κατὰ τὰ ἔργα αὐτῶν» (Ψαλμ. κζ'. 3—4), καὶ τό: «Ἡ καρδία αὐτοῦ συνήγαγεν ἀνομίαν ἑαυτῷ» (Ψαλμ. μ'. 7), καὶ πάλιν: «Καὶ γὰρ ἐν καρδίᾳ ἀνομίαν ἐργάζεσθε ἐν τῇ γῇ» (ψαλμ. νζ'. 3), καί: «Τῷ στόματι αὐτῶν εὐλόγουν, τῇ δὲ καρδίᾳ αὐτῶν κατηρῶντο» (Ψαλμ. ξα'. 4), καί: «Εἶπαν ἐν τῇ καρδίᾳ αὐτῶν, αἱ συγγένειαι αὐτῶν ἐπὶ τὸ αὐτὸ» (Ψαλμ. ογ'. 8). Ἕτερος δὲ προφήτης λέγει: «Ὁ λαὸς οὗτος τοῖς χεί-

1) Φιλοκαλία Τόμ. α'. σελ. 20. κεφ. κγ'.

λεσί με τιμᾷ, ἡ δὲ καρδία αὐτοῦ πόρρω ἀπέχει ἀπ' ἐμοῦ» (Ἡσαΐας κθ'. 13), «ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου, καὶ τοῖς ὠσὶ βαρέως ἤκουσαν» (αὐτ. στ'. 10). Περὶ δὲ τῶν τὴν καρδίαν αὐτῶν ἁγνιζόντων καὶ ἀπὸ αἰσχρῶν λογισμῶν καθαριζόντων, λέγει αὐτὸς ὁ προφήτης: «Ἐξομολογήσομαι, Κύριε, ἐν ὅλῃ καρδίᾳ μου, (Ψαλμ. θ'. 2), καί: «Ἐδοκίμασας τὴν καρδίαν μου, ἐπεσκέψω νυκτὸς» (Ψαλμ. ιστ'. 3), καὶ τὰ ἑξῆς· καί: «Τὴν ἐπιθυμίαν τῆς καρδίας αὐτοῦ ἔδωκας αὐτῷ» (Ψαλμ. κ'. 3) καὶ πάλιν: «Τὴν ἀλήθειάν σου οὐκ ἔκρυψα ἐν τῇ καρδίᾳ μου» (Ψαλμ. λθ'. 11), καὶ τό: «Ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθὸν» (Ψαλμ. μδ'. 1), καί: «ἡ μελέτη τῆς καρδίας μου σύνεσις» (Ψαλμ. μη'. 4), καί: «Ἐκχέατε ἐνώπιον αὐτοῦ τὰς καρδίας ὑμῶν· ὅτι ὁ Θεὸς βοηθὸς ἡμῶν» (Ψαλμ. ξα'. 9), «ἑτοίμη ἡ καρδία μου ὁ Θεὸς» (Ψαλμ. ρζ'. 1), καί: «Γενηθήτω ἡ καρδία μου ἄμωμος ἐν τοῖς δικαιώμασί σου, ὅπως ἂν μὴ αἰσχυνθῶ· ἐκλείπει εἰς τὸ σωτήριόν σου ἡ ψυχή μου» (Ψαλμ. ριη'. 80—81), καὶ τό: «Ἐκέκραξα ἐνώπιόν σου ἐν ὅλῃ καρδίᾳ μου» (Ψαλμ. ριη'. 145). Πανταχοῦ γὰρ οἱ λογισμοὶ τοῦ νοός, καὶ ἡ μελέτη τῆς καρδίας εἰσὶν οἱ στεφανοῦντες καὶ οἱ κατακρίνοντες τὸν ἄνθρωπον· οὕτω καὶ ὁ Θεὸς ἔλεγε τῇ συναγωγῇ τῶν Ἰουδαίων: «Ἀνθ' ὧν οὐκ ἔλαβές με ἐν τῇ διανοίᾳ σου, ἀλλ' ἀπέρριψάς με ὀπίσω τῶν νώτων σου, κἀγὼ ἀπώσομαί σε» (Ἰεζ. κβ'. 35), «τοῦ διαβόλου, φησί, ἤδη βεβληκότος εἰς τὴν καρδίαν Ἰούδα, ἵνα τὸν Ἰησοῦν παραδῷ» (Ἰωάν. ιγ'. 2), «ἄνθρωπος γὰρ εἰς πρόσωπον ὁρᾷ, ὁ δὲ Θεὸς εἰς καρδίαν» (Α'. Βασιλ. ιστ'. 7), καὶ τό: «Ἐτάζων καρδίας καὶ νεφροὺς ὁ Θεὸς» (Ψαλμ. ζ'. 10).

Ὀφείλει γὰρ ὁ μοναχὸς νοεῖν τὸν σκοπὸν τῆς Γραφῆς, πρὸς τίνα λαλεῖ, καὶ τίς ὁ λαλῶν, καὶ περὶ τίνος λαλεῖ, καὶ πότε λαλεῖ, καὶ πῶς λαλεῖ, καὶ μετέχειν νουνεχῶς τὸν τῆς ἀσκήσεως ἀγῶνα, καὶ προσέχειν τὰς προσβολὰς τοῦ ἀντιπάλου, καὶ ὡς κυβερνήτης τὰ κύματα διαβιβάζειν, οἰακιζόμενος ὑπὸ τῆς χάριτος, μὴ παρατρεπόμενος τῆς εὐθείας ὁδοῦ, ἑαυτῷ καὶ μόνῳ προσέχειν, καὶ ἐν ἡσυχίᾳ προσομιλεῖν τῷ Θεῷ, ἀρεμβάστῳ λογισμῷ καὶ ἀπεριέργῳ νοΐ· ὁ καιρὸς γὰρ ἀπαιτεῖ ἡμᾶς[1] ὡς κυβερνήτας πρὸς τοὺς ἀνέμους, καὶ τὰς τρικυμίας καὶ τὰς ζάλας τῶν πνευμάτων· δεκτικοὶ γάρ ἐσμεν εἰς προσβολὰς λογισμῶν, καὶ ἀρετῶν καὶ κακίας, καὶ γὰρ δεσπότης τῶν παθῶν λέγεται εἶναι ὁ εὐσεβὴς καὶ φιλόθεος λογισμός. Πρέπει γὰρ ἡμῖν τοῖς ἡσυχασταῖς τοῦ νουνεχῶς καὶ νηφόντως, τὰς ἀρετὰς τάς τε κακίας διακρίνειν καὶ διαχωρίζειν, καὶ ποίας ἀρετῆς ἐπιμελεῖσθαι, παρόντων μοναχῶν ἀδελφῶν, καὶ πα-

---

1) Φιλοκαλία, τόμ. α'. σελ. 20. κεφ. κθ'.

τέρων, καὶ ποίας ἐργάζεσθαι κατὰ μόνας, καὶ ποία ἐστὶν ἡ πρώτη ἀρετή, καὶ ποία ἡ δευτέρα, καὶ ἡ τρίτη, καὶ ποῖον πάθος ἐστὶ ψυχικόν, καὶ ποῖον σωματικόν. καὶ ποία ἀρετὴ ψυχική, καὶ ποία σωματική, καὶ ἐκ ποίας ἀρετῆς ἡ ὑπερηφανία ῥαπίζει τὸν νοῦν, καὶ ἐκ ποίας ἡ κενοδοξία παραγίνεται, καὶ ἐκ ποίας ὁ θυμὸς πλησιάζει [1], καὶ ἐκ ποίας ἡ γαστριμαργία γεννᾶται, καὶ ἡ ῥαθυμία τίκτεται: «Ὀφείλομεν γὰρ λογισμοὺς καθαίρειν καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ Θεοῦ» (Β΄. Κορινθ. ι΄. 5). Χρὴ γὰρ καθαροὺς ἡμᾶς εἶναι ἀπὸ λογισμῶν ἀκαθάρτων, μάλιστα ὅταν τῷ Θεῷ εἰς προσευχὴν παριστάμεθα, οὐ γὰρ συμφωνεῖ δυσωδία καὶ εὐωδία, οὐδὲ δυσοσμία τῷ μύρῳ· ὁ γὰρ λογισμοῖς πονηροῖς συναπαγόμενος, ἐκτυφλοῦται ὑπ' αὐτῶν· ὅπου γὰρ εἰκόνες λογισμῶν, ἐκεῖ καὶ συγκατάθεσις γίνεται. Δέον τὴν πρώτην προσβολὴν τοῦ λογισμοῦ [2] ἀνατρέπειν ἐκ τῆς καρδίας, δι' εὐσεβοῦς ἀντιλογίας καὶ προσευχῆς, μήποτε εὑρεθῶμεν τοῖς χείλεσι μὲν τῷ Θεῷ προσδιαλεγόμενοι, τῇ δὲ καρδίᾳ τὸ πᾶν λογιζόμενοι· οὐ γὰρ προσδέχεται ὁ Θεὸς ἀπὸ ἡσυχαστοῦ εὐχὴν θολώδη, καὶ καταφρονητικήν. Οἱ γὰρ χαμερπεῖς, καὶ ὀφιώδεις λογισμοί, οἱ ἐν τῇ καρδίᾳ ἐμφωλεύοντες, αὐτοί εἰσιν οἱ ῥιπίζοντες τὸν νοῦν, καὶ φαντάζοντες τὴν διάνοιαν, καὶ θολώνοντες τὴν συνείδησιν, καὶ εὐάλωτον τὸν ὑπήκοον ποιοῦντες, χειροτονοῦντες αὐτὸν ἄρχοντα καὶ στρατηγὸν καὶ ἡγεμόνα, δορυφόρους αὐτῷ καὶ δημίους, καὶ ὅπλα τεθηγμένα, καὶ στρατόπεδα, καὶ παρατάξεις τῷ νεύματι ἄγοντα βαρβάρους πολεμοῦντα, καὶ φιλοτιμίας καὶ διαδόσεις χρημάτων, καὶ δικαιοκρισίας ἀπονέμοντα, πόλεις κτίζοντα, θησαυροὺς χρημάτων εὑρόντα καὶ διδόντα ἄρχοντας διαδεχόμενον, ἑτέρους προβλήσκοντα [3].

Ὅτε δὲ τοῖς τοιούτοις ματαίοις λογισμοῖς περισύρας τὸν νοῦν, καὶ φαντάσας τὴν διάνοιαν, τότε πάλιν ἀρχιερέα οἰκουμενικὸν τοῦτον ἐνθρονιάσας [4], μητροπολίτας χειροτονοῦντα, ἐπισκόπους καθαίροντα [5], ἱερεῖς ἀθροίζοντα, περιοδευτὰς καθιστῶντα, ἀρχιμανδρίτας διαδεχόμενον, ἑτέρους προσκαλούμενον, ἐκκλησίας κτίζοντα, κοινόβια οἰκοδομοῦντα, γηροκομεῖα ἀνιστῶν [6], ξενοδοχεῖα καὶ νοσοκομεῖα εὐτρεπίζων, ὀρφανοὺς ἐνδύων, χήρας ὑπερασπίζων, καὶ σὺν τούτοις ἀρχίατρον ἑαυτὸν δει-

---

1) Μήπως, πηγάζει;
2) Φιλοκαλία. τόμ. α΄. σελ. 20 κεφ. κϛ΄.
3) Ἄγνωστον τὸ ῥῆμα.
4) Ἴσως μετὰ τοῦτο γραπτέον, ποιεῖ, διότι καὶ ἐν τῷ προηγουμένῳ ὅτε παραλείπεται τὸ ῥῆμα. Καθόλου δὲ ἐν τῇ παραγράφῳ ταύτῃ ὁ συγγραφεὺς ἐφιλοτιμήθη φαίνεται, ἵνα παραστήσῃ καὶ διὰ τοῦ λόγου τὴν ἐκ τῶν παθῶν ταραχὴν τοῦ νοῦ.
5) Καθαιροῦντα.
6) Ἄγνωστον τίνος ἕνεκα μετεπήδησεν εἰς ὀνομαστ. καὶ πάλιν εἰς αἰτιατ.

κνύων, δωρεὰν ἰατρεύων, καὶ πάντας ἰώμενον. Τοῖς τοιούτοις καὶ παραπλησίοις καὶ πλείοσι λογισμοῖς, φορβαίᾳ τὸ ἡγεμονικὸν αὐτοῦ περισύρας, καὶ παντὶ ματαίῳ λογισμῷ τὸ λογικὸν αὐτοῦ κροταφίσας, τόν τε τῆς πορνείας δαίμονα φωλεύσας ἐν τοῖς μέλεσιν αὐτοῦ, ἐπιθυμίας βρωμάτων καὶ ἱερωσύνης ἐσθῆτι, καὶ ἡγουμενίας δόξῃ τὴν καρδίαν πυρώσας, καὶ φιλαργυρίας νόσῳ πλήξας, καὶ κενοδοξίας σφενδονήσας, καὶ ὑπερηφανίᾳ λογχεύσας, καὶ τοὺς ὀφθαλμοὺς τῆς καρδίας τυφλώσας, καὶ τοὺς παλμοὺς τοῦ σώματος σαλεύσας, ὅλας τὰς αἰσθήσεις τὰς ψυχικὰς καὶ τὰς σωματικὰς εἰς συνουσίαν γυναικῶν γαργαλίσας, καὶ τὸ σῶμα πυρώσας, καὶ γονοῤῥοίᾳ λακτίσας εἰς βόθρον νοητῆς πορνείας καὶ μαλακίας χειρῶν ῥίψας, ὁμιλίας γυναικῶν ὑπομιμνήσκει, καὶ μνήμαις ὄψεων ἀρρένων, καὶ εὐνούχων φαντάζει, ἀναζωγραφεῖ πρόσωπα ὡραῖα ἐν τῇ καρδίᾳ, ψηλαφήσεις χειρῶν, περιλήψεις σωμάτων, συμπλοκὴν μελῶν, λόγους ἐμπαθεῖς, γέλωτας θελγοποιούς, νεῦμα ὀφθαλμῶν, χρόας σωμάτων, χειλέων συμπλοκάς, λαλιὰς κολακευτικάς, ἐνοπτρισμοὺς κινημάτων, παντὶ λογισμῷ συγκατατίθεται[1]. Χρὴ δὲ καὶ τοῦτο εἰδέναι, ὅτι ἡ καρδία διὰ τῶν χειλέων λαλεῖ, καὶ ὡς ἔχει ὀφθαλμοὺς ἡ καρδία, οὕτω καὶ χείλη· καὶ μάρτυς ὁ ἀπόστολος λέγων: «Πεφωτισμένοι τοὺς ὀφθαλμοὺς τῶν καρδιῶν ὑμῶν» (Ἐφεσ. α΄. 18): Πανταχοῦ γὰρ ἡ θεία Γραφή, τὰ τῆς ψυχῆς αἰσθητήρια διαμαρτύρεται φυλάττειν. Ἐὰν γὰρ ὑποταγῇ τὸ θέλημα τοῦ μοναχοῦ τῷ νόμῳ τοῦ Θεοῦ, καὶ κατὰ τὸν νόμον αὐτοῦ ὁ νοῦς κυβερνήσῃ, τὰ ὑπήκοα αὐτῷ, πάσας, φημί, τὰς ψυχικὰς κινήσεις, κατ' ἐξαίρετον δὲ θυμὸν καὶ ἐπιθυμίαν, ταῦτα γὰρ ὑπήκοα τῷ λόγῳ, ἀρετὴν εἰργασάμεθα, καὶ δικαιοσύνην ἐπληρώσαμεν· τὴν μὲν ἐπιθυμίαν πρὸς Θεὸν καὶ τὰ αὐτοῦ θελήματα, ὁ δὲ θυμὸς κατὰ τοῦ διαβόλου καὶ τῆς ἁμαρτίας. Τί οὖν ἐστι τὸ ζητούμενον; ἡ κρυπτὴ μελέτη, ὡς καὶ ὁ ἀπόστολος λέγει: «Ψαλῶ τῷ πνεύματι, ψαλῶ καὶ τῷ νοΐ» (Α΄. Κορινθ. ιδ΄. 15) «ἐὰν γὰρ προσεύχωμαι γλώσσῃ, τὸ πνεῦμα προσεύχεται, ὁ δὲ νοῦς μου ἄκαρπός ἐστι.... προσεύξομαι τῷ πνεύματι, προσεύξομαι καὶ τῷ νοΐ» (αὐτόθι 14—15), καί: «Θέλω πέντε λόγους διὰ τοῦ νοός μου λαλῆσαι ἢ μυρίους λόγους ἐν γλώσσῃ» (αὐτόθι 19).

Ἄλλο γάρ ἐστι τὸ ἡγεμονικόν, καὶ ἄλλο τὸ θεωρητικόν, καὶ ἄλλο τὸ πρακτικόν, καὶ ἄλλο τὸ θυμικόν, καὶ ἕτερον τὸ ἐπιθυμητικόν, καὶ ἄλλο τὸ λυπηρόν, καὶ ἄλλο τὸ δεσποτικόν, καὶ ἄλλο τὸ φοβητικόν καὶ ἄλλο τὸ μνημονευτικόν, καὶ ἄλλο τὸ ἀγαπητικόν, καὶ ἄλλο ἡ ἐπιστήμη, καὶ ἄλλο ἡ ἐξ αὐτῆς παιδεία, καὶ ἄλλο ἡ αἴσθησις καὶ ἄλλο ἡ

---

1) Ζητεῖται ποῖον τὸ ὑποκείμενον τῶν μετοχῶν ἐκ τοῦ περισύρας.

σύνεσις, καὶ ἄλλο ἡ φρόνησις καὶ ἡ γνῶσις, καὶ ἄλλο ἡ σοφία, καὶ ἄλλο πάθος. Λέγεται πάθος πάλιν καὶ τὸ ψυχικόν, ἤτε ἐπιθυμία καὶ ὁ θυμός, τῶν δὲ ψυχικῶν παθῶν ὅρος ἐστὶν οὗτος. Πάθος ἐστιν ὄρεξις τῆς ὀρεκτικῆς δυνάμεως αἰσθητῆς ἐπὶ φαντασίᾳ ἀγαθοῦ καὶ κακοῦ. Καὶ πάλιν πάθος ἐστὶν ἄλογος τῆς ψυχῆς [1] δι' ὑπόληψιν καλοῦ ἢ κακοῦ· ἡ μὲν ὑπόληψις τοῦ καλοῦ τὴν ἐπιθυμίαν κινεῖ, ἡ δὲ τοῦ κακοῦ ὑπόληψις τὸν θυμόν. Δέον τῷ μοναχῷ εἰδέναι, ὅτι ἡ ψυχὴ διττὰς ἔχει τὰς δυνάμεις, τὰς μὲν γνωστικάς, τὰς δὲ ζωτικάς· καὶ γνωστικαὶ μὲν εἰσὶ νοῦς, διάνοια, δόξα, φαντασία, αἴσθησις. Ζωτικαὶ δέ, βούλησις καὶ προαίρεσις. Διὰ τῆς αἰσθήσεως τοίνυν ἐν τῇ ψυχῇ συνίσταται πάθος, ὃ καλεῖται φαντασία, ἐκ δὲ τῆς φαντασίας γίνεται δόξα, εἶτα ἡ διάνοια διακρίνασα τὴν δόξαν, εἴτε ἀληθής ἐστιν εἴτε ψευδής, κρίνει τὸ ἀληθὲς καὶ γίνεται διάκρισις· ὅθεν καὶ διάνοια λέγεται ἀπὸ τοῦ διανοεῖν καὶ διακρίνειν τὸ ἀληθές· τὸ οὖν κριθὲν καὶ ὁρισθὲν, ἀληθῶς νοῦς λέγεται. Ἄλλως δὲ χρὴ γινώσκειν, ὅτι ἡ μὲν πρώτη τοῦ νοῦ κίνησις, νόησις λέγεται, ἡ δὲ περί τινος νόησις ἔννοια λέγεται, ἥτις ἐπιμείνασα καὶ τυπώσασα τὴν τῆς ψυχῆς ζωὴν πρὸς τὸ νοούμενον, ἐνθύμησις προσαγορεύεται, ἡ δὲ ἐνθύμησις ἐνταυτῷ μείνασα καὶ ἑαυτὴν βασανίσασα φρόνησις ὀνομάζεται, ἡ δὲ φρόνησις πλατυνθεῖσα ποιεῖ τὸν λογισμὸν, ἐνδιάθετον λόγον ὀνομαζόμενον, ὃν ὁριζόμενοι λέγομεν: κίνημα ψυχῆς πληρέστατον ἐν τῷ διαλογιστικῷ γενόμενον ἄνευ τινὸς ἐκφωνήσεως, ἐξ οὗ τὸν προφορικὸν λόγον λέγομεν προέρχεσθαι τὸν διὰ γλώσσης λαλούμενον.

Ὁ Θεὸς γὰρ πλάσας τὸν ἄνθρωπον, αὐτεξούσιον αὐτὸν ἐποίησεν, δεκτικὸν προσβολῆς καὶ κακίας, φυτεύσας δὲ τὰς πλείους αἰσθήσεις, ὡς μικρῷ τινι χωρίῳ τῇ ὄψει, δορυφόρων τάξιν ἐκπληρούσας ἐνθρονίζει αὐταῖς, ὥσπερ βασιλέα ἀγαθόν τε καὶ δίκαιον, τὸν ἡγεμόνα νοῦν. Κρίνεται οὖν παρ' ἡμῖν ἀρετὴ καὶ κακία, τουτέστι σωφροσύνη καὶ ἀκολασία, γαστριμαργία καὶ ἄσκησις, θυμὸς καὶ πραότης, κενοδοξία καὶ ταπεινοφροσύνη, καὶ ἁπλῶς, πᾶσα ἀρετή, δίκην ἔχει πρὸς τὴν ἀντιδιαστελλομένην αὐτῇ κακίαν. Ἐὰν οὖν ὁ νοῦς τοῦ μοναχοῦ κατακρίνῃ τὴν κακίαν, δίκαιος, εἰ δὲ τὴν ἀρετὴν δικαίως ἔκρινεν, ἐφύλαξε κρῖμα καὶ δικαιοσύνην.

Ἐὰν γὰρ γνῶμεν ποιά εἰσι τὰ πάθη τῆς ψυχῆς καὶ ποῖα τοῦ σώματός, καὶ ποῖα τῆς καρδίας, καὶ ποῖα τοῦ νοὸς ῥᾳδίως περιγινόμεθα τῶν αἰσχρῶν λογισμῶν· ὑπερηφανία νόσος ψυχική ἐστιν, κενοδοξία νόσος ἐστὶ ψυχική, οἴησις νόσος ψυχική ἐστι καὶ ὅσα τοιαῦτα· ταῦτα

1) Παραλείπεται οὐσιαστικόν, ὡς ἐνέργεια, ἢ μᾶλλον, κίνησις.

τῆς καρδίας εἰσίν· τὰ δὲ τοῦ νοῦ, δόξα, φαντασία, βλακεία, φυσίωσις, ταῦτα τοῦ ἡγεμονικοῦ νοός. Οἱ δὲ παραρριπισμοὶ καὶ αὖραι τῶν πνευμάτων τῆς πονηρίας, τῆς διανοίας καὶ τῆς συνειδήσεως ὑπάρχουσιν, εἴτε στεφάνους εἴτε αἰσχύνην προξενοῦντες· οἱ δὲ αἰσχροὶ λογισμοὶ οἱ τὸν νοῦν εὐάλωτον ποιοῦντες καὶ αἰχμάλωτον περισύροντες, καὶ ποτὲ μὲν βασιλέα, ποτὲ δὲ ἄρχοντα καὶ ἀρχιερέα, καὶ πόλεις καὶ χώρας, καὶ στρατόπεδα καὶ χρήματα διανέμοντα, καὶ ἐκκλησίας καὶ μοναστήρια, καὶ ξενῶνας καὶ γηροκομεῖα κτίζοντα, ἅπερ ἡ ματαιότης τοῦ νοῦ φαντάζουσα, καὶ ματαιοπονοῦσα, ἐν τοῖς κενοδόξοις καὶ ἀνθρωπαρέσκοις καὶ ὑψηλόφροσι τῶν μοναχῶν, ἐν τῇ καρδίᾳ τῶν τοιούτων, οἱ αἰσχροὶ λογισμοὶ ἐγκυβιστῶντες ἐμβατεύουσιν, ἀπὸ ἀφοβίας καὶ ἀμελείας καὶ ῥαθυμίας τίκτονται. Ἐὰν γὰρ ἀμελήσωμεν τῶν τοῦ Θεοῦ ἐντολῶν, ἀναλύονται καὶ τὰ πρώην συγχωρηθέντα ἡμῶν ἁμαρτήματα καὶ ψυχροῦται ἐκ τῆς χάριτος ἡ καρδία, καὶ εὐθέως ἐπιπέμπονται ἐπ' αὐτῇ αἱ μυῖαι τῆς ἁμαρτίας, οἱ πονηροὶ καὶ ἀκάθαρτοι καὶ χαμερπεῖς λογισμοί, καὶ ῥυπαροῦσι τὸ ἡγεμονικὸν τοῦ νοός, καὶ ταράσσουσι τὴν καρδίαν, καὶ συγχέουσι τὴν συνείδησιν, ὡς καὶ ὁ ἀπόστολος λέγει, οἱ ἐνδυσάμενοι τὸν Κύριον Ἰησοῦν Χριστόν, τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθε εἰς ἐπιθυμίας, «ἐν οἷς ποτε ἀνεστράφημεν ἐν ταῖς ἐπιθυμίαις τῶν καρδιῶν ἡμῶν, ποιοῦντες τὰ θελήματα τῆς σαρκὸς καὶ τῶν διανοιῶν ἡμῶν» (Ἐφεσ. β΄. 3).

Ὁ οὖν θέλων ἐκφυγεῖν τῆς φθοροποιοῦ ἁμαρτίας, καὶ κακῆς ἐπιθυμίας, τὸν φόβον τοῦ Θεοῦ κτησάσθω: «Ὁ φόβος γὰρ Κυρίου ἁγνὸς διαμένων εἰς μῆνα καὶ ἐνιαυτόν, ἀλλ' εἰς αἰῶνα αἰῶνος» (ψαλμ. ιη΄. 10)· ὁ γὰρ ἐνθυμούμενος ἀεὶ τὸν θάνατον, καὶ τὸ πῦρ τὸ αἰώνιον, καὶ τὸν σκώληκα τὸν ἀκοίμητον, καὶ τὸ σκότος τὸ ἐξώτερον, καὶ τὸν κλαυθμὸν τὸν ἀπαραμύθητον, καὶ τὸν βρυγμὸν τὸν ὀδόντων, καὶ τὴν αἰσχύνην τὴν αἰώνιον ἐκείνην τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ, ἐνώπιον ἀγγέλων καὶ ἀνθρώπων, διαλύει μὲν τὸ λεῖον τῆς ἡδονῆς, πᾶσαν δὲ τὴν ἐπιθυμίαν αὐτοῦ εἰς Θεὸν μετατίθησιν. Τὸ γὰρ κόψαι τὸ ἴδιον θέλημα, αἱματεκχυσία ἐστί [1], καὶ εἰς θυσίαν λογίζεται ὁ Θεὸς τῷ ἀνθρώπῳ τῷ μὴ ποιοῦντι τὸ ἑαυτοῦ θέλημα· καὶ γὰρ φρονίμου, καὶ ἐναρέτου, καὶ τελείου ἀνδρός ἐστι τὸ κατόρθωμα, καὶ σαφῶς διδάσκει ἡμᾶς Ἡσαΐας ὁ προφήτης λέγων: «Ἐὰν μὴ ποιήσῃς θέλημα τὸ σὸν ἐν τῇ ἡμέρᾳ τῇ ἁγίᾳ, οὐδὲ λαλήσῃς λόγον ἐν ὀργῇ, καὶ ἔσῃ πεποιθὼς ἐπὶ Κύριον καὶ ψωμιεῖσθε τὰ ἀγαθὰ τῆς γῆς» (Ἡσαΐας 58, 13-14). Ἀγῶνος οὖν χρεία, καὶ νήψεως πολλῆς, ἵνα συμφωνήσῃ ὁ νοῦς σὺν τῇ καρδίᾳ, καὶ τοῖς χείλεσιν ἐν τῇ ὥρᾳ τῆς ψαλμῳδίας καὶ

1) Βαρσανουφ. ἀπόκρ. σνβ΄. σελ. 137.

τῆς προσευχῆς, ἵνα μὴ παροργίσωμεν τὸν Κύριον, ἀντὶ τοῦ θεραπεῦσαι αὐτὸν ἐν τῷ καιρῷ τῆς προσευχῆς, σμίγοντες ἐν τῷ θυμιάματι τῶν προσευχῶν κνῖσαν τῶν αἰσχρῶν λογισμῶν, καὶ εὑρεθῇ ἡ θυσία τῶν προσευχῶν ἡμῶν ἐπίμωμος ὡσεὶ τοῦ Κάϊν. Δεινὸν γὰρ καὶ ὀλέθριον, τὸ συμπείθεσθαι κρυπτῶς τοῖς ἀκαθάρτοις λογισμοῖς· ἐκ γὰρ τῶν λογισμῶν καὶ εἰς τὴν πρᾶξιν κατασύρεται καὶ κατὰ μικρὸν ἀλλοτριοῦται τοῦ Θεοῦ, καὶ ὁπόταν ὁ [1] συγκατατιθέμενος αὐτοῖς ὡς ἐργασάμενος τὴν ἁμαρτίαν κρίνεται· εἰς γὰρ κακότεχνον καρδίαν σοφία οὐκ' εἰσελεύσεται, οὐδὲ κατοικήσει ὁ Θεὸς ἐν σώματι καταχρέῳ ἁμαρτίας. σκολιοὶ γὰρ λογισμοὶ χωρίζουσιν ἀπὸ Θεοῦ, ὡς καὶ ὁ προφήτης Σοφονίας [2] λέγει: «Παρέθηκέ σοι πῦρ καὶ ὕδωρ, οὗ ἐὰν θέλῃς ἔκτεινον τὴν χεῖρά σου» (Σειράχ. ιε΄. 16). Ἐναντίον ἀνθρώπου ζωή, καὶ ὁ θάνατος, καὶ ὃ ἐὰν εὐδοκήσῃ δοθήσεται αὐτῷ· τὸν γὰρ ἁμαρτάνοντα εἰς τὴν ψυχὴν αὐτοῦ, τίς δικαιώσει, εἰμὴ ζεστὰ τὰ δάκρυα καταγάγει πᾶσαν ὥραν;

Φύλ. 202β—203β. Εἶπεν ὁ ἀββᾶς Ἡσαΐας, ὅτι ὁ νοῦς τοῦ μοναχοῦ θρόνος ἐστι τοῦ Θεοῦ, καὶ τὸ στόμα αὐτοῦ τράπεζα τοῦ Χριστοῦ, καὶ ἡ καρδία αὐτοῦ ναὸς τοῦ ἁγίου Πνεύματος, καὶ οἱ λογισμοὶ αὐτοῦ τὰ ὅπλα καὶ οἱ δορυφόροι, ἡ δὲ ψυχὴ ὁ στρατιώτης, καὶ τὸ σῶμα δοῦλος, τὰ δὲ αἰσθητήρια αἱ θυρίδες τοῦ ναοῦ, ἡ δὲ διάνοια πύλη, ἡ συνείδησις ὁ θυρωρός. Ἐὰν οὖν ὁ μοναχὸς ἐν τῷ καιρῷ τῆς προσευχῆς ἐάσῃ τὸν νοῦν αὐτοῦ ἔξω ῥέμβεσθαι, τὴν δὲ γλῶσσαν αὐτοῦ τὰ μὴ δέοντα λαλεῖν, καὶ τῷ ναῷ τοῦ Θεοῦ τοὺς ἐχθροὺς τοῦ Θεοῦ ὑποδέξηται, καὶ τὰς θυρίδας τοῦ ναοῦ ἀνεῴξῃ [3] καὶ κόρακας καὶ αἰλούρους ἔνδον τοῦ ναοῦ εἰσδέξηται, καὶ οἱ δορυφόροι τοὺς εἰσιόντας καὶ ἐξιόντας ὑποδέξωνται, καὶ ὁ στρατιώτης νυστάζῃ, καὶ ὁ δοῦλος καθεύδῃ, καὶ ἐν τῷ ναῷ τοῦ Θεοῦ ὁ διάβολος καθήσῃ, καὶ οἱ ἐχθροὶ τοῦ Θεοῦ εἰσέρχωνται καὶ ἐξέρχωνται ἀκωλύτως μετὰ θορύβου καὶ ταραχῆς, καὶ τὸν οἶκον τοῦ Θεοῦ ποιήσωσιν ὀζοθήκην καὶ κοπροθήκην, πῶς ὁ τοιοῦτος μοναχὸς οὐ κολασθήσεται καὶ ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι; οὔτε γὰρ υἱός ἐστιν, ἵνα κληρονομήσῃ τὰ τοῦ Θεοῦ,· οὔτε φίλος, ἵνα εἰσακουσθῇ, οὔτε δοῦλος γνήσιος, ἵνα ἐλευθερωθῇ. Ἀλλὰ χρὴ τῷ μοναχῷ, πᾶσαν ὥραν, ἐγκῦψαι εἰς τὴν ἑαυτοῦ ψυχὴν καὶ ἐρευνῆσαι, καὶ ἀνακρῖναι, καὶ ἐξετάσαι, καὶ μαστιγῶσαι, καὶ ἐξολοθρεῦσαι ἐκ τοῦ νοῦ τοῦ Θεοῦ τοὺς αἰσχροὺς καὶ φαύλους λογισμούς, οἵτινές εἰσι κυβευταί, φαρμακευταί, θηρευταί, κοινωταί, φονευταί· εἰσὶ γὰρ καὶ ἐν τῇ ψυχῇ ταραχαί, καὶ ὄχλοι, καὶ

1) Ἴσως ἡ ὀρθὴ ἐκφορὰ οὕτω: ὁπότε καὶ ὁ...
2) Γρ. Σειράχ.
3) Μᾶλλον, ἀνοίξῃ.

θόρυβοι λογισμῶν πονηρῶν, καὶ πόλεις κακιῶν τῶν ἀντικειμένων δυνάμεων.

᾿Εὰν γὰρ μὴ καθαρίσωμεν τὰς συγχύσεις, καὶ ταραχάς, καὶ ζάλας, καὶ ὀχλήσεις τῶν πονηρῶν λογισμῶν, εἰς μάτην κοπιῶμεν. Ὅταν γὰρ κλίνωμεν γόνυ εἰς δέησιν καὶ προσευχὴν πρὸς τὸν Θεόν, πρόσχωμεν μὴ τὰ σκεύη ἡμῶν τὰ καλά, ἐν οἷς διακονοῦμεν τῷ Θεῷ, ὁ πονηρὸς ἥρπασε· τὰ γὰρ σκεύη τῆς ψυχῆς, ἐν οἷς δουλεύομεν τῷ Θεῷ οἱ λογισμοὶ ἡμῶν εἰσιν· ἐὰν τοὺς λογισμοὺς ἁρπάσωσιν οἱ ἐχθροὶ ἡμῶν, ἐν τίνι δουλεύσομεν τῷ Θεῷ; οὐ χρείαν ἔχει ὁ Θεός, ἵνα τὸ σῶμά σου καὶ ἡ γλῶσσά σου εὔχηται, καὶ τῆς ψυχῆς σου οἱ λογισμοὶ ἔξω ρέμβωνται ἐσκορπισμένοι. Τὸ γὰρ θέλημα τοῦ Θεοῦ ἐστιν, ἵνα οἱ λογισμοί, καὶ ὁ νοῦς, καὶ ἡ διάνοια καὶ ὅλη ἡ ἰσχὺς ἡμῶν τέτατται πρὸς τὸν Θεὸν ἀμετεωρίστως, καὶ οὐκ ἀφίσταται ἡμῶν ὅλως ὁ Θεός· ἔστι γὰρ ἀοράτως πρὸς ἡμᾶς, ὁρῶν ἡμῶν τὸν νοῦν, τὴν διάνοιαν, τοὺς διαλογισμοὺς τὰς ἐνθυμήσεις, θεωρῶν πῶς ζητοῦμεν αὐτόν, πῶς πολεμοῦμεν τοὺς αἰσχροὺς καὶ φαύλους λογισμούς, καὶ μαχόμεθα ταῖς πονηραῖς ἐννοίαις· εἰ ἐξ ὅλης ψυχῆς ψάλλομεν, εἰ ὁλοψύχως προσευχόμεθα. ᾿Εὰν οὖν ἴδῃ ἡμᾶς ἀόκνως, καὶ προθύμως ἱσταμένους εἰς προσευχήν, νουνεχῶς καὶ νηφόντως, εὐθὺς τοὺς ἐχθροὺς ἡμῶν ἐκδιώκει, ἡμᾶς δὲ στεφανοῖ· θεωρῶν γὰρ ἡμᾶς πανταχόθεν τοὺς λογισμοὺς ἡμῶν πρὸς τὴν αὐτοῦ μόνον ζήτησιν, τότε καὶ αὐτὸς φανεροῦται, καὶ ἐνισχύει, καὶ φωτίζει τὴν ψυχήν, ἀρρήτῳ καὶ ἐπιθυμητῷ κάλλει καταλάμπων ἡμᾶς, καὶ οὕτω βοηθείας τῆς ἐξ αὐτοῦ μεταδίδωσι, καὶ νίκην πᾶσαν ἐν ἡμῖν ποιεῖ, ρυόμενος ἡμᾶς ἐκ τῶν ἀοράτων ἐχθρῶν ἡμῶν· ἐὰν δὲ ἴδῃ ἡμᾶς νωθρούς, καὶ ὀκνηρούς καὶ ἀμελεῖς, χαυνώσει νοὸς εἰς προσευχὴν ἱσταμένους, τότε αἴρει τὴν βοήθειαν αὐτοῦ ἐξ ἡμῶν, καὶ γινόμεθα ὡς σκάφος ἐν πελάγει, ἄνευ οἴακος καὶ πηδαλίων, ἀλλεπαλλήλοις κύμασι πειρασμῶν περικρουόμενοι, καὶ κάλαμος παντὶ ἀνέμῳ πειρασμοῦ σαλευόμενοι.

Εἶπε πάλιν, ἐὰν ὅλως βούλῃ τὰ ἀκάθαρτα ὄνειρα, καὶ τὰς φαντασίας, καὶ γονορροίας, καὶ τὰ αἰσχρὰ φαντάσματα τῶν δαιμόνων ἀποδρᾶσαι, μὴ ἐκδῷς σεαυτῷ ὕπνῳ ἀγρυπνίας κανόνος[1]. Τῷ γὰρ τοιούτῳ τρόπῳ φωτίζεταί σου ὁ νοῦς, καὶ λάμψει σοι φῶς νοητὸν ἐν τῇ καρδίᾳ σου, καὶ οἱ δαίμονες πενθοῦντες, καὶ ὀλολύζοντες, φεύξονται ἀπὸ σοῦ, ὁ δὲ ἅγιος ἄγγελος ὁ παραμένων σοι, ἐνισχύσει καὶ ἐνδυναμώσει σε κατὰ τῶν παθῶν τῆς ἁμαρτίας.

---

1) Ἴσως γραπτέον, ἀγρυπνίας κανόνι (δοτ. χρον).

# ΠΕΡΙ ΤΟΥ ΑΒΒΑ ΠΕΤΡΟΥ ΜΑΘΗΤΟΥ ΤΟΥ ΑΒΒΑ ΗΣΑΪΟΥ [1]

Σπουδαίαν θέσιν καταλαμβάνει ὁ ἀββᾶς Πέτρος ἐν τῷ βίῳ τοῦ ἀββᾶ Ἡσαΐου ὡς μαθητὴς αὐτοῦ, καὶ τούτου ἕνεκα δημοσιεύομεν τὸ κάτωθι ἀνέκδοτον διήγημα. Ἡ παντελὴς σιωπὴ τοῦ ὀνόματος τοῦ Ἡσαΐου σημαίνει, ὅτι τὰ ἑπόμενα συνέβησαν μετὰ τὸν θάνατον αὐτοῦ. Ὁ δὲ Ἐλισσαῖος δὲν εἶναι ὁ αὐτὸς μὲ τὸν ὄπισθεν μνημονευθέντα, διότι ἐκεῖνος φέρεται ὡς συμμαθητὴς τοῦ Πέτρου, οὗτος δὲ ὡς μαθητὴς αὐτοῦ. «Εἶπεν ὁ ἀββᾶς Ἐλισσαῖος, ὅτι ὄντος μου εἰκοσαετοῦς ἐμόνασα, καὶ ἐδέξατό με ὁ ἀββᾶς Πέτρος, ὁ μαθητὴς τοῦ ἀββᾶ Ἡσαΐου· ὑπῆρχον δὲ ὀξύχολος πάνυ καὶ πέρπερος. Ὁ δὲ γέρων ἐνουθέτει μοι μετὰ ἐπιεικείας καὶ πραότητος, ἐγὼ δὲ οὐκ ἴσχυον περιγενέσθαι τῆς ὀξυχολίας, καίπερ βιαζόμενος τὸ κατὰ δύναμιν, ὃ εἶχον· ποιήσας οὖν ἔτη πέντε ἐν τῇ Σκήτει, εἶχον πρός τινα τῶν ἀδελφῶν σχέσιν καὶ στοργὴν εὐρίπιστον τοῖς λογισμοῖς καὶ εὐάλωτον ταῖς ἐννοίαις, συμμέτοχόν μου τοῖς τρόποις· καὶ ὁμονοήσας μετ' αὐτοῦ ἐβεβαιώσαμεν τοῦ ἀπελθεῖν εἰς Ἱεροσόλυμα εὐχῆς ἕνεκα, τὸ δ' ἀληθὲς εἰπεῖν ὑπὸ τοῦ δαίμονος τῆς ἀκηδίας ἑλκόμενοι· καὶ λέγω τῷ ἀββᾷ Πέτρῳ, Πάτερ, ποίησόν μοι εὐχήν, ὅπως προσεύξωμαι τοῖς ἁγίοις καὶ σεβασμίοις τόποις μετὰ τοῦ ἀδελφοῦ ὁ δεῖνα. Καὶ λέγει μοι ὁ γέρων, καθέζου τέκνον μετὰ τῆς ὑπομονῆς τοῦ Θεοῦ ἐν τῷ κελλίῳ, κλαίων τὰς ἁμαρτίας σου ἀταράχως καὶ ἀθολώτως, καὶ μὴ γίνου, ὡς οἱ ἀπολέσαντες τὸν Θεὸν καὶ ζητοῦντες αὐτὸν ἐν διαφόροις τόποις καὶ χώραις, οὐ γὰρ τόπῳ καὶ χρόνῳ περιγράφεται ὁ Θεός, ἀλλ' ἐν παντὶ τόπῳ ἡ κυριότης καὶ ἡ ἐξουσία αὐτοῦ καὶ τὸ ἔλεος ἐφήπλωται κατὰ τὸ γεγραμμένον: «Ἐγγὺς Κύριος οὐ πᾶσι τοῖς ἐπικαλουμένοις αὐτὸν ἁπλῶς καὶ ὡς ἔτυχεν, ἀλλὰ τοῖς ἐπικαλουμένοις αὐτὸν ἐν ἀληθείᾳ, καὶ τῆς δεήσεως αὐτῶν εἰσακούσεται καὶ σώσει αὐτοὺς» (Ψαλμ. ρμδ΄. 19) «Ὁ γὰρ Θεὸς ἡμῶν ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ, πάντα ὅσα ἠθέλησεν ἐποίησεν» (Ψαλμ. ριγ΄. 11). Μὴ γὰρ νόμιζε, τέκνον, ὅτι ὁ Θεὸς ἐν Ἱεροσολύμοις καὶ μόνον ἐστίν, ὅπου κίονες καὶ μαρμάρων λαμπρότητες, καὶ χρυσὸς τῇ κορυφῇ ἐπικείμενος, καὶ ἔδαφος τοῖς ψηφίοις διηνθισμένος, ἀλλ' ἐν τόπῳ καὶ ἐκκλησίᾳ ὀρθοδόξων κατοικεῖ καὶ ἐπαναπαύεται, κατὰ τὸ γεγραμμένον: «Ὅπου εἰσὶ δύο ἢ τρεῖς συνηγμένοι εἰς τὸ ἐμὸν ὄνομα ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν» (Ματθ. ιη΄. 20)· ὅπου γὰρ ἡ ψυχὴ καὶ τὸ σῶμα καὶ τὸ πνεῦμα συμφωνήσουσιν, ἐκεῖ

---

1) Τὰ τοῦ κειμένου ἀφίενται, ὡς ἔχουσι.

καὶ ὁ Θεός, «ἡ βασιλεία γὰρ τῶν οὐρανῶν ἐντὸς ὑμῶν ἐστι» (Λουκ. ιζ'. 22). Ποῦ οὖν ἀπέρχῃ κοπιῶν καὶ πελαζόμενος, ἐν ἀλλοδαπῇ χώρᾳ ζητῶν τὸν πανταχοῦ εὑρισκόμενον; ἐγὼ δὲ ἐπέμενον γονυπετῶν, παρακαλῶν, δεόμενος, ὅπως ἐπιτρέψῃ με ἀπελθεῖν, εἴπως ὁ Θεὸς ἴδῃ τὸν κόπον, καὶ τὴν βίαν, καὶ ἀγῶνα, καὶ μόχθον καὶ συνεργήσῃ μοι εἰς τὸ ἀγαθόν. Καὶ λέγει μοι ὁ γέρων, ἄπελθε εἰς τὸν οἰκονόμον τοῦ νοσοκομείου καὶ εἰπὲ αὐτῷ, ἵνα δώῃ σοι κρόμμυον, καὶ σκόρδον, καὶ τρεῖς κόκκους πέπερι λευκόν, ἀπελθὼν δὲ ἤνεγκα· λαβὼν δὲ ὁ γέρων τὸ σκόρδον, καὶ τὸ κρόμμυον, καὶ τὸ πέπερι ἐνετύλιξεν ἐν ῥάκει παλαιῷ ἀπὸ κουκουλίου, καὶ δήσας τρεῖς κόμβους δίδωσί μοι, λέγων ταῦτα λαβὼν φύλαξον παρὰ σεαυτῷ καί, ὅτε φθάσῃς πρὸ τριῶν μιλίων τὰ Ἱεροσόλυμα, ἐξενέγκας βάλε αὐτὰ ἐν τῷ κόλπῳ σου, καὶ εἰς ἑκάστην ἐκκλησίαν, ἐν ᾗ εἰσέρχῃ τοῦ εὔξασθαι καὶ κοινωνῆσαι, μὴ ἐξενέγκῃς αὐτὰ ἕως ἂν ἐκ τῆς ἁγίας Πόλεως ἐξέλθῃς. Καὶ λέγω αὐτῷ, ἀββᾶ, ἁμαρτία ἐστὶν ἵνα κρόμμυον καὶ σκόρδον βαστῶ, ὅτε εὔχομαι καὶ κοινωνῶ· καὶ λέγει μοι ὁ γέρων, τὸ κρίμα τοῦτο ἐμόν, ἐγὼ γὰρ εἰς περιοδείαν χρεοποιοῦμαι αὐτά, πᾶν γὰρ τὸ διὰ Θεὸν γινόμενον εὐαπόδεκτον· ἐξ ἀνάγκης καὶ νόμου μετάθεσις γίνεται. Ἀπελθόντος δέ μου ἐν τῇ ἁγίᾳ Πόλει ἐποίησα καθὼς καὶ ἐνετείλατό μοι, καὶ διὰ τριῶν μηνῶν ὑπέστρεψα εἰς τὴν Σκῆτιν, καὶ ὑπεδέξατό με ὁ γέρων ἀσμένως· ἐγὼ δὲ ἐδείκνυον ψευδοευλάβειαν, στενάζων καὶ στιχολογῶν, καὶ ἀναγινώσκων μετὰ κατανύξεως. Ὁ δὲ γέρων οὔτε ἠρώτα με, οὔτε τὴν παρακαταθήκην ἐζήτει μοι, ἀλλὰ παντάπασιν ἦν ἡσυχάζων μηδέν μοι ὁμιλῶν. Ποιήσας οὖν ὀλίγας ἡμέρας πλείους ἢ ἔλαττον τριάκοντα, ἠρξάμην θυμοῦσθαι, καὶ περπερεύεσθαι, ὡς καὶ πρότερον· ὁ δὲ γέρων ἐσιώπησε τὸ ἅπαξ, ἐσιώπησε τὸ δεύτερον, ὅτε δὲ τὸ τρίτον ἐταράχθην, προσκαλεσάμενος μετὰ ἀνέσεως καὶ ἐπιεικείας λέγει, τέκνον, δός μοι τὴν παρακαταθήκην, ἣν παρέδωκά σοι πορευόμενος εἰς Ἱεροσόλυμα. Ἀπελθὼν οὖν ἐγὼ καὶ ἐξενέγκας δέδωκα αὐτῷ μετὰ πικρίας, καὶ λαβὼν ὁ γέρων ἤρξατο λύειν τοὺς κόμβους, ἐγὼ δὲ ἱστάμην θεωρῶν πῶς λύει τοὺς κόμβους, καὶ ἠρξάμην θυμοῦσθαι καὶ ἀλλοιοῦσθαι τῇ πικρίᾳ, καὶ ἄλλος ἐξ ἄλλου γίνεσθαι τῇ ὀργῇ, ἐνόμιζον γὰρ ὅτι ἐξ ἀπιστίας ψηλαφᾷ μήπως βέβρωκα αὐτά. Ταῦτα ἐμοῦ ὑποπτεύοντος καὶ ζέοντος τῷ θυμῷ κατ' αὐτοῦ, δίδωσί μοι τὸ κρόμμυον λέγων, τί ἐστι τοῦτο; καὶ λέγω αὐτῷ πάντως κρόμμυόν ἐστιν· καὶ δίδωσί μοι τὸ σκόρδον λέγων, καὶ τοῦτο τί; καὶ λέγω αὐτῷ σκόρδον; καὶ δίδωσί μοι κόκκον πέπερι, λέγων, μάσσησε τοῦτο μήπως ἁγνός ἐστιν, λαβὼν δὲ ἐγὼ ἔβαλα ἐν τῷ στόματί μου καὶ κλάσας τὸν κόκκον, λέγω αὐτῷ, πέπερί ἐστι ἐκ τὰ ὀμφακινὰ καὶ ἀψά. Καὶ κρατῶν τὸ κρόμμυον, δείκνυσί μοι αὐτό, καὶ στενάξας λέγει, κρόμμυον ἀπῆλθεν εἰς τὴν ἁγίαν

Πόλιν καὶ κρόμμυον ἦλθεν, οὐ γὰρ ἠλλάγη· καὶ κρατήσας τὸ σκόρδον ἀτενίσας εἰς ἐμὲ λέγει, σκόρδον ἀπῆλθεν εἰς Ἱεροσόλυμα καὶ σκόρδον ἦλθεν, οὐ γὰρ μετεβλήθη· πέπερι ἀπῆλθεν εἰς τὸν Ἰορδάνην καὶ πέπερι παραγέγονεν, οὐ γὰρ μετεποιήθη, ὢ τῆς συμφορᾶς! ποῦ τῶν τριῶν μηνῶν οἱ κόποι καὶ ἡ χειμασία, ποῦ τῶν ἓξ ἡμερῶν ὁ καύσων, καὶ ὁ ἱδρώς, καὶ ἡ ταλαιπωρία; ἀληθῶς βιαστή ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν καὶ οἱ βιασταὶ ἁρπάζουσιν αὐτὴν» (Ματθ. ια΄. 12), καὶ ἀρξάμενος κλαίειν εἰσῆλθεν εἰς τὸ ἐσώτερον κελλίον, ὅπου τὰς εὐχὰς ἐποιοῦμεν. Ἐγὼ δὲ εἰς ἑαυτὸν ἐλθὼν εἶπον, ἀληθῶς ὥσπερ τὸ σκόρδον καὶ τὸ κρόμμυον καὶ τὸ πέπερι οὐ μετηλλάγη, οὔτε ἐγὼ ὁ ταλαίπωρος τὴν κακίστην γνώμην, καὶ τὴν πονηρὰν συνήθειαν· ἀληθῶς οὐ δύναται ἄνθρωπος κτήσασθαι ἀρετὴν οἱανδήποτε, ἐὰν μὴ μέχρις αἵματος ὑπὲρ αὐτῆς ἀγωνίσηται. Καὶ ἔγραψα εἰς τὰς τέσσαρας γωνίας τοῦ κελλίου, καὶ εἰς τὸ βαυκάλιον τοῦ ὕδατος, καὶ εἰς ἕκαστον σκεῦος τοῦ κελλίου πέπερι, σκόρδον, κρόμμυον. Καὶ ἐποίησα ἓξ ἔτη νύκτα καὶ ἡμέραν ἀδολεσχῶν εἰς τοὺς τρεῖς λόγους τούτους, καὶ ὅτε ὑπὸ ὀργῆς καὶ πικρίας ἢ θυμοῦ ἢ ὀξυχολίας ἐκινούμην, ἔλεγον, κρόμμυον ἦλθεν· καὶ οὕτω χάριτι Χριστοῦ ἐνίκησα τὸ πάθος»· (Κῶδ. 113ος φύλ. 132α Πατριαρχ. συλλογῆς).

# ΠΙΝΑΞ ΑΛΦΑΒΗΤΙΚΟΣ

## ΤΩΝ ΚΥΡΙΩΝ ΟΝΟΜΑΤΩΝ ΚΑΙ ΤΙΝΩΝ ΤΩΝ ΚΥΡΙΩΤΕΡΩΝ ΠΡΑΓΜΑΤΩΝ.

### Α

Ἀαρών. 29, 173, 179.
Ἄβελ. 58.
Ἀβεσαλώμ. 171.
Ἀβραάμ. 133, 162, 170.
Ἀβώρ. 26.
Ἄγαγ. 5.
Ἀγάπη (ἀρετῶν, φυγὴ κακιῶν) 170, 130, 142, 161, 166, 181, 174, 187, 195.
Ἀδάμ. 53, 62, 106, 112, 115, 167, 176, 177, 195.
Ἀζαρίας. 172.
Ἀθανάσιος Ἀλεξ. 63, 82.
Αἴγυπτος. 105, 25, 61, 135, 178, 179.
Ἀκηδία. 91.
Ἀλαέ. 26.
Ἄλειψις (δι' ἐλαίου) 8.
Ἀμαλήκ. 5 (ἑρμην.) 29, 89.
Ἀμμωνᾶς. 188, 191.
Ἀνανίας. 50, 164.
Ἀνατόλιος. 9.
Ἄνθρωπος (φύσις, κατάστασις κατὰ φύσιν, παρὰ φύσιν, ἔργα καινοῦ καὶ παλαιοῦ) 4, 5, 48, 133, 141, 145, 175, 182, 195, 199.
Ἀνοὺβ ἀββᾶς. 58.
Ἀντώνιος μέγας. 70, 65, 188, 209. 211.
Ἀρετὴ (μήτηρ ἀρετῶν, μεγάλη, διαίρεσ.) 23, 45, 46, 47, 91. 92. 93. 105, 120.
Ἀρχάριοι (καθήκοντα αὐτῶν) 7, 8, 66, 209.
Ἀσήρ. 28.
Ἀσσύριος. 25.
Ἄσωτος υἱός. 129.
Ἀχαάβ. 171.
Ἄχαρ. 164, 170.
Ἀχιά. 171.

### Β

Βαβυλὼν (—101).
Βαιθήλ. 26.
Βαλέκ. 170.
Βαρσανούφιος. 8, 11, 34, 57, 97.
Βασιλεία (Θεοῦ, οὐραν.) 84, 89, 100, 114, 116, 119, 125, 136, 191, 203.
Βασιλέως (εἰκὼν καὶ τοῦ μεγ. βασιλ.) 160.
Βελίαρ. 87.

### Γ

Γάζα. 11, 34.
Γαζάν. 26.
Γαί. 163.

Γεδεών. 108.
Γέεννα. 19, 79, 89, 111, 119, 139, 136, 151, 155, 166, 189, 178, 203, 204.
Γένεσις. 133, 162.
Γεροντικόν. 21 39, 64.
Γιεζί. 147, 171.
Γλῶσσα (ἀπαιδευσία) 91.
Γραφὴ ( ἅγ. τρόπος ἑρμηνείας) 22, 36, 41, 42, 141, 162.
Γυνὴ (πλάσις, ἀπαγόρευσις συναναστροφῆς, χαρὰ ἐπ' αὐτῇ) 14, 27, 63, 85, 96, 152, 153, 176, 209, 214.

Δ

Δαβίδ. 158, 159, 171, 184.
Δαίμων. 19, 95, 103, 104, 120, 199, 201, 205.
Δαμασκός. 50.
Δαμασκηνὸς Ἰωάννης. 118.
» Πέτρος. 188.
Δανιήλ, 5, 172.
Δεσπότης. 415
Δευτερονόμιον. 163.
Δράκων. 112, 166, 167, 205.
Δωρόθεος. 7, 9, 17, 188, 191.

Ε

Ἑβραῖος. 133.
Εὔα. 112, 115, 177.
Ἐκκλησιαστής. 115.
Ἐλαία. 26.
Ἐλεάζαρ. 5.
Ἐλισσαῖος. 147, 171.
Ἐξομολόγησις. 3, 15, 190, 210 212.
Ἐξουδένωσις. 60.
Ἐργόχειρον (φροντὶς αὐτοῦ, πώλησις) 1, 2, 9, 21, 35, 94, 210, 193, 216, 212.
Εὐάγριος. 9, 21.
Εὐεργεσία. 97.
Εὐνοῦχος. 50.
Ἐφραὶμ ὁ Σύρος. 13, 65, 66.
Εὐφράτης (ἑρμηνεία αὐτοῦ). 27,
Εὐχὴ (προσευχὴ τί ἐστι) (ὁ Θεὸς εἰσακούει). 15, 24, 66, 88, 94, 110, 138, 191, 199, 209, 211, 212, 213, 216.

Ζ

Ζελφάν. 28.
Ζωσιμᾶς. 91, 191.

Η

Ἡδονή. 8, 18, 79, 81, 83, 94, 96, 101, 136, 151, 155, 166, 189, 204, 215, 212.
Ἠλεί. 171.
Ἠλίας (Θεσβίτης). 30, 171.
Ἡσαΐας (προφ.) 111, 115, 159, 196.
Ἠσαΐας (ἀββᾶς). 11, 34, 53, 57, 86, 104, 119, 192, 209.
Ἠσαῦ. 28, 170.
Ἡσυχαστής. 187.

Θ

Θάλασσα (Ἐρυθρ.). 29, 135, 167,
Θάλασσα Γαλιλαίας. 157.
Θάνατος (μελέτη αὐτοῦ) 1, 18, 47, 94, 118, 214.
Θέλημα (Θεοῦ) 56, (κρατεῖν) 92, 140, 183, (ἀπολύειν) 92, ἐκκόπτεειν) 5.
Θεόδωρος Στουδ. 64.
Θεολογικὴ Σχολὴ Σταυροῦ. 113.
Θεὸς (παντογνωσία, εὐαρέστησις,

δοτήρ, οἰκτίρμων, συγχωρεῖ) 1, 3, 6, 12, 16, 18, 126, 202 (βλασφημ.), 42.

I

Ἰαήλ. 108.
Ἰαβώχ. 28.
Ἰακώβ. 26, 27, 28, 31, 163, 170.
Ἰάκωβος. 76, 121, 128, 164.
Ἰεζεκιήλ. 164.
Ἱερεμίας. 136, 164, 196.
Ἱεριχώ. 163.
Ἱεροσόλυμα, 163.
Ἱερουσαλήμ. 23, 83.
Ἰησοῦς (Χριστός), 29, 48 (μίμησις) 53, 173.
Ἰησοῦς Ναυῆ. 163, 170.
Ἱμάτιον (καλόν, ἀγαθόν) 8, 11, 13, 14, 112, 209, 214 (ἱματίων διαμερισμός). 76.
Ἰούδας (νίψις ποδῶν). 50, 140.
Ἰουδαῖος. 137.
Ἰσαὰκ ὁ Σύρος. 8, 13, 104, 163, 187.
Ἰσραήλ. 25, 26, 32, 124, 137, 163, 179.
Ἰωάννης Βαπτιστής. 74. (ἔνδυμα αὐτοῦ) 75, 128.
Ἰωάννης Κασσιανός. 2.
Ἰωάννης Εὐαγγελιστής. 50, 75, 114, 121, 127, 157.
Ἰώβ. 5, 147.
Ἰωνάθαν. 164.
Ἰωσήφ. 28.

K

Κάϊν. 58.
Καταλαλιὰ (-λεῖν). 15, 40, 43, 107, 111, 136, 144, 156, 173, 194.
Καταπέτασμα (ἐσχίσθη) 77.
Κελλίον (διαμονὴ καὶ τρόπος ζωῆς ἐν αὐτῷ). 65, 121, 182, 210, 215, 185, 216.
Κελλιῶται. 7.
Κενοδοξία (τί ἀφανίζει) 93 (ὁ ἐμπίπτων) 103.
Κιναῖος. 108.
Κλῖμαξ Ἰωάνν. 19, 43, 47, 59, 91, 92, 104, 105, 106, 131, 140, 186.
Κόκκος (σινάπεως) 69 (σίτου) 124.
Κόλασις (αἰώνιος). 41, 62, 79, 81, 189, 190, 204, 207.
Κορνήλιος. 50.
Κόσμος (τί ἐστι). 121.

Λ.

Λαλιὰ (ἐν τραπέζῃ καὶ συνάξει, ἐπιτίμιον αὐτῆς). 1, 2.
Λάζαρος. 50, 131, 195.
Λαιμαργία 210.
Λεπτὰ (τῆς χήρας). 50.
Λεία. 27.
Λήθη (πολεμεῖ ἕως τέλους) 47.
Λησταί. 55.
Λογισμοί. (ὁ λέγων, ἐξαγγέλων) 22, 93 (οὐ πᾶσι) 65.
Λύπη. (κατὰ Θεὸν) 90, 146, (ἐκ διαβόλου) 90.
Μαγειρεῖον (ἐνασχόλησις). 2.
Μακάριος. 9.
Μαμωνᾶς. 151.
Μαρία (Θεοτόκος). 115.
Μαρία (ἀλείψασα) 50, 132.
Μᾶρκος (Εὐαγγελ.). 110.
Μᾶρκος (ἀσκητ.). 103, 107, 192
Μάρθα. 131.
Ματθαῖος. 50, 111.

Μελέτη (φροντὶς αὐτῆς). 1, 2, 46, 64, 92, 199, 209, (ἀπαγόρευσις βιβλ. αἱρετικ.). 22.
Μεσοποταμία. 26. 27, 29.
Μετάνοια (τί ἐστι) 109.
Μυστηρίων ἁγίων μετάληψις. 18, 55, 240.
Μωϋσῆς. 29, 61, 74, 134, 160, 167.
Μωϋσῆς (ἀββᾶς) 86, 191.

N

Ναβουθαί. 171.
Ναβουχοδονόσορ. 172.
Νηστείας (χρόνος, τρόπος). 19, 54, 215.
Νικηφόρος (μοναχός). 108.
Νικόδημος Συναξαρ. 91.
Νισθερώ. 58.
Νιτρία. 2, 39.
Νοῦ ἰδιότητες. 5 (ἐπιζήμια) 173.
Νῶε. 162.

Ξ

Ξενιτεία (πρῶτος ἀγὼν) 102, (πῶς ἀπόλλυται) 17.
Ξόϊος. 3, 64.
Ξύλον ζωῆς. 175.

Ο

Οἶνος (χρῆσις). 13, 64, (περὶ οἴνου) 71, (γύψος ἐν αὐτῷ) 71, (ἀπαγόρευσις) 89, 97.
Ὄξος. 79.
Οὐρίας. 184.
Ὄφις χαλκοῦς. 167, 168.

Π

Πάθη (πῶς κουφίζονται) 209, (ταπεινοῦνται) 64, (πόθεν τίκτονται) 91, (στολή) 194, (τέλος) 93.
Παλλάδιος. 2.
Πανοπλία Θεοῦ. 51.
Πάρεργον. 2, 35, 37.
Παράκλητος. 30, 50.
Παρθένος. 115.
Παροιμίαι. 17.
Πάσχα. 75, 133, 134.
Παῦλος (ἀπόστολος). 50.
Παῦλος (Εὐεργετηνός). 2.
Παχώμιος. 1, 7, 211.
Πένθος (τί φανεροῖ) 183, (τί ἐκδιώκει) 92, (πένθους πρᾶξις) 79-81, (πενθούντων ἔργα) 144.
Περιτομή. 133.
Πέτρος. 50, 66, 75, 112, 122, 128, 155.
Πέτρος (ἀβ.) 181, 188.
Πνεῦμα (μάχαιρα). 48, 117.
Πνεῦμα (Ἅγιον). 105, 114, 115, 156, 176, 177.
Ποιμὴν (ἀβ.). 58, 86.
Πόρνος, πορνεία. 83, 95, 128, 194, 199.
Προφῆται (αἰσχύνης). 30.

Ρ

Ραάβ. 170.
Ραχήλ. 27.
Ρεβέκκα. 174.
Ρώμη. 112.

Σ

Σάβας. 2.
Σάββατον (σαββατίζειν). 133, 135, 136, 77, 137.
Σαδδουκαῖοι. 75.
Σαλὴμ (ἑρμην.). 29.
Σαμάρεια. 26, 50.
Σαμουήλ. 5, 171.

Σαούλ. 164, 171.
Σάπφειρα. 164.
Σατανᾶς. 98.
Σεδεκίας 171.
Σεραπίων. 187
Σέριδος. 11, 34, 57.
Σινὰ (σιναϊτ. κῶδιξ, γέροντες) 4.
Σισάρας. 108
Σισώης. 13, 64.
Σιὼν (ὄρος). 23, 84.
Σκληροκαρδία (τί περιλαμβάνει) 35.
Σκληροκάρδιος (τί λογίζεται) 185.
Σκορπίος (ἰὸς αὐτοῦ). 44, 98, 149.
Σκότος ἐξώτερον. 20, 49, 126, 195.
Σκύλευσις Αἰγυπτίων. 61.
Σολομών. 171.
Σταυρὸς (σημεῖον). 29, 54, 99, 106, 130, 124, 168, 195.
Στέφανος (ἀκανθ.). 76.
Συγχώρησις. 9, 15.
Σωσάννα. 171.
Σωτήρ. 39, 114.

Τ

Ταπεινοφροσύνη, ταπείνωσις (τί ἐστι) 3, 7, 25, 54, 66, 83, 87, 92, 93, 96, 103, 108, 120, 72, 141, 182, 184, 183, 211.
Τίγρις (Ἑρμην.). 27.
Τιμόθεος. 99.
Τίτος. 186.
Τριὰς ἁγία. 197.

Υ

Ὑπερηφανία (πόθεν προέρχεται) 92, (τί ἀπόλλυσι) 96.
Ὑσσωπόν. 135.
Ὕπνος. 92.

Φ

Φαραώ. 29, 61, 167.
Φαρισαῖοι. 75.
Φίλιππος. 50.
Φιλόθεος Βρυένν. 119.
Φιλονεικία (οἷον κακὸν) 140, 141.
Φινεές. 5.
Φόβος (Θεοῦ) 186.
Φορτίον (βαρύ, ἐλαφρόν). 136, 195, 199.
Φύσις (κατὰ φύσιν, παρὰ φύσιν, παράφυσις). 4, 5, 53, 82, 104, 106, 107, 108, 112, 121, 131, 143, 159, 160, 166, 176, 184.
Φωκυλίδης Ἰωάννης. 113, 209.

Χ

Χαβέρ. 108.
Χαναναῖοι (—ναία). 26, 50, 163,
Χολή. 76.
Χουζά. 26.
Χριστός. 41.
Χρυσῆ εἰκών. 51.

Ψ

Ψαλμῶν (μελέτη τί φυλάττει) 209.
Ψεῦδος (πόθεν προέρχεται) 92
» (τί ἐκδιώκει) 64, 310.
Ψυχὴ (πῶς μιαίνεται) 46, (σκοτίζεται) 47, (ἔρημος) 47, 122, (ἔκπτωσις, διόρθωσις) 92.

Ω

Ὤρ. 29.
Ὠσηέ. 25.

# ΠΙΝΑΞ ΤΩΝ ΠΕΡΙΕΧΟΜΕΝΩΝ


| | Σελ. |
|---|---|
| Πρόλογος | α'—λε'. |
| Λόγος α'. Ἐντολαὶ τοῖς ἀδελφοῖς τοῖς μετ' αὐτοῦ | 1— 3 |
| » β'. Περὶ τοῦ κατὰ φύσιν νόμου. | 4— 6 |
| » γ'. Περὶ καταστάσεως ἀρχαρίων καὶ κελλιωτῶν. | 7— 14 |
| » δ'. Περὶ συνειδήσεως τῶν καθημένων ἐν τοῖς κελλίοις. | 15— 32 |
| » ε'. Περὶ ἐντολῶν πιστῶν καὶ οἰκοδομῆς τῶν θελόντων μετ' εἰρήνης οἰκῆσαι μετ' ἀλλήλων. | 33— 41 |
| στ'. Περὶ τῶν θελόντων ἡσυχάσαι ἐν ἡσυχίᾳ καλῇ, ἵνα προσέχωσιν ἑαυτοῖς ἀφορίσαι τοὺς κλέπτοντας αὐτούς, καὶ μὴ ἀναλῶσαι τὸν καιρὸν ἐν αἰχμαλωσίᾳ καὶ δουλείᾳ πικρᾷ, οἵ πείθουσι τὰς καρδίας αὐτῶν εἰς πράγματα, ἃ οὐκ ἀνήκει αὐτοῖς καταλιπόντας τὰς ἑαυτῶν ἁμαρτίας. | 42 — 44 |
| » ζ'. Περὶ ἀρετῶν. | 45— 52 |
| » η'. Ἀποφθέγματα. | 53— 62 |
| » θ'. Ἐντολαὶ τοῖς ἀποταξαμένοις. | 63— 66 |
| » ι'. Λόγος ἕτερος. | 67— 68 |
| » ια'. Περὶ τοῦ κόκκου τοῦ σινάπεως. | 69 — 70 |
| » ιβ'. Περὶ τοῦ οἴνου. | 70— 73 |
| » ιγ'. Περὶ τῶν ἀγωνισαμένων καὶ τελειωσάντων. | 74— 78 |
| » ιδ'. Περὶ πένθους. | 79— 81 |
| » ιε'. Περὶ ἀποταγῆς. | 82 — 84 |
| » ιστ'. Περὶ τῆς χαρᾶς τῆς γινομένης τῇ ψυχῇ τῇ θελούσῃ δουλεύειν τῷ Θεῷ. | 85 — 101 |

Λόγος ιζ΄ Περὶ λογισμῶν ἀποταγῆς καὶ ξενιτείας. 102—109
» ιη΄. Περὶ ἀμνησικακίας. 110—113
» ιθ΄. Περὶ τῶν νόσων τῆς ψυχῆς. 114—117
» κ΄. Περὶ ταπεινοφροσύνης. 118
» κα.΄ Περὶ μετανοίας. 119—132
» κβ΄. Περὶ πράξεως καινοῦ ἀνθρώπου. 133—141
» κγ΄. Περὶ τελειότητος. 142—149
» κδ΄. Περὶ ἀπαθείας. 150
» κε΄. Πρὸς τὸν ἀββᾶν Πέτρον, τὸν αὐτοῦ μαθητήν. 151—180
» κστ΄. Λόγοι, οὓς εἶπεν ὁ ἀββᾶς Πέτρος, ὁ μαθητὴς αὐτοῦ ὅτι ἤκουσε παρ᾽ αὐτοῦ. 181—187
» κζ΄. Εἰς τὸ πρόσεχε σεαυτῷ. 188—193
» κη΄. Περὶ τῶν κλάδων τῆς κακίας. 194—197
» κθ΄. Θρῆνοι. 198—207
» Ἐντολαί, εἴτε συμβουλαὶ ἀββᾶ Ἡσαΐου πρὸς ἀρχαρίους μοναχούς, οὗ αἱ δεήσεις φυλάττειεν ἡμᾶς. Ἀμήν. 209—217
Τοῦ αὐτοῦ Ἀποσπάσματα. 218—235
Περὶ τοῦ ἀββᾶ Πέτρου μαθητοῦ, τοῦ ἀββᾶ Ἡσαΐου. 236—238
Πίναξ Ἀλφαβητικὸς τῶν Κυρίων ὀνομάτων. 239—243
Πίναξ τῶν περιεχομένων 244—245
Κατάλογος ἀξιοτίμων συνδρομητῶν 246—251

# ΚΑΤΑΛΟΓΟΣ ΣΥΝΔΡΟΜΗΤΩΝ [1]

## *Οἱ ἐν Ἱεροσολύμοις.*

Ἡ Α. Θ. Μακαριότης ὁ Πατριάρχης Ἱεροσολ. Κ. Κ. Δαμιανὸς Σώμ. 10.

***Οἱ Σεβασμιώτατοι.*** † ὁ Ἰορδάνου Μελέτιος Ἐπίτροπος 2. † ὁ Λύδδης Νικόδημος 1. † ὁ Σεβαστείας Γλυκέριος 10. † ὁ Φιλαδελφείας Σωφρόνιος 2. † ὁ Γάζης Σωφρόνιος 4. † ὁ Κυριακουπόλεως Βασίλειος 2. † ὁ Μαδάβων Κορνήλιος 1.

***Οἱ Πανοσιολ. Ἀρχιμ. Κ. Κ.*** Εὐθύμιος Σκευοφύλαξ 5. Παρθένιος Καμαράσης 1. Γεράσιμος Παρασκευοφύλαξ 5. Εὔδωρος Δραγουμᾶνος 4. Κελαδίων Ἀρχιγραμματεὺς 4. Ἰωσὴφ 4. Γεράσιμος 1. Ἰουστῖνος Πρόεδρος Κτηματικῆς 2. Καισάριος Τυπικάρης, Συνέσιος, Ἰάκωβος, Αρχατζικάκης Σχολάρχης 2. Γεννάδιος Οἰκονόμος. Ἀβράμιος. Βασίλειος. Ὁ Μ. Ἀρχιδιάκον. κ. Κλεόπας ἐπίτροπος οἰκονομικῶν 4.

***Οἱ Πανοσιολ. Καθηγούμενοι.*** Κ. Κ. Κύριλλος Ἐπίτροπος Βηθλεὲμ 1. Παντελεήμων Γεθσημανῆς 4. Μακάριος Σταυροῦ. Γρηγόριος ἁγ. Χαραλάμπους 4. Γρηγόριος Βηθανίας 5. Μεθόδιος Προφ. Ἠλιοὺ 1. Σεραφεὶμ Πραιτωρίου. Διόδωρος Θαβωρίου 4.

***Οἱ Πανοσιολ, Ἱερομόναχοι Κ. Κ.*** Σαμουὴλ ἁγ. Νικολάου 1. Ἐφραὶμ ἁγ. Αἰκατερίνης, Γεράσιμος Φακῆς. Πάμφιλος ἁγ. Ὀνουφρίου. Σίλβεστρος ἱεροδ. Ἰωακεὶμ καὶ Ἄννης. Εὐθύμιος Ρέμλης. Νέστωρ Μαδάβων. Πολύκαρπος Λύδ-

---

1) Τῇ εὐγενεῖ φροντίδι τοῦ Ὁσιωτ. Μοναχοῦ ***Νικηφόρου Δοχειάρη.***

δης. Νεόφυτος Ἀζλούν. Ἀρκάδιος Τιβεριάδος 3.' Ἀρίσταρχος Ἐπίτρ. ἁγ. Ναζαρὲτ 2. Φώτιος Καϊάφας. Ἱερώνυμος πρ. ἡγ. Γεθσημανῆς.

***Οἱ Πανοσιολ. Πρωτοσύγκελλοι Κ. Κ.*** Ἀμφιλόχιος 2. Προκόπιος ἡγούμ. Πετζαλᾶ.

***Οἱ Ἱερολ. Ἱεροδιάκονοι Κ. Κ·*** Ἱππόλυτος Βιβλιοθηκάριος. Ματθίας Ταμίας 2. Πορφύριος. Ἀθηναγόρας 1. Κωνστάντιος. Μᾶρκος (Ἀναστάσεως). Μόδεστος. Μελέτιος. Μελχισεδέκ.

***Οἱ Ὁσιολ· μοναχοὶ Κ. Κ.*** Εὐσέβιος ἡγ. Καταμόνας 2. Ἀγάπιος Κανδηλάπτης. Εὐδόκιμος Ἀρχοντάρης, Παντελεήμων φροντιστής. Νικηφόρος Δοχειάρης 2. Γεράσιμος ἐπιστ. μαγειρείου. Χαρίτων Λαυριώτης. Δαβὶδ Τσαμπῆς. Ἀρσένιος πρῴην Τσαμπῆς. Γρηγόριος ἐπιστάτ. Ἄϊν Φάρα. Ἀβράμιος Κλεόβουλος. Κλήμης. Χαράλαμπος. Βίκτωρ. Ἱερεμίας. Κύριλλος. Σέργιος. Θεοφάνης. Διονύσιος. Εὐθύμιος Θεόφιλος. Ἀνατόλιος. Κυριακός. Κύριλλος. Δαμιανὸς (Γεθσημανῆ). καὶ Ἱλαρίων Ἀθ. Ἀλεξανδρίδης Τυπογράφος τοῦ Ἱ. Κοινοῦ τοῦ Π. Τάφου.

***Οἱ Κ. Κ. δόκιμοι.*** Νικόλαος Γιακουμάκης γραμματ. Ἀναστάσιος Ἰωαννίδης γραμματ· Σωτήριος Ἀγγελόπουλος ὑποβιβλιοθηκάριος. Νικόλαος Κανελλόπουλος. Ἀντώνιος ἱεροψάλτης. Ἰωάννης Παπαδόπουλος. Κωνσταντῖνος Μόσχος. Ἰωάννης Γερούσης. Ἰωάννης Βουργουράκης 2.

***Οἱ ἐν τῷ ἁγ. Σάβα Εὐγεν. φροντ. Νικηφόρου Μπονάκη καὶ Νικηφόρου Δοχειάρη Μοναχῶν.***

***Οἱ Πανοσιολ. Ἱερομόναχοι Κ. Κ.*** Ἄνθιμος Πνευματικός. Γερμανὸς Σκευοφύλαξ Κερκυραῖος. Ἀντώνιος Τυπικάρης 3. Νικόδημος. Χαρίτων. ὁ Ἱεροδ. Παγκράτιος.

***Οἱ Ὁσιώτ. μοναχοὶ Κ. Κ.*** Ἀγάθων Οἰκονόμος ἐκ Σισανίου. Καλλίστρατος Πελοπον. Νικηφόρος Μπονάκης 2. Μερκούριος. Ἀρσένιος· Θεοδόσιος Βηθλεεμίτης. Ἀβέρκιος Προυσσαεύς. Γρηγόριος Ἰκάριος. Γρηγόριος καὶ Βαρνάβας

Μακεδόνες· Ἀκάκιος Κεφαλλήν. Ἱλαρίων Περάμιος. Γερβάσιος Καλύμνιος, Γαλακτίων Κρής. Κορνήλιος Πελοποννήσ. Βασίλειος. Λεων. Τριανταφύλλου Ἰκάριος. Δημήτριος Ἀθανασίου ἐξ Ἄκρης. Δημήτριος Ἰωάννου Πελοπον. 2.

***Οἱ ἐν τῇ Ι. Μονῇ τοῦ ἀββᾶ Γερασίμου ἐν Ἰορδάνῃ.*** Ὁ Ὁσιολ. Καθηγούμενος Κ. Σεραπίων 10. Ὁ Παν. Κ. Ἀντίπας ἱερομόναχος.

***Οἱ Ὁσιώτ. μοναχοὶ Κ. Κ.*** Σάβας. Βαρλαάμ. Ζωσιμᾶς. Ἰωάννης. Σέργιος. Γεώργιος. δόκιμοι.

***Οἱ ἐν τῇ προσφάτῳ συστηθείσῃ Σκήτει Ὁσιώτ. μοναχοὶ*** Δαμιανὸς 2. Θεοδόσιος. Ἰωάννης. Χαρίτων Καλλιτέρης Κορίνθιος, Μανασσῆς. Φιλάρετος.

***Οἱ Κ. Κ. δόκιμοι.*** Δημήτριος. Ἰωάννης, Σπυρίδων καὶ Σωτήριος ἐκ Κορίνθου. Ἰωάννης ἐν Καλαμῶνι.

Ὁ Πανοσιολ. καθηγούμενος τοῦ Προδρόμου κ. Σεβαστιανός.

***Οἱ ἐν τῷ Ἰορδάνῃ ἁλιεῖς.*** Ὁ ὁσιώτ. κ. Σωφρόνιος μοναχὸς Κερκυραῖος. Ἀλέξανδρος Κωνσταντινίδης δόκιμος Μᾶρκος Ρενιέρης. Ἰωάνν. Χριστόπουλος.

***Οἱ ἐν Ἱεριχοῖ.*** Πανοσ. Ἱερομόν. Ἄνθιμος ἡγ. Προφ. Ἐλισσαίου. Δαμιανός. ***Οἱ ἐν Σαρανταρίῳ ὄρει.*** Ὁ Πανοσιολογιώτατος Καθηγούμενος κ. Ἀβράμιος Ἀρχιμανδρίτης 20. Ὁ Παν. κ. Ἰωάσαφ πνευματικός. ***Οἱ ὁσιώτ. Μοναχοί. κ. κ.*** Εὐγένιος. Γερβάσιος. Νικόδημος, Χρύσανθος, Τρύφων. Εὐάγγελος. Δημήτριος.

***Οἱ ἐν τῇ Σκήτει τοῦ Χοζεβᾶ Πανοσ. Ἱερομόναχοι.*** Ἀλέξιος, Σάβας, ὁ ὁσιώτ. μοναχ. κ. Κάλλιστος, ὁ πανοσιολ. Καθηγούμενος τῆς μονῆς Χοζεβᾶ. κ. Νικόλαος. ὁ ὁσιώτ. μοναχ. κ. Μελχισεδέκ. ***Οἱ ἐν Σαμαρείᾳ.*** Ὁ Πανοσιώτ. κ. Νικόδημος Παρτσαλάκης Πρωτοσύγκελλος 4. Οἱ ὁσιώτ. μον. κ. κ. Νικόδημος 2. Ἀκάκιος 2.

***Οἱ ἐν Πτολεμαΐδι.*** † Ὁ Πτολεμαΐδος κ. Νίκανδρος. Ἰωαννίκιος ἱεροδιάκονος. Κωνσταντῖνος Γιαλουράκης.

***Οἱ ἐν Ἀλεξανδρείᾳ—.*** Ἡ Α. Θ. Μακαριότης ὁ Πάπας

καὶ Πατριάρχης Ἀλεξανδρείας κ. κ. Φώτιος 4. † Ἀξώμης Χριστοφόρος, 2. † Ὁ Λεοντοπόλεως Σωφρόνιος, 2. † Ὁ Μέμφιδος Νεκτάριος 1. Ὁ Πανοσιολ. Κ. Γεράσιμος Πρωτοσύγκελλος. Ὁ Πανοσιολ. Κ. Σύλλας ἱερομόναχος.

***Οἱ ἐν τῷ ὄρει Σινᾶ εὐγεν· φροντίδι Μωϋσέως Μοναχοῦ.*** Ὁ Πανοσιολ. Ἀρχιμ. Κ· Ματθαῖος Δικαῖος.

***Οἱ Πανοσιολ. Ἱερομόναχοι.*** Κ. Κ. Πολύκαρπος Σκευοφύλαξ. Θεόκλητος Οἰκονόμος. Βενιαμὶν Πρωτοσύγκελλος Ἔξαρχος ἐν Κρήτῃ. Δανιὴλ Παπαϊωάννου. Πρωτοσύγκελλος Κάλλιστος. Ἀριστόβουλος. Γαβριὴλ Οἰκονόμος ἐν Καλάμαις Μακάριος ἱεροδ. οἰκονόμος Σουέζ.

***Οἱ Ὁσιώτ. μοναχοὶ Κ. Κ.*** Ἀαρών, Μωϋσῆς. Εὐθύμιος. Κλαύδιος, Εὐσέβιος. Οἱ Κ. Κ. δόκιμοι, Σπυρίδων. Μαρουδᾶς. Μιλτιάδης. Παπαδάκης. Κωνσταντῖνος. Σταφιλᾶς.

***Οἱ ἐν Ραϊθῷ Ὁσιολ. μοναχοὶ Κ· Κ.*** Γεννάδιος. Παχώμιος. Πανάρετος.

***Οἱ ἐν Ἀσουὰν Κ.— τῇ εὐγεν. φροντ. τοῦ Πανοσιολ. Κ. Νήφωνος Ἱερομον.*** Παν. Νήφων ἱερομόν. ἐφημέριος τῆς Ἑλλ. Κοινότητος. Γεώργιος Σταμπέλου τέως Πρόεδρ. τῆς Ἑλλ. Κοινότητος. Περικλῆς Βελαλᾶς Ταμίας. Ἀντών. Φράγκου μέλ. Ἐπιτροπῆς. Ἀντών. Ἀντωνίου Παντοπώλης. Νικόλ. Βαχάρης Μηχανικός. Νεοκλῆς Μεϊμαρίδης Παντοπώλης. Δνὶς Ἀγγελικὴ Ἰ. Πατσάλη.

***Οἱ ἐν Πὸρτ Σουδὰν Κ.— τῇ εὐγεν. φροντ. τοῦ Παν. Κ. Πέτρου.*** Παν. Πέτρος Γλαμπεδάκης Κρὴς Ἐφημέριος τῆς Ἑλληνικῆς Κοινότητος. Γεράσιμος Κοντομίχαλος Ἀντιπρόεδρος. Ἀριστοτέλης Λορεντζᾶτος Ταμίας. Σθενέλ. Φωτεινὸς γραμμ. Γρηγόρ. Βρυώνης. Γ. Παναγῆς Λευκαδίτης. Σ. Κοντομίχαλος. Δημοσθ. Σταθᾶτος. Ἀδελφοὶ Μαρινᾶτοι. Ἀθ. Παπᾶς. Π. Γεωργιάδης. Ἀδελφοὶ Ζοισιμᾶται. Κλέαρχ. Μαριγλῆς. Κ. Τροιζῆς. Π. Τροιζῆς.

***Οἱ ἐν Χίῳ*** Κ - ***εὐγεν. φροντίδ. τοῦ Πανοσιολ. Προϊσταμένου τοῦ Προβατ. ὄρους·*** Κ ***Ἀνδρονίκου.*** Ἱερὰ Σκήτη τῶν ἁγ. Πατέρων τοῦ Προβατείου ὄρους 4. Ἱερὰ

Σκήτη άγ. Μάρκου Πενθόδου όρους 1. Οἱ Ἱερολ. ἱεροδιάκονοι Κ. Κ. Ἰωάννης Βαρκάρης Γαβριὴλ Τσαμπαρλῆς Νέα Μονή. Οἱ Ὁσιώτ. μοναχοὶ κ. κ. Σωφρόνιος Π. Μεστούσης. Ἰσίδωρος Νεοχώριον. Ζωσιμᾶς Ἱερώνυμος Βοῦρος Νένητα. ἅγ. Τρύφων. Εὐπραξία Βούρενα μοναχή. Ἄνθιμος Ντίλης Πρεσβύτερος Ὁ Πανοσιολ. Καθηγούμενος Μυρτιδιωτίσης Κ. Χριστοφόρος Ἀρχιμ. 2.

***Εὐγενεῖ φροντ. Πανοσιολ. Ἀκακίου ἱερομονάχου.*** Ὁ Πανοσιολ. Προϊστάμενος τῆς Σκήτεως άγ. Μάρκου Κ. Γαβριήλ. Ὁ Πανοσιολ. Κ. Ἀκάκιος ἐξ Ἀλατσάτων. Δημήτριος Βεργίνας Πρεσβύτερος Τσεσμέ. Λεόντιος. Παρηγόρης ἱεροδιάκονος άγ. Παρασκευή. Γεράσιμ. Φεισφᾶς μοναχ. Πολύκαρπος Μουδὲς Μύρων. Γ. Στάρη. μοναχός. Χατζῆ Νικόλαος Μαρινάκης. Ἰωάν. Δ. Ὑψηλάντης. Ἐρυθραί. Εὐφροσύνη Ἀντ. Μπαρικοῦ. Χαριτίνη Γ. Κασδογλῆ κάτω Παναγία. Σεμνὴ Γερονιουδίτσα.

***Οἱ ἐν τῷ Ἄθῳ.*** Ἡ Κοινόβιος Ρουμανικὴ Σκήτη 2. Οἱ ὁσιώτ. Λεόντιος καὶ Δανιὴλ μοναχοὶ (Κάθισμ. άγ. Σίμωνος). Γεώργιος Π. Χαντσῆς Καντήλα Τριπόλεως.

***Οἱ ἐν Σπάρτῃ Πανοσ. ἱερομ.*** Κ. Κ. Παρθένιος Θεοδοσάκης μονῆς άγ. 40. Νικόδημος Ροντήρης μονῆς άγ. Ἀναργύρων. Ἰωάν. Ἠλ. Βαμβαλῆς (Γκοριτσᾶ).

***Οἱ ἐκ τῆς άγ. Λαύρας ἐν Πελοπον. κ. Εὐγεν. φροντ. Θεοφίλου μοναχοῦ.*** Οἱ Πανοσιολ. ἱερομ. Ἀγάπιος Θεοφανόπουλος Προηγούμενος Καλλίνικος Διαμαντόπουλος. Νικόδημος Ἀργυρόπουλος Πελοπον. Οἱ Ὁσιώτ. μοναχοί. Ἀμφιλόχιος Ἀγγελακόπουλος. Ἰωάν. Σωτηρόπουλος.

***Ὁ ἐν Orlean Ν. Υ. Ἀμερικῆς.*** Κ. Κ. Γεώργ. Γεωργῖτσος. Albion Mich. Κ. Σπυρίδων Ἀνδριτσάκης.

***Οἱ ἐν Jacson Mich. εὐγεν. φροντ. Χαρίτωνος μοναχοῦ.*** Χρῆστος Διαμαντόπουλος. 2. Ἀθ. Μλ. Γιαννακούλας. 2. Κώστας Γ. Γιαννόπουλος. ***Οἱ ἐν Minneapolis Minn. Κ. εὐγεν. φροντ. Δαμιανοῦ μοναχοῦ.*** Θεόδωρος Α. Ζώ-

ταλης. 2. Νιάτα Ἐπιδαύρου. Μιχαὴλ Α. Ζώταλης. Γεωργία. Ἰ. Βίλλια, 2. Χρῆστος Μπούτσαλης. Κωνσταντῖνος Ἀνδριόπουλος. Σμαράγδα Ροβάτσου. 2. Αἰκατερίνη Γ. Μπούμπουλη. Μαρία Ἰ. Μηχελῆ. Γεωργία Ματζαβράκου. Θεόδ. Ντόβολος. 2. **Οἱ ἐν Sacramento Cal. εὐγεν. φροντ. Σωτηρίου δοκίμου** Ἀλέξ. Σταματόπουλος. Νικολ. Σταματόπουλος. Νικόλ. Μπίρης. Χρῆστος Μεούρης. Χρῆστος Ταρνάρης. Κωνστ. Ταρνάρης. Ἰωάν. Σγούρδας. Ἀνδρ· Κοίλιας Γεώργ. Σουσάνης. Ἠλ. Δορπαλάκης. Δημήτρ. Πασιόπουλος. Σπυρίδ. Πασιόπουλος. Νικόλ. Κέκος. Σωτήρ. Κέκος. Νικόλ. Φιδάκης. Ἀντών. Παπανδρεάδης. Παναγ. Πιστίνας.

***Τὰ λοιπὰ ὀνόματα τῶν ἀξιοτίμων κ. κ. Συνδρομητῶν δὲν κατεχωρίσθησαν, διότι αἱ ἀγγελίαι δὲν ἐπεστράφησαν ἡμῖν ἐγκαίρως.***